Ακαδημία Αθηνών / Academy of Athens

1701

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Academy of Athens
www.acadimia.gr

ΝΑΥΠΗΟΝ ΝΑΥΠΗΟΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

MANUELIS PHILÆ

CARMINA.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

A. FRANCK,

BIBLIOPOLA, VIA RICHELIEU, 67.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

MANUELIS PHILÆ

CARMINA

EX CODICIBUS

ESCURIALENSIBUS, FLORENTINIS, PARISINIS ET VATICANIS

NUNC PRIMUM EDIDIT

E. MILLER.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 7526
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

VOLUMEN PRIUS.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

PARISIIS

EXCUSUM IN TYPOGRAPHEO IMPERIALI

IMPERATORIS PERMISSU.

M DCCC LV.

↑ γρ. M DCCC LVII. [πβ. ἐνταῦθα σελ. XX, ἐν τέλει τῆς Praefatio, καὶ τέλος τοῦ Β' τόμου]
(πδμτρι.)

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

PRÆFATIO.

En, Lector Benevole, pene totum habes Manuelem Philen, in cujus familiaritatem non animi affectio sed potius fors quædam me detulit. Æstate enim anni 1843, dum Escurialensis bibliothecæ manuscriptos libros græcos recognoscebam, in exiguum incidi codicem qui Philæ inedita multa continebat carmina. Alteram ejusdem poetæ collectionem, ipsam quoque ineditam, Parisiis servatam jamdudum noveram atque legeram. Illico mihi incessit cupido Hispanicum codicem transcribere, quærenti unde fallerem otia longiora quæ Escurialensis bibliotheca per paucas modo horas aperta faciebat. Ad voluntatem res successit: data mihi est copia ut volumen in præsidis domum transferrem tempusque vacuum utiliter collocarem. Aliquot annis elapsis mihi fuit iter in Italiam et, oblata occasione, ex codice Laurentiano transcripsi quæ Parisiensis et Escurialensis non continent. Quartam Manuelis Philæ collectionem ab aliis discrepantem in bibliotheca Vaticana inveni, recognovi et plurima carmina collegi, reliqua transcribenda in se recipiente viro claro Matranga.

Ακαδημία Αθηνών / Academy of Athens

Denique Moscoviensem codicem inspexi nuper, ex eoque paucas varietates excerpsi. Sic itinera aliis de causis suscepta poetæ hujus Byzantini carminum collectionem justam mihi compararunt ac locupletissimam. Eam in lucem proferre constitui, ingressus viam quam multi jam viri doctissimi præiverant, in poematis Manuelis Philæ edendis opera curaque insumpta : Jo. Camerarius, Leo Allatius, Jo. Alb. Fabricius, Dorvillius, C. de Paw, Wernsdorfius, Boissonadius et nuper vir clariss. Dübnerus. Wernsdorfius quidem hujus poetæ quæcumque indagare et conquirere potuit conjunctim edidit, excepto libro *De Animalibus* toties jam vulgato. Sed usquedum fere totus ineditus erat Manuel Philes.

Plures memorantur Philæ, quos non alienum erit hic breviter recensere :

1° Eumolpum Philen a nostro injuria distinxit Fabricius[1], ejus expositionem ms. in quatuor orationes Nazianzeni ex Labbeo[2] commemorans. At Wernsdorfius (præf. § III) probat verisimilem Cas. Oudini[3] conjecturam, *Eumolpum* non esse prænomen proprium, sed poetæ εὐμόλπου, id est canori[4], qui artem præclare canendi scivisset, elogium, adeo ut, quæ de Eumolpo Phila commemorata leguntur, ad Manuelem nostrum referri debeant.

[1] *Bibl. gr.* t. VIII, p. 617.

[2] *Bibl. nov. mss.* p. 107, 385.

[3] *De scriptoribus ecclesiasticis*, t. III, p. 842. Conf. et Fabric. *Biblioth. gr.* t. VIII, p. 432.

[4] De se ipso (t. I, p. 294, 13) dicit **Φιλῆς ὁ μουσικὸς ἐν λόγοις.**

Ακαδημία Αθηνών / Academy of Athens

2° Michael Philes Sacerdos sub Joanne Comneno vixit, a. 1124; indicatur ad calcem codicis græci Parisiensis n° 1126, in quo fol. 128 legitur calligraphi nota hæc[1]: Ἐγράφη κ.τ.λ. id est « Scriptus est hic divinus liber con- « cursu quidem et ope Michaelis Sacerdotis Philæ, manu « autem Basilii Scalidri notarii, anno 6632 (Christi 1124) « ind. 4, imperante Joanne Comneno Porphyrogenito. »

3° Alexius Philes, Magnus Domesticus, Eulogiæ Michaelis imperatoris sororis filiam secundogenitam Mariam in matrimonio habuit; quæ postea vidua Constantino Bulgariæ regi nupsit[2]. Cui Alexio fortasse nuncupatur carmen XC cod. Esc. (t. I, p. 39) inscriptum : Δομεστίκῳ, sed in cod. Paris. Τῷ μεγάλῳ Χαρτουλαρίῳ τῷ Φιλῇ.

4° Joannes Philes Palæologus, protostrator, Andronici senioris cognatus, a. 1315 Turcicum bellum sibi depoposcit et ob innocentiam vitæ impetravit. Barbaris autem prælio devictis fugatisque protostratoricum baculum ab imperatore accepit. Valde laudat Joannes Cantacuzenus[3] virum hunc pium, qui, Christianæ philosophiæ studio excussis negotiis omnibus, domi res suas egit vitamque sobriam ac justam excoluit; eundem ait cum aliis amicis a. 1352 adhibitum ad conciliandum Joannem Palæologum cum Matthæo Cantacuzeno. Tota autem via errat Wernsdorfius qui ex uno duos fecit viros, distin-

[1] Conf. Montf. *Palæogr. gr.* p. 303.
[2] Pachym. t. I, p. 206 et 343.
[3] *Hist.* t. III, p. 239, ed. Bonn.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

guens Joannem Philen et Philen Palæologum. Utriusque claro genere prognati innocentiam laudant scriptores Byzantini; uterque protostratoris dignitate ornatus est, ut constat ex Michaelis Gabræ[1] epistola 112 ad Joannem Philen protostratorem scripta. Quare de hac confusione nemini dubium esse potest. Huic Joanni Lambecius tribuebat varia carmina, fortasse, ut ait Wernsdorfius, quod Manuelem ignorabat et Joannem ex Cantacuzeni scriptis noverat.

5° Theodorus Philes anno circiter 1261 legationibus functus sub Michaele Palæologo; postea ab Zagarommata Georgio oculis privatus, teste Georgio Acropolita[2].

6° Georgius Philes psalmi 103 metaphrasin versibus politicis scripsit; quam cum tetrasticho Κιθαρῳδοῦ κ.τ.λ. male confundit Fabricius.

7° Philes Theophylactus quoque memoratur in codice græco Veneto n° 446. Huic Theophylacto Michaelis Gabræ epistola 105 inscripta est.

8° Est demum femininum nomen Phile, quod habet inscriptio in adpendice ad Marmora Oxoniensia, p. 298: ΦΙΛΗ ΤΙΜΩΛΙΣ ΕΤΕΙΜΗΣΕΝ ΕΚ ΤΩΝ ΙΔΙΩΝ ΤΙΒΕΡΙΟΝ ΚΑΙΣΑΡΑ[3].

Nunc de nostri poetæ vita et scriptis pauca dicamus.

Manuel Philes vitam perlongam duxisse videtur; floruit ab an. 1280 ad an. 1330 atque ultra, sub Michaele

[1] In cod. gr. Venet. 446. Conf. *Catal.* Zanetti, p. 235.

[2] *Annales*, p. 165, ed. Bonn.

[3] Conf. alia exempla in *Thesauro*, s. v. Φίλη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Palæologo, utroque Andronico et fortasse sub Joanne Cantacuzeno imperatoribus. Superfuit quidem Pachymero, quo jam senescente usus est magistro (exeunte XIII sæculo) cujusque in obitum carmen sæpius editum condidit.

Commercium habuit cum celeberrimis ætatis illius viris, cum imperatoriæ familiæ cognatis, cum ipsis quoque imperatoribus, quibus frequentissime carmina nuncupavit. Infeliciter vero accidit ut historica indicia rarissime reperiantur unde statuere possis cuinam imperatorum, sub quorum principatu vixit, dicata fuerint; non alium enim fere habent titulum quam Εἰς τὸν αὐτοκράτορα sive Εἰς τὸν βασιλέα. Vide vocem *Imperator* in *Indice historico*.

Magna tamen aliquoties exercuit munia; in legationem missum videmus ad Tauroscythas ut matrimonium imperatoris filiæ conciliaret. Alibi memorat quæ sit passus apud Persas, Arabes, Scythas, Indos.

Imperator, quem Andronicum Seniorem fuisse putat Wernsdorfius, verbis nonnullis quæ Manuel Philes in Chronographia de ipsius laudibus scripserat, offensus, in vincula eum conjecit. Captivitatem ipse memorat; cum vero in libertatem vindicari cuperet, jurejurando confirmare debuit nil contumeliosum in Augustum a se fuisse unquam scriptum [1].

Uxoris ejus nomen ignoratur; scimus ex ea uxore plures illum suscepisse liberos, conjugique superstitem fuisse : cujus ubi mors ipsi denunciata est, solatium

[1] Vid. t. II, p. 397 et Wernsd. Præf. § IV.

Ακαδημία Αθηνών / Academy of Athens

quæsivit in longo ad imperatorem concinnando carmine. Alibi videtur anceps de sorte patris et matris qui aut mortui aut in exilio erant.

Misera fœcunditate prædito misere usus ingenio, stat quasi poeta famelicus; carminibus fere supplicium libellorum voces et formam aucupatur ut obtineat vel argentum, vel alimentum sibi, atque adeo pabulum jumentis suis. Semper conqueritur se nunc σεινῶντα (t. II, p. 72, 14), nunc διψῶντα (t. I, p. 218, 36), nunc ῥιγοῦντα (t. I, p. 92, 88 et 95, 89) : semper ad stipem porrigit manum. Illius etenim temporis ingenium adeo humile et abjectum erat, ut tali etiam poetæ invideretur; quippe qui sæpe queratur de invidiæ telis in ipsum conjectis.

Hæc est forsitan causa cur reperias poematia sub nomine ejus edita, quorum manifeste non est auctor : simios suos habuit et Philes! Plura sunt interpolata, alia castrata : nam a nulla re, etiam obscena, describenda abstinebat.

Haud magna in operibus Philæ cernitur scientia, excepta quidem historiæ naturalis, cujus studii pretiosum præbet specimen in poematis *De Animalibus*, *De Elephante* et *De Plantis*. Philosophiam antiquam nonnisi ex epitomis quæ feruntur *De Placitis* et ex historiolis cognovit. Temere et inconsiderate citat philosophos, præsertim Platonem quem adducit pro Pythagora. In multis tamen curiositatem allicit; sic habes locum maxime notabilem *De Antiquitatibus rusticis*, alium *De Gnomone nautico*,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

alium *De Pyrobolis tormentis* nostros *canons* perquam referentibus, etc. Alibi se jactat novisse rhetorum sermones, astronomiam, geographiam, etc., quæ quidem a pueritia didicerit.

Ex carminibus Philæ multa sunt brevia, pleraque tetrasticha, sed nonnulla sat longa, quædam etiam longissima. Imperatoriæ familiæ parentibus vel illustribus ætatis illius viris, vel magnis Ecclesiæ præsulibus sæpissime dicantur. Ob eam causam maximi sunt pretii, quia ex eis augeri, et corrigi nonnunquam, possunt *Familiæ Byzantinæ* et *Oriens Christianus*.

In iisdem etiam Iconographia christiana utilia reperiet documenta : quippe in pluribus locis describuntur tabulæ innumeræ et imagines Christi, Virginis, Apostolorum, sanctorum tum Veteris tum Novi Testamenti, variis attributis ornatæ. Raro tamen harum tabularum aut imaginum ordo ac situs ea quam cupiamus accuratione explicantur a poeta sensum moralem potius et religiosum quem pictor exprimere voluit, quam formam operis graphice proponente.

Omnia Philæ carmina, paucis exceptis, in quatuor magnis collectionibus manuscriptis Escurialensi, Florentina, Parisina et Vaticana continentur. Quarum unaquæque poemata habet quæ in aliis non reperias, sed pleraque duabus vel tribus earumdem collectionum sunt communia.

T. I, p. 1-140, carmina 288. — Codex Escurialensis, n° 413 mei *Catalogi*, p. 407, designatus X-IV-20, est

Ακαδημία Αθηνών / Academy of Athens

minimæ formæ in charta scriptus, manu ejusdem Arsenii qui Philæ poema *De Animalibus* primum edidit. Titulus est : *Στίχοι διάφοροι τοῦ σοφωτάτου Φιλῆ ἐπὶ διαφόροις ὑποθέσεσι.* Is codex a Cotelerio [1] citatur ex bibliothecæ Escurialensis catalogo, quem in manibus habebat : « Id- « que, inquit, firmat meus Bibl. Scorialensis catalogus, « in quo lego, *Μανουὴλ Φιλῆ τοῦ Ἐφεσίου σλίχοι ἰαμβικοὶ* « *διάφοροι.* » Nicolaus *de la Torre*, celeber calligraphus Philippo II stipendiatus, auctor catalogi ante incendium an. 1671 confecti, in folio exteriore titulum inscripsit : *Μανουὴλ Φιλῆ τετράσλιχα εἰς διαφόρους ὑποθέσεις.* Voces *τοῦ Ἐφεσίου* [2] non reperiuntur in codice quem edimus. Spectantne ad auctorem catalogi a Cotelerio citatum qui sciebat aut scire se putabat Manuelem Philen Ephesium esse : an ipse habuit in manibus alterum codicem qui ante incendium exstiterit? Sub n° 71 in Catalogo Nicolai *de la Torre*, p. 337, videmus codicem poematis *De Animalibus*, qui nusquam hodie reperitur, quique in incendio perierit : forsitan in hujus codicis titulo voces *τοῦ Ἐφεσίου* comparebant.

Codex Escurialensis quædam continet carmina quorum Philes auctor non est, quæque alii condiderunt poetæ : Christophorus, Athanasius Monachus et Alexius Macrembolita. Ea pariter edidimus.

T. I, p. 141-460, carmina 267. — Florentinus codex, qui secundam continet collectionem, maxima

[1] *Eccles. gr. mon.* t. III, p. 675.

[2] T. II, p. 267, *τοῦ Μελισσηνοῦ.* An de patria?

Ακαδημία Αθηνών / Academy of Athens

cura singulatim descriptus est in Bandini *Catalogo*, t. II, col. 147 et sq. Hic codex forma in-4° et sæculo XV in charta exaratus, 300 habet folia, quorum pagina prima antiqui possessoris nomen præfert Ἀρλενίου. Ex illo præsertim codice quam plurima excerpsi carmina inedita.

T. II, p. 1-244, carmina 203. — Parisiensis codex, qui tertiam format collectionem, singulari præ aliis dignus est mentione, quia omnium sane Philæ codicum optimus exstat, et quia usque ad hoc tempus exstare eum ignorabatur, etsi a pluribus eruditis indicatus fuerit. Tria complectitur poemata *De Animalibus*, *De Elephante* et *De Plantis*, ut vix dicas quomodo indagantem effugere potuerit *Camum* [1] qui tanta industria omnes *De Animalibus* poematis codices perquisivit et accurate recognovit. Et sub manibus ipse suis hujus poematis correctissimum omnium codicem habebat! Quod quamvis mirum explicari potest singulari errore quo ille codex, etsi sub n° 2876 impressi catalogi per singula describitur, in indice tamen auctorum sub Philæ nomine non indicatur. Hanc reipsa notitiam [2] legimus p. 564 : « Codex bombycinus, olim Tellerianus, quo continentur « *Manuëlis Phile* versus iambici *De Animalium proprietate*, « Michaeli Palæologo nuncupati. Ibi præterea multa alia « reperias illius carmina, partim in sanctorum, partim « in magnatum laudem, quæ ad illustrandam temporum « illorum historiam non parum conferre possent. Initio

[1] *Notic. et extr. des mss.* t. V, p. 623-640.

[2] Hæc notitia citatur in *Bibl. gr.* Fabr. t. VIII, p. 619, *not. x.*

Ακαδημία Αθηνών / Academy of Athens

« folia quædam desiderantur. Is codex sæculo decimo « quarto exaratus videtur. »

Huic notitiæ nihil aliud mihi esse addendum videtur, nisi quod ille codex, quem nunc edo integrum, ad celebrem pertinuit archiepiscopum Tolosanum *de Montchal*, in cujus bibliotheca sub nº 136 reponebatur; ex illa deinde transiit in Tellerianam bibliothecam quæ an. 1701 Regiæ immixta fuit. Is codex diligentissima exaratus manu nobis semper veram lectionem præbet in carminibus aliunde cognitis. Lectionum hujus codicis participem feci doctissimum virum Dübnerum, cui eæ multum sane profuerunt ad edenda in collectione Didotiana tria Philæ didactica poemata. Nunc ipsius cura omnibus partibus expletum et absolutum prostat poema *De Plantis*, cujus primi versus in prioribus editionibus desiderabantur.

Oudinus [1] et Wernsdorfius (præf. § X) repetierunt Boivini [2] notam ad Nicephorum Gregoram; cui Boivino in animo erat ex nostro codice edere poema historicum de Michaelis Glabæ præclare gestis. (Vid. in nostra editione t. II, p. 240-255.) Addit Wernsdorfius hoc poema memorans : « nunc id adhuc, quod doleo, « desideratur. »

Quoniam de carmine historico agitur, lectoris intentum animum appellare mihi liceat in hoc documentum maximi momenti, quatenus spectat ad geographiam Thraciæ, Macedoniæ et regionum trans Hæmum sita-

[1] *De Scriptt. Eccl.* t. III, p. 785.
[2] Cf. Niceph. Greg. ed. Bonn. t. I, præf. p. XVIII, et t. II, p. 1182.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

rum. Ibi multa oppida et loca memorantur incognita. De quibus nunc fere expediendis adii meum illustrissimum doctissimumque magistrum Hasium, qui penitus perspectam habet geographiam tum antiquam tum comparatam omnium regionum. Libenter, ut solet, multorum locorum synonymiam mihi præbuit, imparem vero se confessus est explicandis quibusdam denominationibus, quibus desunt indicia et lumen; cujus lacunæ ratio quærenda in Turcis qui, post subditionem harum regionum, omnia trans Hæmum mutavere nomina.

T. II, p. 265-314, carmina 97. — Vaticanum codicem, in quo continetur quarta collectio, descriptum habes p. xxv præf. edit. Operum Georgii Pisidæ (Romæ, 1777, in-fol.) his verbis : « Codex Vat. est MCXXVI, « membranaceus, ejus formæ, quam dicimus in-16, ni« tide, et eleganter, et ut videtur circa sæculum XIII (imo « sæc. XIV, id est ipso tempore quo floruit Manuel Philes) « a perito calligrapho scriptus. Is est codex, ex quo fue« runt exscripta opuscula Pisidæ ab Holstenio missa Mal« treto, quem Allatius non vidit, a quo apographum bi« bliothecæ Corsinianæ formatum est, et quo demum nos « in hac editione procuranda usi sumus. In eo enim con« tinentur omnia Pisidæ carmina hoc titulo, atque or« dine, Στίχοι Γεωργίου Διακόνου καὶ Σκευοφύλακος « τῆς μεγάλης ἐκκλησίας τοῦ Πισίδου εἰς τὴν Ἑξαήμε« ρον, *in Hexaemeron*, *Epigrammata*, Heraclias, *De Va« nitate vitæ*, contra Severum, *De Expeditione Heraclii*, « *De Bello Abarico*, in Anastasium. Sequuntur anonymi

Ακαδημία Αθηνών / Academy of Athens

« iambi in S. Mariam Ægyptiacam, ac deinde plurima « Philæ carmina..... Codex ut videtur e Columnensium « domo ad bibliothecam Vaticanam transivit: habet enim « in principio hæc verba, *Hoc volumen est mei Nicolai Bar-* « *tholomæi de Columnis.* »

Ex illo codice Vaticano vir doctiss. Matranga, anno elapso defunctus, omnia carmina quæ præ temporis inopia neglexeram, libenter, mei causa, ipse transcripsit. Sed mihi valde dolet quod grates ei publice persolvere non potuerim antequam morte litteris ereptus fuerit. Licet vero iste codex multis mendis scateat, attamen certum habeo non tam mendosum esse quam Matrangæ apographum persuadere posset. Qui quidem vir doctus in legendis codicibus græcis non sat exercitatus erat et *anecdota* indiligentissime edidit. De ejus imperitia certiorem me feci, dum Romæ commorarer.

Collectio Vaticana minoris est momenti quam ceteræ tres; plura carmina, quæ in ea continentur, vel Philæ ingenio inferiora sunt et versus quosdam in alteros miro modo transilientes præbet. Ibi illius *simia* deprehenditur et nostri ea carmina non esse constat.

Sed nobis tacendum non est de duabus aliis collectionibus quas nec voluimus nec potuimus recognoscere. Prior, amplissima quidem, asservatur in codice græco n° 28 bibliothecæ Monacensis. Vir doctus Hardt (conf. *Catal.* t. III, p. 168) omnia quæ in eo continentur carmina sigillatim ac maxima industria recensuit, indicatis etiam titulis, et primo ultimoque versu cujusque poe-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

matis. Duobus exceptis, nullum eorum est quod non reperias in una alterave quatuor collectionum quæ a me jam eduntur. Ea sedulo imis paginis indicavi. Sed duo ex hoc codice carmina mihi deerant et aliud in Parisiensi mutilatum, quæ mihi transcripsit et commodavit G. Krabinger, vir græcæ eruditionis laude celeberrimus.

Altera collectio reperitur in codice græco n° 314, c. II, 16 bibliothecæ Taurinensis, de quo hæc leguntur in Patini *Catalogo*, t. I, p. 395 : « Codex chartaceus, folia « habens 246, sæculi XV, ubi *Manuelis Phile* tetrasticha, « et epigrammata in præcipua christianæ fidei capita, in « quatuor Evangelistas, et in Deiparam, atque sanctos « complures, eorumque imagines; tum iambici versus in « laudem imperatoris Michaelis Palæologi Junioris, cujus « temporibus floruit, et ad eundem *De Animalium natura* « *et proprietatibus*, aliique varii prorsus argumenti, diversis « inscripti viris illustribus, quorum maximam partem ad- « huc in bibliothecarum forulis ineditam latescere existi- « maverim. »

Ex his constat et ipsam amplissimam esse collectionem illam cum eisque consentire de quibus mentionem fecimus. Verum continetne Taurinensis codex alia nova ac inedita carmina? De hac re animi pendeo et epistolæ quas Taurinum misi ut edocerer, absque responso hactenus mansere.

Manuel Philes duo versuum genera usurpavit, iambicum scilicet illis temporibus usitatum, et politicum versum, quo quidem Chiliadas suas Tzetzes conscripsit.

Ακαδημία Αθηνών / Academy of Athens

« Poemata ejus, ait Wernsdorfius, sunt qualia ab ejus « ætate expectaveris, politico metro confecta pleraque; « quod quamvis iambicum appellatur, non tamen iam- « bis pedibus currit, sed syllabarum numero dimensum « est. » Quam quidem sententiam qui sequuntur addunt accentum semper in penultima collocandum esse, in quibus sunt doctissimi viri Isaac Vossius, Dorvillius et clarissimus noster Boissonadius qui, ultra modum hujusce opinionis fautor, conatus est semper et utinam dicere possem conatur adhuc corrigere poetarum illorum versus omnes in quibus antepenultima accepit accentum. Quem errorem confutavit vir clariss. Lebasius [1], et Philes ipse nobis adjumento est, ita ut per eum liceat certissimas leges de versibus illis iambicis constituere.

Versus enim ille, ut sex intra pedes includitur et iambum tantum admittit et spondeum, duodecim syllabis semper constat : tres vero vocales α, ι, υ, aut longæ aut breves fiunt, ut fert poetæ voluntas, et sunt iambi pedes pares, secundus scilicet et quartus et sextus, quæ lex nunquam violatur. Accentu autem, sine ullo discrimine, notatur antepenultima aut penultima, frequentius quidem penultima, sed nunquam ultima. Innumeri sunt versus quorum accentus in antepenultima apponitur; nec aliter Philes ipse sensisse videtur qui totum carmen [2] versibus confecerit quorum antepenultima accentu notatur.

[1] *Biblioth. de l'École des Chartes*, t. II, p. 409.
[2] Vid. t. II, p. 276.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Exceptis quibusdam regulis quarum infra mentio fiet, hos numeros semper et accurate poeta servat : propter licentiam tamen tribus vocalibus concessam scribere non poterat ϖασχητιᾷ pro ϖασχατιᾷ [1]. Itaque haud facile crediderim eum scripsisse Ἥλιε γέρων [2], ideoque legendum γηρῶν proposui, nisi forte syllaba γέ accentus causa longa fiat, ut, lege certa, quædam aliæ.

Hoc vero in peculiari quæstione habendum est, scilicet quæ sit propriorum nominum mensura. Si lex illa certa est, versum iambicum medii ævi temporibus usitatum spondeum tantum et iambum admittere, inde intelligi potest futurum fuisse ut poeta qui legem illam servare voluerit propria quædam nomina nunquam posset citare [3], qualia Σολομῶν, Βαρθολομαῖος, Θεόδωρος, Βεσελεὴλ, Μονομάχος, Παλαιόλογος, item urbium nomina Ἀγαθόπολις, Σωζόπολις, etc. Propria igitur ubi nomina occurrunt, nullam rationem habet quantitatis, qua græci ut poetæ latini pro arbitrio utuntur; huic unice studet ut accentu notet aut non notet syllabam quam longam brevemve fecit. Quam quidem ad legem referenda sunt nomina propria scripta in carmine quodam Christophori [4] de S. Andrea, quod in suis ad Eunapium notis Boissonadius noster in lucem edidit.

[1] T. II, p. 240, 15.

[2] T. I, p. 174, 715.

[3] Idem dicendum de vocibus σεβασϛοκράτωρ et ϛρατοπεδάρχης. Cf. t. I, p. 253, 21 et 32, et t. II, p. 253, 292.

[4] In Eunapium, p. 277 sq., dicit Boissonadius : « Quidam Christo-

Ακαδημία Αθηνών / Academy of Athens

Aliud est nomen quod sæpius iteratum magno poetæ esse impedimento debebat, Ἰωάννης scilicet, quòd quidem etiam scribebatur Ἰωάνης et sic, me judice, scribendum est initio aut in fine versus [1]. Diphthongum brevem vel ω ante vocales breve faciebat. Sic versus initio invenimus Βασιλεΐε ζῆς [2], Τὸν Ἰῶάννην [3], Τὸν Ἰῶαννίκιον [4]. Nomen Δούκας [5] in fine versus positum non aliter intelligitur nisi sumpta illa licentia de qua supra locuti sumus, adnuente hic latina lingua.

Recentiores apud scriptores ω longum est aut breve pro illorum arbitrio, dummodo accentus non sit impositus. Quia vero illa conceditur venia breves aut longas faciendi has tres vocales α, ι, υ, inde necesse est ut aliquoties in accentibus notandis ratio mutetur. Itaque absurdum esset accentu circumflexo, quo semper syllaba longa indicatur, vocales illas tunc notare, quum propter versus numeros breves fiunt, et quamvis in optimis auctorum illorum manuscriptis libris acutus circumflexi locum minime suppleat, nos illum congruenter rectæ rationi supplere debuimus. Idcirco in illa versus sede scripsimus ψύχος et non ψῦχος, κηλίδα et «phorus, etc.» Is est certe Patricius Mitylenensis de quo non semel in hac editione locuti sumus, et cujus nomen vid. in *Indice historico*.

[1] Vid. t. I, p. 400, 261 et 263, et t. II, p. 231, 37.

[2] T. I, p. 353.

[3] T. I, p. 441, 27.

[4] T. I, p. 72, 51.

[5] Tom. I, pag. 37, 9; pag. 247, 4; pag. 319, 18, et tom. II, pag. 19, 52.

Ακαδημία Αθηνών / Academy of Athens

non *κηλῖδα*, Κωνσταντίνος et non Κωνσταντῖνος, *στεφανίται* non autem *στεφανῖται*.

Ea lex est in veterum prosodia ut vocalis quæ brevis est longa fiat ubi eam sequuntur duæ consonantes, et dubia, quum liquida est posterior consonans. In media ætate ea erat illius vocalis quantitas quam volebat poeta, non curans posterioris consonantis naturam. Vocalis autem quæ brevis est, nonnunquam longa fit quum accentu notatur. Sic : Ὡς ἐν νεφέλῃ [1].

Poeta noster plerumque spondeum [2] in quinto pede collocare amat; hiatus [3] vitat accurate et quam diligentissime servat cæsuram.

At carminibus apocryphis aut interpolatis supervacuum esset numeros velle restituere quorum vix ulla ratio habetur. Hoc uno portento probatur illa carmina non a Manuele Phile fuisse composita.

De ejus modo scribendi multa sunt notanda, quædam reprehendenda. In versibus fundendis non incallidus, nimia subtilitate sententias involvit adeo ut mentem sæpius obscuret quæsita caligine et audaciæ indulgeat cujus terminos vix agnoscas. In involuta sæpissime vel allegorica oratione morem Orientis affectat, intemperanter metaphoris utitur et in ea quæ ad animum pertinent res physicas semper infercit. Ideo usque ad

[1] T. II, p. 49, 387.

[2] T. I, p. 182, 920.

[3] T. I, p. 386, 104 : Τὰ τῆς ὕλης αἴσχιστα ἐκτρέπου πάθη. Fort. leg. αἴσχη τε κἀκτρέπου, vel inserendum γ'.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

satietatem et molestiam figuratas usurpat voces κλύδων, νέφος, ἔαρ, ζόφος, γνόφος, λειμών, δρόσος, ἐσμός. Quædam delicatiorem sensum rustice et φορτικῶς offendunt, neque adeo sanctitas argumenti ab imaginibus parum decentibus [1] submovet poetam.

Proverbia sæpe citat quæ nulli nota sunt [2]. Infelici quamvis ubertate prædítus sit, aut potius ob ipsam illam ubertatem, suus ipse aliquando imitator exstitit et partes ejusdem carminis haud semel iterat. Corruptæ illius ætatis consuetudini cedens sæpe ludit in nominibus propriis [3], velut Γρηγόριος, Βασίλειος, etc.

De illo poeta tamen judicium non plane æquum ferremus, si, notatis reprehensisque vitiis, non fateremur aliquoties eum feliciore sane ingenio esse usum. Exstant enim loci Philæ carminum laude minime indigni. Per molestam ac sæpe sterilem ubertatem, nonnullæ, sicut flores in deserto, adparent et nitescunt sermonis venustates ac elegantiæ, prope puram antiquitatem redolentes; et tædium hoc lepore inexspectato abunde compensatur. Præterea, ut jam diximus, vitia Philæ operum tempori justius quam ingenio male nato tribueris.

Primum in animo habueram ut tantum repræsentarem carmina Philæ quæ nunquam in lucem edita fuerant, sed a pluribus doctissimis viris rogatus ut adderem jam ante edita alias, quo summa operis perficeretur

[1] Vid. t. I, p. 57, CXXX.
[2] T. II, p. 138, 5.
[3] Cf. t. II, p. 150.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

(pauca autem erant illa carmina nec meæ editioni magno additamento futura) his voluminibus comprehendere statui omnia Philæ inedita et edita, exceptis modo tribus poematis didacticis quæ in collectione Didotiana vulgavit vir clariss. Dübnerus.

Itaque in eo volumine quod typis exscripsit Didot et eo quem nunc edidi libro exstant omnia quæ supersunt Philæ, si duo tamen aut tria excipias quorum exemplum adipisci non contigit et quæ indicanda curavi in *Indice carminum*.

Non admisi duo carmina a Fabricio [1] haud emendate edita sub Manuelis Philæ nomine, quamvis reperiantur inter illius opera in codice græco Vaticano, quia documenta historica quæ in eis continentur apertissime planissimeque commonstrant falso carmina illa poetæ nostro attributa fuisse. Quod firmissimis argumentis comprobavit et Wernsdorfius, qui eadem et ipse repudiavit. Dutheilius [2], quem fugerunt et editio Fabricii et Wernsdorfii disputatio, multus fuit de his carminibus quorum plurimos versus ex altero codice Vaticano citavit et, eundem demum exitum historicum assequutus, Theodoro Prodromo adscripsit.

Quum noster poeta a se ipso multa mutuetur vel furetur [3] et eisdem semper utatur metaphoris, ad id studium applicui ut in notis eum sedulo secum ipso

[1] *Bibl. gr.* t. VII, p. 712 vet. ed.
[2] *Notices et extr. des mss.* t. VIII, p. 165 et 166.
[3] Vid. t. I, p. 215, *n.* 6.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

compararem et locos quos dicunt parallelos colligerem. Cujus *parallelismi* tædium, si quod est, ut attenuarem, plures ineditos adduxi auctores ex quibus multas easque novas voces excerpsi; non quia in hujusmodi disquisitionibus multum sit curiositatis; at suam habent utilitatem et sunt quasi Ariadnæ fila in litterario Labyrintho. Compositas et γομφοπαγεῖς voces affectat græcæ linguæ natura, a quibus non abstinuerunt Æschylus et Aristophanes : rariora autem verba nobis sunt magno adjumento ut scriptorem fragmentumve operis agnoscamus.

Quæ ut uno quasi conspectu pateant, in calce voluminis habes, præter indicem carminum et indicem historicum propriorum nominum, græcum indicem vocabulorum, et eorum quibus Philes est usus, et quæcumque notis meis carptim inserui. Asterisco notantur quæ *Thesauri græci* supplementis olim erunt inserenda.

Scripsi Lutetiæ Parisiorum, 25 d. Mart. MDCCCLVII.

E. MILLER.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

MANUELIS PHILÆ

CARMINA.

I.

CODEX ESCURIALENSIS.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΣΤΙΧΟΙ ΔΙΑΦΟΡΟΙ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΦΙΛΗ

ΕΠΙ ΔΙΑΦΟΡΟΙΣ ΥΠΟΘΕΣΕΣΙ.

ΤΕΤΡΑΣΤΙΧΑ ΕΙΣ ΤΑΣ ΔΕΣΠΟΤΙΚΑΣ ΕΟΡΤΑΣ.

I. *Εἰς τὸν εὐαγγελισμόν.*

Ὁ πύρινος νοῦς τὸν θεάνθρωπον Λόγον
Τῷ παρθενικῷ μηνύει σοι βιβλίῳ·
Τῷ γὰρ νοητῷ καλάμῳ τοῦ Πνεύματος
Γράψει θεός σοι παγγενῆ[1] σωτηρίαν.

— II. *Χριστοφόρου*[2] *δίστιχον εἰς τὸν αὐτόν.*

Ἤγγειλεν υἱὸν ἄγγελος τῇ παρθένῳ,
Πατρὸς μεγίστης βουλῆς ἄγγελον μέγαν.

— III. *Ἀθανασίου μοναχοῦ εἰς τὸν αὐτόν*[3].

Εὐαγγελιστὰ[4] χαρμονῆς παγκοσμίου,
Τί δὴ σιωπᾷς; τάχα γὰρ ζῶν ἐγράφης.
Δέδοικα, φησὶ, τὴν ψυχὴν τῆς παρθένου
Μήπως ταραχθῇ συγχυθεῖσα τῷ κτύπῳ.

[1] Philes, *De animal.* vs. 1773 : *Οἰκεῖ πρὸς ἀκτὰς παγγενὴς ἠθροισμένος.*

[2] Fort. Christophorus Patricius Mitylen. qui menologium versibus iambicis scripsit. Vid. Fabric. *Bibl. gr.* XI, p. 594. In Bibliotheca Paris. sub n° 1578 asservatur codex hujus menologii. Christophorus quidam memoratur in *Catal. Bibl. Uffenbach.* col. 485, ut auctor poematis in quo Cœlii cujusdam sācerdotis laudes novem distichis exponit.

[3] In codicibus Florent. fol. 162, et Mon. fol. 78, sub nomine Manuelis Philæ et cum hoc lemmate : *Εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου.* Habet et codex Vaticanus 914, fol. 189 r° sub nomine Philæ.

[4] Cod. Esc. *εὐαγγελστά.*

Ακαδημία Αθηνών / Academy of Athens

Εἰ γὰρ μόνον ϖρόσωπον ὀφθὲν οὐ σλέγει,
* Πῶς ἂν λόγων Θόρυβον ὑπήνεγκέ μοι;
Ἄλλως τε σιγῶν τῆς χαρᾶς κῆρυξ μένω,
Λαθεῖν τὸν ἐχθρὸν ὡς Φιλόψογον [1] Θέλων.
Σὺ δὲ, ψυχὴ, σκοποῦσα τὴν εὐτεχνίαν [2],
Ἢ καὶ ϖνοὴν δίδωσι μικροῦ [3] τοῖς τύποις,
Τὸν σχηματισμὸν [4] εὐλαβοῦ τῆς ϖαρθένου.
Εἰ γὰρ ἑαυτὴν εὐτελῆ δούλην κρίνει [5],
Τί χρή σε ϖοιεῖν τῶν ϖαθῶν τὴν σαπρίαν;
Πλὴν εἰ δοκεῖ τὴν ϖαῖδα μιμοῦ τὴν κάτω,
Καὶ τὴν ξένην σύλληψιν αἰδοῦ καὶ τρέμε,
Πλέκουσά [6] μοι τὸ νῆμα [7] τῆς εὐποιΐας [8].

IV. Εἰς τὴν γέννησιν τοῦ Χρισλοῦ.

Θεὸς τὸ τεχθὲν, ἡ τεκοῦσα ϖαρθένος,
Σπορᾶς ἄνευ σύλληψις, ἄφθορος τόκος.
Τοῖς γὰρ ἀτεχνῶς σωσλικοῖς ἐναντίοις
Ἔδει λυθῆναι τοῖς βροτοῖς τἀναντία.

— V. Χρισλοφόρου [9] εἰς τὴν αὐτήν.

Θεὸς τὸ τεχθὲν, ἡ δὲ μήτηρ ϖαρθένος·
Τί μεῖζον ἄλλο καινὸν εἶδεν ἡ κτίσις;

[1] Cyrill. Alex. apud Mai *Bibl. Patr.* t. II, p. 200 : Φιλοψογίας ὑπόθεσιν ϖοιοῦνται τὸ χρῆμα.

[2] Cod. Vat. εὐτεκνίαν.

[3] Cod. Vat. μακροῦ.

[4] Anon. cod. Par. 1277, fol. 187 v°: Τῆς δὲ ψυχῆς ἡ τοῦ γενομένου οἱονεὶ μόρφωσις καὶ ὁ σχηματισμός.

[5] Versus 12 et 13 desunt in cod. Vat. qui 14 post 15 ponit.

[6] Cod. Vat. ϖλέκουσαν. Vid. infra XXIV, 6.

[7] Cf. cod. Par. CXXXIII, 1.

[8] Chion. ep. 7 : Τοῦτο δὲ ἔσλαι ἂν εὐποιΐᾳ αὐτοὺς ἀμυνώμεθα.

[9] Cf. supra II, *not.* 2.

Ακαδημία Αθηνών / Academy of Athens

VI. Εἰς τὴν ὑπαπαντήν.

Ὁ πρέσβυς ἐν γῇ τὸν θεὸν βρέφος βλέπων
* Δεῖται λυθῆναι τῆς φθορᾶς τοῦ σαρκίου·
Τὸ δὲ βρέφος γέγηθε τὸν πρέσβυν βλέπον[1]
Αἱρούμενον ζῆν ἀσφαλέστερον βίον[2].

— VII. Χρισοφόρου εἰς τὴν αὐτήν.

Κόλπους πατρὸς τυποῦσι τοῦ σοῦ, Χριστέ μου,
Τοῦ Συμεὼν αἱ χεῖρες αἳ φέρουσί σε.

VIII. Εἰς εἰκόνα τὴν αὐτὴν ἑορτὴν ἔχουσαν,
ἐν δὲ τῇ περιφανείᾳ προφήτας. l. περιφερείᾳ E. Kurtz, BNJ 4(1923)52

Ζωὴν ἴσως ῥέουσαν εἰ φυγεῖν θέλεις,
Οὐδέν τι καινὸν, δυσφορεῖς γὰρ ὡς γέρων·
Ζωὴν δὲ τὴν ἄῤῥευστον εἰς χεῖρας φέρων,
Τί πάλιν αὐτὴν, Συμεὼν, ἄλλοις δίδως;
Δέδοικα, φησὶ, τοὺς προφήτας τοὺς πέριξ
Τῇ πρεσβυτικῇ συσταλεὶς ἀνανδρίᾳ.
Καὶ τὸ βρέφος δίδωμι τοῖς δεδωκόσι·
Αἰσθάνομαι γὰρ ἀστραπῆς ἀποκρύφου,
Πρὸς ἣν ἐμαυτὸν ἀδρανέστερον βλέπω·
Μᾶλλον δὲ θελχθεὶς, ὡς πρὸς ἄνθρακα βρέφος,
Ἔλαθον εἰς πῦρ ἐμπεσὼν καταφλέγον.
Ἐφρίκεται[3] δ' οὖν μητρικὴ τοῦτο ζέσις,
Ὡς πρὸς ψύχος γέροντος ἀκμαῖον μένον.

[1] In cod. al. βλέπων.

[2] Philem. ap. Stob. XXX, 4 : Οὔτ' ἀνὴρ πένης γεγὼς, Μὴ οὐ τέχνην μαθὼν, δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον. *Sent. monost.* ap. Stob. III, 25 : Ἀεὶ κράτιστόν ἐστι τἀσφαλέστατον.

[3] Dixerit οὐ φρίσσεται, si recte intelligo sententiæ argutias.

Ακαδημία Αθηνών / Academy of Athens

* Ἐγὼ δὲ φῶς ἄῤῥητον ἀθρῆσαι θέλων,
Μετὰ τὸ τὸν χοῦν ἐκτινάξαι τῷ χρόνῳ,
Καθάπερ εἰκὸς πρὸς τὸν ἄνθρακα τρέμω.

IX. Εἰς τὴν βάπτισιν.

Ὁρῶν Ἰησοῦν [1] σαρκικῶς λελουμένον,
Ἰορδάνης τὰ ῥεῖθρα τοπρῶτον στρέφει [2],
Καὶ νῦν ὑπ' αἰδοῦς ἵσταται πεπηγμένος
Τῷ μὴ κινεῖσθαι, καὶ χρυσοῦν εἶδος φέρων [3].

— X. Χριστοφόρου εἰς τὴν αὐτήν.

Τοὺς οὐρανοὺς βάπτισμα τὸ Χριστοῦ σχίσαν
Τοὺς αὐτὸ μὴ χραίνοντας ἔνδον εἰσάγει.

XI. Εἰς τὴν ἔγερσιν [4] τοῦ Λαζάρου.

Καὶ [5] ζῶν Λόγος Λάζαρον ἐκ ζῶντος λόγου
Θᾶττον νεουργεῖ, τὸν χρυσοῦν [6] ὄντως φίλον.
Οὐκ ἦν γὰρ εἰκὸς τῆς φυσῆς τὸν ἐργάτην
Αὐτὸν σαριδεῖν ὑπὸ γῆν τεθαμμένον.

XII. Εἰς εἰκόνα ἔχουσαν τὴν ἔγερσιν τοῦ Λαζάρου.

Ἅπαντα συνθεὶς εὐφυῶς ὁ ζωγράφος
* Μόνην σαρῆκε τὴν βοὴν [7] τοῦ δεσπότου.
Τάχα γὰρ ἂν Λάζαρος ἐντεῦθεν φυέων
Ἀφῆκε φωνὴν εὐδρομῶν [8] κἀν τοῖς τύποις.

[1] Cod. Ἰνῶ.
[2] Cod. al. τὸ σρῶτον βλέπειν.
[3] Cod. Esc. φέρειν. Ex cod. al. φέρων recepi.
[4] Cod. al. ἐξανάστασιν.
[5] Pro καί fort. ὁ.
[6] Cf. infra CXCVIII, 3.
[7] Cod. φωνήν et in marg. βοήν.
[8] Fort. εὔδρομον.

Ακαδημία Αθηνών / Academy of Athens

XIII. Εἰς τὴν αὐτήν.

Κἀνταῦθα Χρισὸς ἐξεγείρει τὸν φίλον·
Ὁ δ' οὐ κινεῖται· κἄν τις εἴποι[1] τοῦ χάριν,
Ἐρεῖ πρὸς αὐτὸν ἡ γραφὴ κἂν μὴ[2] πνέῃ·
Χρισὸς σιωπᾷ· τίς με κινήσει λόγος;

XIV. Εἰς τὴν Βαϊοφόρον[3].

Ἐκ νηπίων σὸματος οἷς οὔπω φθόνος
Ἤδη τὸν[4] αἶνον ψαλμικῶς κατηρτίσω[5].
Καὶ θαῦμα ποιεῖς εἰς γερόντων αἰσχύνην,
Σιὼν βασιλεῦ, μετριάζων[6] ἐνθάδε.

XV. Εἰς τὴν μεταμόρφωσιν.

Τοῖς σώμασι μὲν τὰς σκιὰς δεῖ συντρέχειν,
Χύσιν[7] δὲ φωτὸς τῷ Θαβὼρ κἀν τοῖς[8] τύποις.
Οὐκοῦν, θεατά, σὸῆθι μακρόθεν βλέπων,
Κἂν τὰς ψυχικὰς οὐ νοσῇς[9] ἴσως κόρας.

XVI. Εἰς τὴν σταύρωσιν.

Ἐν ὀργάνῳ βλέπων σε κακούργων, Λόγε,
* Πάντων χάριν θνήσκοντα, πῶς μὴ θαυμάσω;
Σοῦ μὲν γὰρ οὐ πέπονθεν ἡ πρώτη φύσις·
Ἐμοὶ δὲ τὸ ζῆν σαρκικῶς πάσχων δίδως.

[1] Cod. al. εἴπῃ.
[2] Sic alii σιγῶν λαλεῖ et similia.
[3] Cod. al. Εἰς τὰ Βαΐα.
[4] Cod. τὴν αἶνον.
[5] Cod. κατηργάσω et supra κατηρτάσω. Cod. alter κατηρτήσω. Recepi κατηρτίσω ex Sept. *Ps.* VIII, 3 : Ἐκ σὸόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.
[6] Quippe asinâ vectus.
[7] Cf. cod. Fl. CXXII, A, 6.
[8] Cod. al. om. τοῖς.
[9] Pro νοσήσεις. Cod. νοσεῖς.

Ακαδημία Αθηνών / Academy of Athens

XVII. Εἰς τὸν δεσπότην Χριστὸν νεκρὸν ἐπὶ λίθου κείμενον[1].

Νεκρὸν θεωρῶν ἐκ σφαγῆς, ἡμαγμένον
Τὸν δεσπότην, ἄνθρωπε, τῶν δούλων χάριν,
Φρίξον τί[2] καινὸν, καὶ γένου τέως λίθος,
Ὡς ἂν τὸν ἀμνὸν τὸν τυθέντα βαστάσῃς[3].

XVIII. Ἕτεροι[4].

Ἄνθρωπε, συστάληθι καὶ στῆθι τρέμων,
Εἰ δεῦρο νεκρὰν τὴν θεοῦ σάρκα βλέπεις.
Μᾶλλον δὲ καὶ προσελθε καὶ ταύτης φάγε,
Τὸ σαρκικὸν φρόνημα νεκρὸν δεικνύων.

XIX. Εἰς τὸν δεσπότην Χριστὸν ἑλκόμενον ἐπὶ σταυροῦ[5].

Ἵνα τὸν ἐχθρὸν, σῶτερ, ἀνθρώπων λάθῃς,
Δοκεῖς μὲν ἁλγεῖν, ἀλλὰ σὺ[6] σπεύδεις πλέον.

XX. Εἰς τὴν ἀποκαθήλωσιν.

* Ναὶ[7] θάπτε, Νικόδημε, τὸν ζῶντα σπόρον,
Καὶ κρύπτε καὶ λίπαινε δάκρυσι βρέχων[8].
Τριήμερος γὰρ ἐκδοθήσεται στάχυς,
Τροφεὺς[9] νοητὸς καὶ λιμὸν ζωῆς λύων.

XXI. Εἰς τὴν ἀνάστασιν.

Ἀδὰμ νέος γέροντα τῆς γῆς ἁρπάσας

[1] Cod. Mon. fol. 140 sine δεσπότην.
[2] Pro τί fort. leg. τό?
[3] Cod. Mon. βοαστάσης, si recte legit Hardt.
[4] Cod. Mon. fol. 140.
[5] Cod. Mon. fol. 140 sine δεσπότην.
[6] Cod. Mon. σοι pro σύ.
[7] Edidi in meo Catal. codd. Escur. p. 43, ubi καὶ θάπτε. Illud melius.
[8] Cod. al. βρέχε.
[9] Vox erasa in cod. al. Supplebam τροφός.

Καὶ τοὺς σὺν αὐτῷ δεσποτικῶς ἁρπάσας[1],
Ἄνεισιν εἰς φῶς[2] εἰς ϖαλινζωον[3] βίον,
Τοὺς τοῦ σκότους ἄρχοντας ἀφεὶς τῷ σκότῳ.

XXII. Εἰς τὴν ἀνάληψιν.

Ἐν γῇ θεὸς χθὲς, καὶ βροτὸς νῦν ἐν ϖόλῳ·
Τὸ θαῦμα διπλοῦν καὶ τὸ δὴ μεῖζον τόδε·
Παρὼν γὰρ εἰς γῆν οὐ μεθῆκε τὸν ϖόλον·
Ἐκεῖ δὲ ϖαρὼν οὐ κενοῖ τὴν γῆν ϖάλιν.

XXIII. Εἰς τὴν Πεντηκοσλήν[4].

Γλωσσῶν μερισμοὺς[5] καὶ θεόφθογγον[6] χάριν
Τὸ[7] ϖῦρ κατελθὸν τοῦ ϖαρακλήτου βρύεις·
Κἂν τοῖς μέθην ϖάσχουσιν ἐκρίθης μέθη,
Κἂν μακροθυμοῦν τοὺς ϖονηροὺς οὐ φλέγεις[8].

* XXIV. Εἰς εἰκόνα μουσείου, ἔχουσαν τὰς δώδεκα ἑορτάς.

Εὐαγγελισλὴς ἀκριβὴς δεδειγμένος
Τοιαῦτά φησι Κανάβης Ἰωάννης[9]·
Θεὸν ψυχὴ βλέπουσα ϖαρθένου βρέφος
Πρὸς τὴν ἀναγέννησιν ἁγνίσθητί μοι,
Καὶ ϖρεσβυτικῶς τὸν θεάνθρωπον δέχου
Τὰς ἀγκάλας ἁπλοῦσα τῆς εὐποιΐας,
Καὶ δακρύων βάπλιζε σαυτὴν ϖροσχύσει
Τὴν κηλίδα σμήχουσα τῶν ϖεπραγμένων·

[1] Ἐλκύσας vel aliud verbum scriptum fuerit.
[2] Cod. εἰκὸ φῶς (sic).
[3] Conf. infra CLX, 3.
[4] Cod. Fl. fol. 261 r°.
[5] Cod. Fl. μερισμόν.
[6] Cf. cod. Par. CII, 4.
[7] Τὸ est pro : σὺ ὃ εἶ ϖῦρ —, nec est mutandum in ὦ.
[8] Cod. Esc. φλέγῃς. Ex cod. al. φλέγεις recepi.
[9] Fort. Ἰωάνης, metri causa.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Μορφῆς δέ μοι λάμβανε καινῆς ἐμφάσεις
Σοφῶς τὸν αἰσχρὸν ἐξαμείβουσα τρόπον.
Κἂν θανατωθῇς, ἐξαναστήσῃ πάλιν,
Εἰ Χριστὸς ἐγκρίνοι σε τοῖς ὄντως φίλοις.
Εἶτα βρεφῶν ζήλωσον ἁπλάστην φύσιν,
Ὡς ἂν μετ' αὐτῶν ὑποδέξῃ τὸν Λόγον,
Ὃν σαρκικῶς βλέπουσα νεκρὸν ἐν ξύλῳ,
Τὰ σαρκικὰ σταύρωσον ἐμφρόνως μέλη,
Ὡς ἂν φθορᾶς ἄγευστος ἐκ γῆς πυθμένων
* Εἰς τὴν ὑπὲρ νοῦν ἐξανάστασιν φθάσῃς·
Καὶ πρὸς τὸν ἀρχίφωτον [1] ἀναλαμβάνου,
Καὶ πνευματικῶν ἐμφοροῦ χαρισμάτων.
Ὅταν δὲ τὴν ἄμετρον ἀθρῇς παρθένον [2]
Ἐνταῦθα νεκρὰν τῆς γραφῆς, μὴ στυγνάσῃς·
Τηρεῖ γὰρ αὐτὴν καὶ φθορᾶς ὑπερτέραν
Ὁ δημιουργὸς καὶ Θεὸς τῆς Φύσεως.
Γένοιτό σοι γοῦν εὐπρεπὴς [3] ἤδη κλίμαξ
Ἡ τῶν ἑορτῶν δωδεκὰς τῶν ἐνθέων,
Ψηφῖσι λεπταῖς εὐφυῶς πεπηγμένη,
Ὡς ἂν δι' αὐτῆς μυστικῶς ἀναδράμῃς
Πρὸς τὸν δι' ἡμᾶς συγκαταβεβηκότα·
Οὓς γὰρ θεωρεῖς εἰκονισμένους πέριξ
Συνηγόρους τίθημι τῆς σωτηρίας.

[1] Pantaleon in S. Michael. cod. Par. 501, fol. 126 v°: Τῆς ἀρχιφώτου καὶ μοναδικῆς καὶ τρισηλίου καὶ παντοδυνάμου θεότητος. Anon. *De invent. capitis S. Jo. Bapt. Actt. SS. Jun.* t. IV, p. 735: Τῇ ἀρχιφώτῳ ἑνοῦσθαι τριάδι.

[2] «Jam (inquit) si vides in hac parte tabulæ (ἐνταῦθα τῆς γραφῆς) Virginem mortuam, ne time: nam servabit corpus incorruptum, etc.» Sed ἄμετρον epitheton quid sibi velit non dispicio.

[3] Fortasse εὐπρεπής, parata.

Ακαδημία Αθηνών / Academy of Athens

XXV. Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.

Ζωῆς ξένην κοίμησιν ἐκ χρυσαργύρου
Δίδωσι τέχνη, καὶ τοδὶ[1] μάλα ξένον·
Ὅτι γε καὶ σχήματα ϖενθούντων Φέρει
Τὰ τῆς ψυχῆς τυποῦσα ταῖς ὕλαις ϖάθη.

XXV. a. Ἕτερον εἰς τὴν αὐτήν.

Σὺ ζῶντος[2] μήτηρ καὶ Θανόντων Θυγάτηρ,
Καὶ συναποθνήσκουσα τοῖς σοῖς ϖατράσι,
Σὺν τῷ τόκῳ ζῇς καὶ Φθορᾶς ἔξω μένεις.

—* XXVI. Ἀθανασίου μοναχοῦ εἰς τὴν αὐτήν. Joann. Mozzen.

Λιγυρᾷ[3] τῇ Φόρμιγγι καὶ τερψιθύμῳ,
Δαβὶδ, Θεοκρότητον[4] ᾄσόν τι μέλος.
Ἡ γὰρ κιβωτὸς διαθήκης τῆς νέας,
Ὥσπερ ϖροηγόρευσας εὐρύθμῳ λόγῳ,
Ἐκ τῶν γεηρῶν ἀρτίως μετασλάσα,
Εἰς ἀνάπαυσιν κατέπαυσε τὴν ἄνω·

[1] Al. τὸ δή. Quod defendi potest.

[2] Leg. Ζῶντος σὺ μήτηρ. Hoc tristichon non habet cod. Esc. Ex altero ejusdem bibliothecæ recepi. Conf. Catal. meum codd. Esc. p. 42.

[3] Leg. Τῇ λιγυρᾷ. Jo. Eugenicus in Chrysost. Catalog. codd. Flor. t. III, p. 322 : Καὶ τερψίθυμος τῆς μετανοίας Φόρμιγξ. Conf. cod. Par. CXXXVI, 3.

[4] Vox addenda lexicis. Jo. Eugenicus, cod. Paris. 2075, fol. 9 r°: Οἱ τὴν ἱερὰν ϖρώτην ἅθροισιν κοσμήσαντες καὶ δόγμασιν ἀποσλολικοῖς ἑδραιώσαντες τὴν ἁγίαν ϖίσλιν, ἐκθέμενοι τὸ ταύτης ἱερὸν καὶ Θεοκρότητον σύμβολον ἱερῶς ὑμνείσθωσαν. Adde Θεόκροτος ex eod. cod. fol. 395 r°: Ἡ μελίΦωνος σάλπιγξ, ἡ Θεόκροτος βροντή. — Ἀλληλοκρότητος, German. Cp. codex Coisl. 278, fol. 50 v°: Ἀλληλοκρότητα τὰ ϖροΦητικά. Id. fol. 190 r°: ἈμΦότεροι ἀλληλοκρότητοι. — Παιανόκροτος, infra v. 82. — Πνευματόκροτος, Michael Lucudas cod. Mon. catal. t. II, p. 172 : Οὗ κορέσθης τὰς (leg. κορεσθεὶς τοῖς) τοῦ Δαυὶδ ϖνευματοκρότοις Φθόγγοις.

Ακαδημία Αθηνών / Academy of Athens

Θείου δὲ φωτὸς νεφέλη τερασ|ίως[1]
Κάτεισι ταύτης τῇ ϖροπομπῇ συνάραι.
Ἔδει γὰρ αὐτὴν φωτὸς οἷα νεφέλην
Πρὸς φέγγος ἀΐδιον ἀνιπ|αμένην,
Ὑπηρέτιν[2] σχεῖν φωσφοροῦσαν νεφέλην.
Καὶ γοῦν ὑπὲρ ἔννοιαν ἐκ γῆς τερμάτων
Χοροσ|ασία ϖᾶσα τῶν ἀποσ|όλων
Φοιτᾷ ϖρὸς αὐτὴν ἀθρόον ταῖς νεφέλαις,
Ἢ καὶ λόγοις ϖρὸς τήνδε τοιοῖσδε χράται·
« Ποῦ νῦν ἀπαίρεις, ἡ νοουμένη κλίμαξ,
* Δι' ἧς θεὸς μὲν κατέβη ϖρὸς τὴν χθόνα,
Καὶ τῇ βροτείᾳ συνανακραθεὶς[3] φύσει
Διπλοῦς ὑπῆρξε τὰς φύσεις μὴ συγχέας;
Βροτοὶ δὲ θείας οὐσίας τετευχότες
Πρὸς ὕψος οὐράνιον ἤρθημεν ξένως.
Πῶς ἡ φεραυγίζουσα ϖυρφόρος βάτος,
Καὶ μηδ' ὁπωσοῦν τῷ ϖυρὶ ϖιμπραμένη,
Οἷα καθαρεύουσα ῥύπου ϖλαισμάτων,
Νῦν ταῖς ϖυράγραις τοῦ θανάτου συνέχῃ;
Εἰ γὰρ ἁμαρτίας μὲν ἔκγονος μόρος,
Ἔνθα ϖέφευγεν[4] ἥδε, χώραν οὐκ ἔχει·

[1] Cod. *τερασ|είως*, quod vel metri causa mutavi.

[2] Cod. *ὑπηρέτην*.

[3] German. Constantinop. cod. Coisl. 278, fol. 26 v°: *Οὐδὲ ὁ ἀσθενῶν συγχωρήσει τὸ φάρμακον συνανακραθῆναι τοῖς ϖάσχουσι μέλεσι.* Id. fol. 46 v°: *Γίνεται δέ τις σύσσωμος τῷ Χρισ|ῷ, μεταλαμβάνων τοῦ ϖαναγίου αὐτοῦ σώματος καθαρῷ συνειδότι καὶ συνανακιρνάμενος ϖρὸς αὐτὸ καὶ σῶμα καὶ ψυχὴν ἁγιαζόμενός τε καὶ φωτιζόμενος.* Id. fol. 47 r°: *Δι' αὐτῶν αὐτοῖς συνανακιρνάμενός τε καὶ συνενούμενος.* Joan. Stauracius in S. Demetrium, codex Coislin. 146, fol. 79 r°: *Τοῖς ϖᾶσι συνανακίρνασθαι ϖως μύροις τοῖς ἑαυτοῦ.* Vid. quoque Proclum in Tim. p. 60.

[4] Cod. *ϖέφευγε χώραν* et ad marg. *ἥδε*.

Ακαδημία Αθηνών / Academy of Athens

Πῶς ἡ χρυσαυγὶς[1] σλάμνος ἡ μαννοβρύτις[2]
Τὸν σκύφον[3] ἐκπέπωκε τὸν τοῦ θανάτου;
Πῶς ἡ σλέγουσα φῶς ἄδυτον λυχνία
Ἐσβεσμένην ἔσχηκε τὴν θρυαλλίδα;
Ἡ ῥάβδος ἡ βλασλήσασα πρὶν ἀνίκμως,
Πῶς ζωτικῆς ἄμοιρος ταυῦν ἰκμάδος;
Ἡ τῷ ταμίᾳ τῆς ζωῆς βατὴ πύλη,
* Πῶς τὴν φέρουσαν εἰς Ἅδην ἔδυ πύλην;
Ἡ θεία πῶς τράπεζα καὶ ψυχοτρόφος[4],
Ἄψυχος, ἀκίνητος, ἄναυδος πέλει;
Ἡ πασλὰς ἐξ ἧς νυμφικῶς ἐσλαλμένος
Προῆλθε Χρισλὸς συμπλακεὶς τῷ σαρκίῳ,
Τῷ μνήματι πῶς νεκρικῶς[5] συνεσλάλη;
Ὅρος τὸ πῖον ἀρετῶν ταῖς ἰδέαις,
Ἐξ οὗ χερῶν ἄνευθεν ἐτμήθη λίθος,
Πῶς τῷ λίθῳ καλύπλεται ξενοτρόπως[6];
Πῶς ἡ θεαυγὴς ἐπλάφωτος[7] λυχνία,
Ἡ πᾶσαν ἄρδην αὐγάσασα τὴν κτίσιν,
Ἐκ γῆς δύνασα πρὸς τὸ πρῶτον φῶς ἔβη;
Πῶς ἡ κόσμῳ βλύσασα τῆς ζωῆς χύσις
Μειώσασά τε τὸ σκότος τῆς ἀπάτης
Καὶ θείας ἀσλράψασα γνώσεως φάος,

[1] Fort. leg. χρυσαυγής. Conf. cod. Par. LXXXV, 2.

[2] Cod. μανοβρύτις.

[3] Const. Manass. 871 : Ὡς οὖν Καμβύσης ἔπιε τὸν τοῦ θανάτου σκύφον. Id. 312 : Καὶ τὸν τοῦ δόλου σκύφον Ἐπέχρισε γλυκάζοντι μέλιτι κολακείας.

[4] Cod. ψοτρόφος. Cod. Flor. CXCVIII, 193 : Τοὺς πνευματικοὺς καὶ ψυχοτρόφους πόνους.

[5] Hoc adverbium reperitur infra CLXXIII, 9. Cod. Flor. CCXIII, 33. *De animal.* 845. Cod. Vat. XVI, 7 : Ἀνίσλαται δὲ νεκρικῶς τεθαμμένος.

[6] Philes, *De anim.* 999 : Ἁλίσκεται δ' οὖν ὁ θρασὺς ξενοτρόπως, Κόρης ἀπάτης ὄψει καὶ μελουργίᾳ.

[7] S. Ephr. *Opp.* III, p. 529, E : Λυχνία ἐπλάφωτε.

Ακαδημία Αθηνών / Academy of Athens

Ζωὴν λιποῦσα τὴν ῥέουσαν ἀσμένως,
Πρὸς βιοτὴν ἄφθαρτον ἀνελήλυθει; ⁋
Οὕτωσὶ τούτων τοῖς σοφοῖς ἀποστόλοις
* Κατωδύνῳ πνεύματι ῥηθέντων τότε,
Πυρσεῦσαν αἴφνης φέγγος ἀστραπηβόλον [1]
Τὴν οἰκίαν πλήσειεν [2] ἀῤῥήτῳ [3] λόγῳ,
Ἔνθα κιβωτὸς κατέπαυσεν ἡ νέα·
Φωνὴ δ' ἀμυδρὰ τοῦ Θεοῦ καὶ δεσπότου
Ὡς λεπτοτάτης αὔρας ἤκουστο ξένως,
Τῇ μητρανάνδρῳ [4] ταῦτα φωνοῦσα κόρῃ:
« Δεῦρ' ἴθι, βασίλισσα κοσμιωτάτη,
Ἀνακτορικοὺς πρὸς δόμους οὐρανίους
Συμβασιλεύειν τῷ Θεῷ σου καὶ γόνῳ.
Ἴθι, λογικὲ παράδεισε, συντόνως
Πρὸς παραδείσου τὰ περίδοξα πλάτη.
Περιστερὰ βάδιζε κεχρυσωμένη
Πρὸς τὴν κιβωτὸν τὴν Θεόδμητον [5] τάχος
Τὸ κοσμικὸν ναυάγιον διαδράσα.
Γέφυρα πορθμεύθητι πρὸς τὸν λιμένα
Τὸν ἀκύμαντον καὶ πάσης ἐκτὸς ζάλης.
Ἡ τὰς ὀδύνας πρὶν φυγοῦσα τοῦ τόκου
* Πρὸς ἄπονον νῦν λῆξιν ἐλθὲ, παρθένε·
Ὅλη γὰρ καλὴ καὶ δίχα παντὸς ψόγου

[1] Anon. ap. Cramer, *Anecd. Par.* t. IV, p. 267: Ὄψιν ἀστραπηβόλον. Meliteniot. v. 993: Δίκην κατόπτρων διαυγῶν ἄλλων ἀστραπηβόλων. Id. 1032: Τὴν κόσμησιν τῶν κεράμων Καὶ τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν οὖσαν ἀστραπηβόλον. Doxopater in S. Athanas. v. 7: Καὶ πανταχοῦ φθάνουσιν ἀστραπηβόλως.

[2] Fort. scribendum ἔπλησεν.

[3] Michael. Syncell. cod. Coisl. 146, fol. 224 v°: Τῇ ἀῤῥήτῳ μεθέξει θεαυγίας ὅλως πληρούμενος.

[4] Cf. cod. Par. XXXIII, 2.

[5] Michael. Syncell. cod. Coisl. n° 146, fol. 230 v°: Ὦ δυὰς ἀγγέλων θεοδμήτων πρωτεύουσα.

Πλησίον οἴκει τοιγαροῦν τοῦ σοῦ τόκου. ν
Ταῦτα φράσας, ὦ κτίσλα, τῇ γειναμένῃ,
Σὺ μὲν τὸ πνεῦμα τῆς τεκούσης λαμβάνεις
Καὶ πρὸς τὰς ἄνω λαμπρότητας ἀνάγεις,
Ἀρχαγγελικῆς ταγματοσλραταρχίας [1]
Δορυφορούσης καὶ προπεμπούσης φόβῳ.
Τὸ σκῆνος αὖ δὲ τοῖς χοροῖς ἀποσλόλων
Κομίζεται πρὸς μνῆμα τὸ ζωηφόρον
Ὑμνῳδιῶν ἅσμασι θελξικαρδίων
Καὶ λιγυροῖς φθέγμασι πανοκρότοις [2].
Ἀλλ' οὐ σθεναρὸν ἦν κρατεῖσθαι τῷ τάφῳ
Τὸ βασλάσαν ἔσωθεν ἀῤῥητοτρόπως [3]
Τὸν καθελόντα τοῦ θανάτου τὸ κράτος.
Ἄνεισι τοίνυν εὐκλεῶς ἐριτίμως [4]
Εἰς οὐρανίους καὶ φεραυγεῖς πασλάδας,
Εἰς δόξαν ἀΐδιον, εἰς θυμηδίαν,
* Εἰς φέγγος ἀνέκλειπλον, εἰς ζωὴν ξένην
Ἡ νῦν μεθεκτῶς ὡς θέμις θεουμένη,
Αὐλὰ κτῖσιν αὐλοῖς [5] τε φρυκτωρουμένη,
Συμβασιλεύει τῷ θεανθρώπῳ Λόγῳ.

[1] Vox nota ex Psello in Cantic. Cantic. p. 119. Vid. *Thesaur.*

[2] Hac voce augenda Lexica. De compositis in *κροτος* et *κρότητος* vide supra *not.* ad v. 2. Hic obiter addam : Προσεπικροτέω, Anon. in Jo. Comnen. cod. Esc. II, Υ, 10, fol. 417 r° : Οὐχ οὕτω Λάκωνες Ἀγησίλεων μετὰ τὰ ἐπ' Ἰωνίας τρόπαια καὶ τοῦ Ἑλλησπόντου κατάσχεσιν καὶ τῆς Ἑλλάδος ἀνόρθωσιν, ὡς νῦν ἡμεῖς ὅλοι κατάκρας ἔνθεοί τε ὄντες καὶ θεοφόρητοι, ὅλοι κατάκρας ἡδονῆς καὶ γήθους αἰχμάλωτοι θριαμβεύομεν ὡς οἷόν τε τὰ ἐπινίκια καὶ προσεπικροτοῦμεν τὰ εἰσιτήρια. — Συγκροτισμός, Synod. Constantinop. *Spicil. Rom.* t. X, p. 24 : Εἰς συγκροτισμὸν καὶ παράσλασιν ἐναργῆ.

[3] Anon. cod. Paris. 400, fol. 17 v° : Ὡς γάρ σοι τὰ σήμαντρα τῆς παρθενίας Ἀρρητοτρόπως ἐφύλαξα πανσόφως.

[4] Hoc adverbium ignorant Lexicographi.

[5] Lege Ἀκτῖσιν ἀύλοις.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀλλ' ὦ πανα‍μώμητε[1] μῆτερ πα‍ρθένε,
Ἡ τῷ θεῷ μου σάρκα δανεισα‍μένη,
Καὶ τοὺς βροτοὺς θέωσιν ἐνδυσα‍μένη,
Ἡ κατάραν λύσασα τῶν πα‍ροπατόρων,
Καὶ μακαρισμὸν πη‍γάσασα τοῖς πάσιν,
Ἡ τοῦ Σατὰν λύσασα τὴν τυραννίδα,
Καὶ τοῖς μέροψι δοῦσα κατ' αὐτοῦ νίκην,
Πρόσληθι λαοῦ τοῦ σὲ τιμῶντος πόθῳ,
Χρισ‍λωνύμῳ[2] κλήσει τε κεκλεϊσμένου,
Ὕψωσον αὐτοῦ πα‍ντάνασσα τὸ σθένος·
Λῦσον τὰ φρυάγματα Σατὰν τοῦ πλάνου,
Σύντριψον αὐτοῦ τὰς καθ' ἡμῶν πα‍γίδας·
Τὴν ἐμφύλιον ἐξολόθρευσον μάχην,
Ἐκκλησίας τὸ σχίσμα πα‍ῦσον σῷ κράτει[3],
* Τὸν τάραχον πράϋνον, εἰρήνης ἔαρ[4],
Ταῖς σαῖς λιταῖς δὸς καὶ σ‍ταθηρὰν ἀγάπην.
Ὁρᾷς γὰρ οἷα πάσχομεν, θεητόκε,
Ἀντιλαβοῦ γοῦν καὶ ῥύσαι τῶν κινδύνων
Τοὺς ἐκ μέσης σοι πρ‍οσ‍τρέχοντας καρδίας,
Ἵνα μεγαλύνωμεν εὐσεβοφρόνως[5],
Ἵνα τιμῶμεν ἀσιγήτοις ἐν λόγοις
Τὴν σὴν πρὸς ἡμᾶς συμπάθειαν καὶ σχέσιν.
Ταυτὶ μὲν οὕτω· σὺ δ' ἐπευλόγει, θύτα.

[1] Cf. cod. Flor. XLI, 16.

[2] Unde Χρισ‍λωνυμία, Anon. in Jo. Comnen. cod. Esc. II, Υ, 10, f. 425 r°: Ὡς σφραγίδα πολύτιμον τὴν Χρισ‍λωνυμίαν ἐδέξατο.

[3] Cod. male σωκράτει.

[4] Conf. cod. Par. XIV, 538.

[5] Anon. cod. Par. 1087, fol. 162 r°: Σὴν εἰκόνα γράφοντες ἐκ τῶν χρωμάτων, Ὁρῶμεν ὡς (fort. εἰς) σὲ, πρ‍οσκυνοῦμεν ὡς θέμις, Καὶ τὸν πόθον πλη‍ροῦμεν εὐλαβοτρόπως, Καὶ τὸν λόγον κυροῦμεν εὐσεβοφρόνως.

Ακαδημία Αθηνών / Academy of Athens

XXVII. Εἰς τὴν αὐτήν[1].

Τὴν ἔμψυχον βίβλον σε τοῦ ζῶντος λόγου,
Τὴν τῶν φυσικῶν αἰτιῶν ὑπερτέραν,
Καὶ συλλογισμῶν τεχνικῶν ἀλλοτρίαν,
Καὶ γραμματισ⟨τ⟩οῦ δεξιᾶς ἐλευθέραν,
Ἣν αὐτὸς ἐσφράγισεν ὁ κλείσας πάλαι,
Τὸ πυξίον, τὴν πλάκα, τὸν θεῖον τόμον,
Ἐν ᾧ θεοβράβευτος[2] ἐγράφη τόκος,
* Τῆς[3] κτίσεως τὸ θαῦμα[4] τῆς νοουμένης,
Τῆς φύσεως τὸ σφύγμα[5] τῆς παρειμένης,
Τὴν ἐκ βρέφους ἄμεμπτον ὡς ὑπὲρ φύσιν,
Τὴν εἰς φράσιν[6] ἄληπτον ὡς ὑπὲρ λόγον,
Τὴν Μαριὰμ τὸ χρῆμα τῆς σωτηρίας,
Παροῦσαν εὐρὼν μυστικῶς τῷ βιβλίῳ,
Σκιρτῶ καθαρῶς καὶ πλατύνω τὸ στόμα,
Πανηγυρικῶς[7] εὐτρεπίζων τὸν λόγον.
Ἀλλ' ὡς τεκοῦσα τὸν θεάνθρωπον Λόγον,
Καὶ παρθένος μείνασα τοῦ γένους χάριν,
Ἄνοιξον ἡμῖν τῆς ψυχῆς τὸ βιβλίον,
Καὶ τὴν χάριν ἔγγραψον αὐτῷ τῶν λόγων.

[1] Εἰς ἀνάγνωσιν λόγου τῆς κοιμήσεως cod. Par. fol. 250 v°. Αὐθωρὸν εἰς τὸν λόγον τὸν εἰς τὴν κοίμησιν τῆς θεοτόκου cod. M. fol. 137.

[2] Cod. Par. 1578, p. 161.

[3] In cod. Paris. versus 8 notatur ϛ, et versus 9 α, et sane hic ordo melior 9, 8.

[4] τὸ σφίγμα cod. Par.

[5] τὸ θαῦμα τῆς νοουμένης cod. Par.

[6] εἴσφρασιν cod. Esc.

[7] Theodor. Prodr. *Notices des man.* t. VI, p. 562 : Χρήσω τῷ ἀλάλῳ γλῶσσαν δεινὴν, καὶ οὐ πόῤῥω νόμων ῥητορείας πανηγυρίστριαν. Cod. Coisl. 219, fol. 5 r° : Διὰ τοῦτο οἱ μὲν πανηγυρισταὶ (in marg. πανηγυριστικοὶ) οὗτοι καὶ χορευταὶ (χορευτικοὶ) μελῳδοὶ ὡς ἄλλης ἰδέας οὖσαν ἡ πανηγυρικῆς αὐτὴν ἀποτροπιάζονται.

Ακαδημία Αθηνών / Academy of Athens

Κἂν γὰρ καθεύδῃς τοῖς νόμοις τῆς Φύσεως,
Ἀλλ' ἐκ Φθορᾶς ἄγρυπνος[1] εὑρέθης πάλιν·
Τῆς γὰρ τελευτῆς[2] τῶν νεΦῶν[3] ἐπηρμένων
Καὶ βασιλεὺς ἐνταῦθα παρὼν τυγχάνει[4]
ΣοΦὸς, γαληνὸς, εὐσεΦὴς[5], κοσμοτρόΦος[6],
Καὶ πατριάρχης ὡς Θεοῦ μέγας Θύτης,
Καὶ τῶν λογικῶν Θρεμμάτων οἱ ποιμένες,
Ὡς ἂν ἐκεῖ λαβοῦσα τοὺς ἀποστόλους
* Κἀνταῦθα τοὺς σοὺς εὐλογῇς ἀποστόλους.

XXVIII. Εἰς τὴν αὐτήν.

Οὐ Θαῦμα[7] Θνήσκειν κοσμοσώτειραν[8] κόρην
Τοῦ κοσμοπλάστου σαρκικῶς τεθνηκότος.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΥΣ ΤΕΣΣΑΡΑΣ ΕΥΑΓΓΕΛΙΣΤΑΣ.

XXIX. Εἰς εἰκόνα τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ[9].

ΓράΦει σε, Λουκᾶ, τεχνικῶς ὁ ζωγράΦος·
Μήπως κακίσῃς τὴν γραΦὴν ὡς τεχνίτης.
Λέγουσι γὰρ εἶναί σε καὶ σκιαγράΦον
Τὸν χρωματουργὸν[10] τῶν ἀπορρήτων λόγων.

XXX. Εἰς τὸν αὐτὸν καθήμενον καὶ γράΦοντα[11].

Ὦ μόσχε, Λουκᾶ, τῆς Θεοῦ γεωργίας,
Ἐνθάδε[12] τὸν σὸν μυστικὸν σπόρον βλέπων

[1] Adverb. ἀγρύπνως ex Origen. t. I, p. 69, lexicis adde.
[2] ἑορτῆς cod. Esc.
[3] Conf. cod. Flor. CXI, 5.
[4] ἐνταῦθα δὴ πάρεστί σοι cod. Par.
[5] Cf. cod. Par. LXII, 74.
[6] Cf. infra CXLVIII, 5.
[7] Cod. καῦμα.
[8] Conf. cod. Par. CCXXX, 3.
[9] Codex al. Εἰς τὸν εὐαγγελιστὴν Λουκᾶν.
[10] Anon. cod. Par. 2506, fol. 3 r°.
[11] In Catal. meo codd. Escur. p. 41.
[12] Cod. al. ἐνταῦθα.

Εὐαγγελικὸν βούλομαι δρέπειν σλάχυν,
* Ὅπως τὸν ἄρτον τῇ ψυχῇ θησαυρίσω.

XXX. A. Εἰς τὸ αὐτό[1].

Ἄνθρωπε σιγῶν εὐλαβῶς δεῦρο σκόπει,
Μήπως ὁ Λουκᾶς συγχυθῇ πρὸς τὸ γράφειν·
Τοῦ γὰρ παρὰ σοῦ θᾶτλον ἀκούσας ψόφου
Τὴν χεῖρα κινεῖν ἄχρι τινὸς οὐ θέλει.

XXXI. Εἰς τὸν εὐαγγελισλὴν Ματθαῖον καθεζόμενον[2] καὶ γράφοντα.

Ὁ[3] χθὲς τελώνης σήμερον σεσωσμένος
Τὴν τοῦ Λόγου σάρκωσιν ἐνθάδε γράφει,
Δι' ἧς τελώνης καὶ φονεὺς εἴπερ θέλει
Εὐαγγελισλὴς γίνεται θεογράφος[4].

XXXII. Εἰς τὸ ἀνθρωπόμορφον αὐτοῦ ζῴδιον[5].

Τὴν ἀγγελικὴν οὐκ ἔχων ἀσαρκίαν
Εὐαγγελισλοῦ[6] σαρκικοῦ τύπον φέρεις,
Οὐχ ὡς ἐχόντων τι πλέον τῶν ἀγγέλων,
Ἀλλ' ὡς γράφων ἔνσαρκον ἡμῖν τὸν Λόγον.

XXXIII. Εἰς τὴν ὑπόθεσιν τοῦ κατ' αὐτὸν εὐαγγελίου[7].

Θεὸς[8] τὸν Ἀδὰμ εἰς Ἐδὲμ τάτλει[9] πλάσας·
Αὐτὸς δὲ θελχθεὶς γευσλικῶς παρεσφάλη,

[1] Recepi ex altero codice. Conf. Catal. meum codd. Esc. p. 44.

[2] Cod. al. καθήμενον.

[3] Cod. al. om. Ὁ.

[4] Conf. infra CLVIII, 9.

[5] Cod. al. Εἰς τὰ δ' αὐτόμορφα (sic) ζῴδια τῶν δ' εὐαγγελισλῶν. Εἰς τὸν εὐαγγελισλὴν Ματθαῖον. Cf. Ducang. *Glossar.* s. v. Ζῴδιον.

[6] Cod. εὐαγγελικοῦ.

[7] Cod. Flor. fol. 217 v° ubi Εἰς τὸν αὐτόν, i. e. in S. Matthæum.

[8] Cod. Esc. Χρισλός pro Θεός.

[9] Cod. Esc. πλάτλει, et al. τάτλει.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γίνεται σὰρξ ὁ σπορεὺς πάντων λόγος,
Ὅπως ὁ κόσμος εὑρεθῇ σεσωσμένος.

XXXIV. Εἰς τὸν εὐαγγελισὴν Ἰωάννην καθεζόμενον καὶ γράφοντα[1].

* Βροντὴ λογικὴ τὰς ἐμὰς κτυπεῖ Φρένας·
Ὄμβρος γὰρ οὐδείς, οὐδὲ κοιλότης νέφους.
Αὐτὸς δὲ βροντῶν[2] ὁ Ζεβεδαίου γράφει
Ὄμβροις ἀδήλοις τοὺς βροτοὺς ἀναψύχων.

XXXV. Εἰς τὸ ἀετόμορφον[3] αὐτοῦ ζῴδιον[4].

Τὸν ἀετόν σε τὸν Θεόπλην[5] τὸν μέγαν
Ὁ Χρισὸς αὐτὸς ἀνὰ τὸ σῆθος Φέρων
Τρανῶς λέγειν ἔοικε τῇ κοσμουργίᾳ·
Σέβου τὸ δεῖγμα τῆς ἐμῆς μοναρχίας.

XXXVI. Εἰς εἰκόνα αὐτοῦ, ἐπὶ τῶν ἐπισολῶν[6] ἱσλαμένην[7].

Φέρων ἐπ' ὤμων τὸν ζυγὸν τοῦ δεσπότου
Κέκυφεν εἰς γῆν ὁ[8] Ζεβεδαίου γόνος,
Ἡ παρὰ τὴν Θάλασσαν[9] ἑσλὼς τῶν λόγων
* Βλέπει τὸ τῆς χάριτος ἐξ ἔθους βάθος.

[1] Cod. al. Εἰς τὸν ἠγαπημένον Θεολόγον καθήμενον καὶ γράφοντα.

[2] Cod. βροτῶν.

[3] Vox addenda lexicis. German. Cp. cod. Coisl. 278, fol. 119 r°: Πέτρος δὲ τῷ ἀετομόρφῳ τούτῳ εὐαγγελίῳ τὸ πλεῖσλον συνεβάλετο.

[4] Cod. al. Εἰς τὸ ζῴδιον τοῦ ἁγίου ἀποσλόλου καὶ εὐαγγελισλοῦ Ἰωάννου.

[5] Cf. cod. Par. XIV, 242.

[6] Cod. ἐπὶ τῶν ἐπὶ σῆλῶν.

[7] Cod. al. Εἰς τὴν εἰκόνα αὐτοῦ ἱσλαμένην ἐπὶ τῶν ἐπισολῶν.

[8] Cod. al. τοῦ pro ὁ.

[9] Philes, *In Imper.* 13, ed. Wernsd.: Καὶ Φεύγει σου τὸ μέγεθος ἡ Θάλασσα τῶν λόγων. Cf. Boiss. in Psellum, *De Tantalo*, p. 347, et Cramer, *Anecd. Gr.* Paris. t. IV, p. 300.

Ακαδημία Αθηνών / Academy of Athens

XXXVII. Εἰς τὸν ἅγιον Μάρκον καθεζόμενον[1] καὶ γράφοντα.

Ἔχων ὁ Μάρκος τὸν σκοπὸν πρὸς τὸ γράφειν
Μένει σιωπῶν· οὐ γὰρ ὡς ἄπνους τύπος,
Ἀλλ' ὡς ἔτι ζῶν καὶ κινεῖται καὶ πνέει,
Κἂν ἀτρέμας πέπηγεν ἡμέρα γράφων.

ἡρέμα Kurtz, BNJ 4, 52

XXXVIII. Εἰς τὸ λεοντῶδες αὐτοῦ ζῴδιον[2].

Λέων ὁ Μάρκος εὑρεθεὶς ἐκ τῶν λόγων
Φρικτῶν βρυχηθμῶν ἐξερεύγεται[3] κτύπους,
Οὓς ἡ κτίσις πλήξασα δορκάδος δίκην
Τοὺς δυσπλόκους[4] πέφευγε τῆς πλάνης βρόχους.

XXXIX. Εἰς τὰ δ' θεῖα καὶ ἱερὰ εὐαγγέλια[5].

Ὁ πᾶσαν ἁπλῶς[6] τεκτονεύσας τὴν κτίσιν,
Ἐν πᾶσι τηρῶν τὴν τιμὴν τῆς τετράδος,
Τέσσαρσι καιροῖς ὡραΐζει τὸν χρόνον·
Τέμνει δὲ τὴν γῆν τετραχῇ καὶ τὸν πόλον,
Ἄρδει δὲ[7] ῥείθροις τὴν Ἐδὲμ τετρασλόμοις[8],
Περικρατεῖ δὲ καὶ τὸ πᾶν τῇ τετράδι,
Καὶ δημιουργεῖ τὴν ἐμὴν γῆθεν Φύσιν,
Τετράπλοκον[9] σύνδεσμον ἐνθεὶς τῇ πλάσει.

[1] Cod. al. καθήμενον.

[2] Cod. al. Εἰς τὸ λεοντ. τοῦ ἁγίου εὐαγγελιστοῦ Μάρκου.

[3] Cod. Flor. CCLVII, 3 : Πταρμῶν δὲ συχνῶν ἐξερεύγεται ψόφους. *De animal.* 407 : Ὅταν ἀηδὼν ἀκροώμενον βλέπῃ, Μελῶν ἀγαθῶν ἐξερεύγεται κτύπους. Cod. Par. LXI, 17 : Ὠδῆς νεαρᾶς ἐξερεύξομαι κρότους. German. Cp. cod. Coisl. 278, 184 v° : Ἐπέχοντα τῶν λόγων τὰς ἐρυγάς. Fons omnium Psalmista.

[4] Codex διπλόκους, et al. δυσπλόκους. Conf. cod. Par. XIV, 112.

[5] Cod. al. Εἰς τὰ ἅγια δ' εὐαγγέλια.

[6] Cod. al. ἁπλοῖς.

[7] Cod. al. omittit δέ.

[8] Cf. infra CLVIII, 3.

[9] Hac voce carent lexica.

Ακαδημία Αθηνών / Academy of Athens

Ἔξεσλιν ἰδεῖν ἀσφαλῶς καὶ Θεσβίτην [1]
Τέσσαρσι [2] κύκλοις ἀρετῶν ἐπηρμένον·
Τετραμερὲς δὲ καὶ τὸ τρίξεσλον [3] ξύλον,
Ὧ Χρισλὸς ἐξήπλωτο τετρασυνθέτως·
Σύναπλε τοῖς τέσσαρσι καὶ τὰς ἐννάδας [4],
Δι' ὧν ὁ Μωσῆς τὰς πλάκας ἐδέξατο,
Δι' ὧν ἐπὶ γῆς ἡ Θεόβρυτος [5] κλύσις,
Δι' ὧν ὁ Χρισλὸς ἀσιτήσας εὑρέθη.
Τί μὴ συνάψας τὸ προκείμενον λέγω;
Τέσσαρσι [6] βίβλοις σωσλικοῖς εὐαγγέλοις
Ὁ Χρισλὸς ἐσλήριξε τὴν ἐκκλησίαν,
Ἣν αὐτὸς ἐκτήσατο τῇ μετουσίᾳ.

* XL. Εἰς τὴν εἰκόνα τοῦ ἁγίου Πέτρου ἐν λίθῳ γεγλυμμένην [7].

Εἰς λίθον [8] ἀκρόγωνον ἐσληριγμένος
Τρανῶς ὁ Πέτρος ἐκδιδάσκει τὴν κτίσιν.
Χρεὼν γὰρ αὐτὸν μὴ καμεῖν πρὸς τοὺς λόγους
Ἕως τὸν ὕπνον ἐκδιώξει τῆς πλάνης.

XLI. Εἰς τὰς καθολικὰς ἐπισλολὰς αὐτοῦ [9].

Πάλιν ὁ Πέτρος ἐκδιδάσκει [10] καὶ γράφει
Τῇ καθολικῇ τῶν βροτῶν πανσπερμίᾳ·
Κόρον γὰρ [11] οὐκ εἴληφεν, ἀλλ' ἔτι θέλει
Σώζειν ἁπάσας εἰ δυνατὸν τὰς φύσεις.

[1] Θεσβίτης est Elias.

[2] Cod. al. τέτρασι.

[3] Vox addenda lexicis, ut et adverbium τετρασυνθέτως.

[4] Id est τὰς τέτλαρας ἐννάδας. 36 + 4 = 40.

[5] Tarasius Cpol. cod. Coisl. 146, fol. 282 v°: Τὴν Θεόβρυτον νεφέλην.

[6] Cod. al. τέτρασι.

[7] Cod. al. Εἰς λίθον ἔχοντα τὸν ἅγιον Πέτρον ἐγλυμμένον.

[8] Cod. λίθινον.

[9] Cod. al. Εἰς καθολικὴν Πέτρου ἐπισλολήν.

[10] Cod. καὶ διδάσκει.

[11] Cod. al. om. γάρ.

Ακαδημία Αθηνών / Academy of Athens

XLII. Εἰς τὴν εἰκόνα τοῦ ἁγίου ἀποστόλου[1] Παύλου.

Ἔδει σε, Παῦλε, συντυποῦσθαι τῇ κτίσει
Ἥνπερ προσῆξας τῷ Θεῷ σεσωσμένην·
Ἀλλὰ τὸ πλῆθος ἐνίκησαν τὴν τέχνην
* Τὸν ζωγράφον πέπεικε σὲ γράφειν μόνον.

ΤΟΥ ΑΥΤΟΥ ΤΕΤΡΑΣΤΙΧΑ ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ.

XLIII. Εἰς τὴν πρὸς Κορινθίους ἐπιστολήν.

Ἔσφιγξε Παῦλος τῶν γραφῶν τῇ συνδέσει
Τὰς ἐν Κορίνθῳ δυσσεβεῖς ἀποσπάδας.
Ἐχρῆν γὰρ αὐτὸν ὡς σοφὸν σκηνογράφον[2]
Σκηνὴν λογικὴν τῷ Θεῷ συναρμόσαι.

XLIV. Εἰς τὴν πρὸς Κολασαεῖς τούτου ἐπιστολήν[3].

Χαλκοῦν κολοσσὸν ὁ χρυσοῦς Παῦλος νικᾷ
Ἀρθεὶς ὑπὲρ γῆν οὐρανοῦ μέχρι τρίτου.
Καὶ θραῦε[4] γοργῶς τῶν λόγων τῇ σφενδόνῃ[5],
Βαλὼν τὸν ἀκρόγωνον ἐν μέσῳ λίθον.

* XLV. Εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν[6].

Ἄρτι νοσοῦσαν, Παῦλε, τὴν Ῥώμην βλέπων,
Καὶ σφυγμὸν[7] οὐκ ἔχουσαν ὀρθοδοξίας,
Ῥώμῃ λογικῶν ἐξεγείρεις φαρμάκων,
Καὶ πρὸς παρακμὴν ἐκβιβάζεις[8] τὴν νόσον.

[1] Cod. al. τοῦ ἁγίου Παύλου.
[2] Leg. σκηνορράφον.
[3] Cod. al. om. τούτ. ἐπιστ.
[4] Leg. καθραῦε.
[5] Greg. Naz. II, 518. nov. ed.: Ὅταν κενώσῃ τῶν λόγων τὰς σφενδόνας. Cod. Fl. CV, 12 : Τῇ ἀφανεῖ τῶν προσευχῶν σφενδόνῃ. Jo. Damascen. ap. Mai, *Spicil. Rom.* IX, p. 725 : Σφενδόνη δογμάτων.
[6] Cod. al. om. ἐπιστολήν.
[7] Cod. σφιγμόν.
[8] Conf. cod. Par. XIV, 83.

XLVI. Εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολήν [1].

Τείνας ὁ Παῦλος τὴν σαγήνην τῶν λόγων
Ὡς ἰχθύας ἤγρευσε τοὺς ἐν Ἐφέσῳ,
Τοσοῦτον ὄντας εὐτραφεῖς καὶ νοστίμους,
Ὅσον τὸ λῖπος σβεστικὸν σχεῖν τῆς πλάνης.

XLVII. Εἰς τὴν πρὸς Θεσσαλονικεῖς.

Ὦ [2] πῶς ἀναπνεῖν οὐδαμῶς Παῦλος θέλει,
Νῦν μὲν διδάσκων, νῦν δὲ πόῤῥωθεν γράφων,
Θεσσαλονικεῖς μαρτυροῦσι τοῖς λόγοις
Ἐκ τῶν Ἀθηνῶν τὴν γραφὴν δεδεγμένοι.

XLVIII. Εἰς τὴν πρὸς Τιμόθεον ἐπιστολήν [3].

Παῦλος τὸ πνεῦμα συλλαβὼν τοῖς ἐγκάτοις
Ἐγκυμονεῖ μὲν τὴν πολύσπορον φύσιν·
* Τιμόθεον δὲ καὶ τεκὼν καὶ πρωκρίνας
Ἔχει συνεργὸν εἰς τὸν ὕστερον τόκον.

XLIX. Εἰς τὴν πρὸς αὐτὸν δευτέραν τούτου ἐπιστολήν [4].

Ὕδωρ ὁ Τιμόθεος οὐκέτι πίνει·
Παῦλος γὰρ αὐτοῦ πατρικῶς πεφεισμένος
Τὰς τῶν διδαχῶν οὐκ ἀπέκλεισε φλέβας,
Ὅπως ἐκεῖνος μὴ πλοῆται τὸν κόρον.

L. Εἰς τὴν πρὸς Τίτον.

Τί τοῦτο; φησὶ τῷ διδασκάλῳ Τίτος·

[1] Cod. al. om. ἐπιστολήν.
[2] Cod. al. om. Ὦ. Fort. leg. Ὅπως, id est μαρτυροῦσιν ὅπως κ. τ. λ.
[3] Cod. al. om. ἐπιστολήν.
[4] Cod. al. Εἰς τὴν πρὸς Τιμόθεον δευτέραν.

Ακαδημία Αθηνών / Academy of Athens

Ἢ φύσιν αὐχεῖς ἀγγελικὴν εἰς λόγους,
Ἢ συλλαλεῖ σοι μυσλικῶς ὁ δεσπότης,
Ἢ σὰρξ ϖεφυκὼς ὑπὲρ ἄνθρωπον γράφεις.

LI. Εἰς τὴν [1] ϖρὸς Φιλήμονα.

Τὸν ϖρόξενόν σοι τῶν ὑπερτίμων [2] λόγων
Φίλει, Φιλήμων, κἂν λαθὼν ϖέφευγέ σε·
* Παῦλος γὰρ αὐτὸν κρειττόνως [3] ἀπογράφων [4]
Ἐξ οἰκέτου σύνδουλον εἰργάσατό σοι.

LII. Εἰς τὴν καθολικὴν τούτου ἐπισολήν [5].

Ἄλλους λογικῶν οὐρανῶν κύκλους βλέπω
Φέροντας ἔνδον ἀντίκεντρον [6] τὴν κτίσιν.
Παῦλος γὰρ αὐτὸς ἐκτανύσας [7] τοὺς λόγους
Τὰ τοῦ γένους κτήματα [8] μικροῦ συλλέγει.

* LIII. Εἰς τὸν ϖερὶ τοῦ τελώνου καὶ τοῦ Φαρισσαίου λόγον [9].

Φαρισαϊκῶν μὴ καταγνοὺς ϖρακτέων
Τὴν ἐκ τύφου μίμησον εὐχαρισλίαν,
Καὶ τοῦ τελώνου τὸν βίον μὴ Θαυμάσας
Τῆς ἐκ λόγων ζηλωσον αὐτὸν αἰσχύνης.
Ὁ μὲν γὰρ ἐσλῶς γαυριᾷ τοῖς ϖρακτέοις·
Ὁ δ' αὖ νενευκὼς δυσφορεῖ ϖρὸς τὸν βίον.
Πλὴν, ἀκροατὰ, νουνεχῶς δεῦρο σκόπει·
Τὸ γὰρ χρυσοῦν ϖάρεσλι [10] λαλοῦν σοι σλόμα,

[1] Cod. al. om. Εἰς τήν.
[2] Infra CLXIX, 1.
[3] Cf. cod. Flor. CXII, 88.
[4] Cod. al. ex correct. ὑπογράφων.
[5] Cod. al. Εἰς ϖάσας τὰς Παύλου ἐπισολάς.
[6] Cod. al. ἀντικέντρου.
[7] Codd. ἐκτανυύσας.
[8] Cod. al. τμήματα, fort. recte.
[9] Cod. Par. fol. 175 v°: Αὐθωρὸν ἐς τὸν τελώνην καὶ τὸν Φαρισαῖον.
[10] Cod. Esc. ϖαρέει.

Ακαδημία Αθηνών / Academy of Athens

Μὴ τὴν κατασ/ρέφουσαν ὑπεροψίαν [1]
Λάθῃς ϖροτιμῶν τῇ ψυχῇ τοῦ μετρίου.

LIV. Εἰς τὸν ϖερὶ τοῦ τελώνου λόγον [2].

Μὴ καταπιπ/έτω τις ἂν ἁμαρτάνῃ,
Μηδ' εἰ κατορθοῖ γαυριῶν κομπαζέτω.
Θεὸς γὰρ ἡμῖν σωφρονίζει τὸν βίον,
Παραβολικῶς ὑποθεὶς τὸ συμφέρον·
Ὁ δ' ἀκροατὴς ὁ σκοπῶν εὖ τὸν λόγον,
Ὃν τὸ χρυσοῦν ἤνεγκεν ἐνθάδε σ/όμα,
Τὸν τῦφον ἀφεὶς τῆς ψυχῆς καὶ τὸ Θράσος,
Τὸν ἐξαμαρτάνοντα ϖενθείτω βίον,
Μήπως ὁ λιμὴν [3] εὑρεθῇ τούτῳ κλύδων,
Παρὸν γαληνὴν εὐτυχῆσαι τὴν ζάλην.

LV. Εἰς τὴν τῶν ϖροπατόρων γύμνωσιν [4].

Ἄνθρωπε, γυμνοὺς τοὺς ϖροπάτορας βλέπων
Ταῖς τοῦ ϖονηροῦ μὴ κλαπῇς ϖανουργίαις·
Δεινὸς γάρ ἐσ/ιν εἰς τὸ Θέλγειν τὴν Φύσιν,
Ἕως ὑπαχθεὶς ἀγνοήσῃς τὴν ϖλάνην,
Καὶ ϖαρασυρεὶς τῆς Ἐδὲμ διεκπέσῃς [5].
Θρήνει δὲ σαυτὸν ἀντὶ τῶν ϖροπατόρων·
Τὸ γὰρ ϖάθος σόν ἐσ/ιν, οὐ τῆς εἰκόνος,
Καὶ σὸν καθαρῶς, οὐ γραφῆς τὸ δακρύειν.

LVI. Εἰς τὸν ϖερὶ τῶν Βαΐων λόγον [6].

Πῶλος μὲν ἦν [7] ὄχημα τοῦ ζῶντος λόγου,

[1] Cf. cod. Par. ccxxxvii, 190.
[2] Εἰσ/οαυτό cod. Par. fol. 176 r°.
[3] Cod. Esc. λιμών.
[4] C. P. f. 234 r°: Εἰς τὴν γ. τῶν ϖρ.
[5] τῆς Ἐδὲμ μὴ ἐκπέσῃς cod. Esc.
[6] Cod. Par. fol. 176 r°: Εἰς λόγον τῶν Βαΐων.
[7] οὖν pro ἦν cod. Esc.

Ακαδημία Αθηνών / Academy of Athens

Ἡ νῦν δὲ σωκτὶς τοῦ σροκειμένου λόγου[1].
* Καὶ τῷ μὲν εἰσφέρουσιν οἱ σαῖδες κλάδους,
Εἴ τίς σοτ' ἐσλι μυσλικώτερος λόγος.
Ἐγὼ δὲ τὸν φοίνικα τῆς γλώσσης[2] φέρων,
Ἐξ ἧς ὁ καρπὸς τῆς ἐμῆς φωνῆς βρύει,
Καθάπερ εἰκὸς δεξιοῦμαι τὸν λόγον.
Τὰς γοῦν ψυχικὰς ὑπανοιγνύντες σλύχας,
Ἃς οἶδε Σιὼν ἡ Γραφὴ καλεῖν σύλας,
Ἥκοντα νῦν δέχεσθε καλῶς τὸν λόγον,
Στρωννύντες[3] αὐτῷ τὴν σιγὴν καὶ τὸν σόθον.
Ὁ νοῦς γὰρ ὑμῶν[4] ὡς ὁ Λάζαρος σάλαι,
Φυγὼν τὰ δεσμὰ τῆς ταφῆς τῶν φροντίδων,
Εἰς τὴν νοητὴν ἐξανάσλασιν φθάσει.

LVII. Εἰς τὸν ἠγαπημένον Ἰωάννην τὸν Θεολόγον[5].

Ἐκεῖνος οὗτός ἐσλιν ὁ βροντῆς γόνος,
Ἀλλὰ σιωπᾷ μυσλικὸν δόγμα γράφων·
* Ὡς καὶ τὸν ἐν χρῷ[6] τοῦτον εὐθὺς ἀέρα
Δοκεῖν μετελθεῖν εἰς χρυσὸν σεπηγμένον,
Μή τις ὅλως ἄκαιρον ἐξάγοι κτύπον
Εὑρὼν ἀπαγεῖς τῆς σνοῆς τὰς συρμάδας.
Αὐτὸς δὲ μικροῦ καὶ ψιθυρίζει γράφων·
Καὶ γὰρ ἔχει τὸ σνεῦμα τοῦ διδασκάλου,

[1] Hic versus deest in cod. Esc.

[2] Cod. Esc. γλώτλης.

[3] σλρωνύντες cod. Esc.

[4] Cod. Esc. ἡμῶν.

[5] In cod. Par. bis occurrit. Fol. 181 r° cum hoc titulo : Εἰς εἰκόνα τοῦ ἠγαπημένου. Et fol. 231 v° : Εἰς τὸν εὐαγγελισλὴν Θεολόγον.

[6] Philes, *De plantis*, 240 : Εἶτα βλέπων σέπειρον εὐχρῶ τὸν τόκον καὶ τὴν σλαφυλὴν εὐπρεπῆ σρὸς ἐκρύσεις. Sic prius legebatur. Cod. Paris. ἐν χρῷ pro εὐχρῶ et εὐτερπῆ pro εὐπρεπῆ. Unde εὐτρεπῆ correxit v. cl. Dübnerus, totumque locum recte constituit in nova editione.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ ζῶν ἀτεχνῶς καὶ λαλοῦν ὑπὲρ φύσιν
Εὐαγγελικὴν ὀργανοῖ μουσουργίαν [1].

LVIII. Εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα [2].

Καυχήσεως στέφανον εὑρὼν τὸν βίον
Τούτου μεταξὺ μάρτυς ὠχρὸς ἐγράφης·
Τῶν γὰρ παρειῶν ἐκκενοῖς τὴν πορφύραν,
Λίθοις πιεσθεὶς καὶ μετὰ τούτους πάλιν
Ἄγρυπνος ὢν ἄνωθεν ἀνθρώποις φύλαξ·
Ἀλλὰ σιωπᾷς τάχα κἀντεῦθεν βλέπων
Ἐκ δεξιῶν ἑστῶτα πατρὸς τὸν Λόγον.
Οὐκοῦν δυσωπῶν τὸν Θεόν σου μὴ κάμῃς [3]
* Ὑπὲρ μοναστῶν τῶν βιούντων ἐνθάδε.
Ζωὴ γὰρ ἡ σὴ λῆξιν οὐκ ἔχει, μάκαρ.

LIX. Εἰς τὸν μέγαν Γεώργιον [4].

Μαρτυρικοὺς ἀγῶνας ἐνθάδε βλέπων
Γεωργίῳ [5] τέθηπα τὴν [6] εὐανδρίαν.
Ἀνθίσταται γὰρ τοῖς βραβεῦσι τῆς πλάνης [7],
Νικᾷ δὲ παθεῖν εὐγενῶς ἠπειγμένος [8].
Εἰς πῦρ δὲ χωρεῖ καὶ τροχοῦ περιδρόμους,
Ποιεῖ δὲ κηρὸν τοῦ σιδήρου τὴν Φύσιν·
Καὶ γὰρ τὰς ἀκμὰς τῶν βελῶν ἀντιστρέφει,

[1] Philes, *De animal.* 411: Ἐκ τῆς ἐν ἀκμῇ τακερᾶς μουσουργίας. Isidor. Thessalon. cod. Par. 1192, fol. 269 r°: Οὕτω θαυμαστὴν καλλιφωνίαν, οὕτω γλυκυτάτην ὑπὲρ ἀηδόνας μουσουργίαν.

[2] Cod. Par. fol. 173 r°.

[3] κάμοις cod. Par.

[4] Bis occurrit in cod. Esc. qui idem carmen habet fol. 85 v°. Cod. Paris. fol. 181 v° addit αὐθωρόν.

[5] Fort. Γεωργίου.

[6] Cod. Escur. τέθη πατήν, in priori transcriptione.

[7] τοῖς πλάνης cod. Par.

[8] ἠπειγμένως et supra ἠπειγμένος cod. Esc. utrobique.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ θαυματουργεῖ[1] καὶ τομῆς κρείσσων μένει,
Καὶ γίνεται μὲν πνευματικὸς ὁπλίτης·
Ἀνίσταται δὲ καὶ σφριγᾷ[2] πρὸς τὴν μάχην,
Καὶ πῦρ κατ' ἐχθρῶν δυσμενῶν πνέει φλέγον.
Οὐ φείδεται γὰρ τῶν μελῶν τοῦ σαρκίου·
Στηρίζεται δὲ τῆς ψυχῆς ταῖς ἐλπίσι·
Φαιδρύνεται δὲ ταῖς ῥοαῖς τῶν αἱμάτων,
* Στολίζεται δὲ τὴν τιμὴν[3] τῶν μαρτύρων,
Παρίσταται δὲ τῷ θεῷ[4] στεφανίτης,
Κουφίζεται δὲ[5] τοῖς πτεροῖς τῶν θαυμάτων·
Ἐφίσταται δὲ συμπαθῶς τοῖς ἐν λύπαις,
Ποιεῖ δὲ νεκροὺς ἐκ ταφῆς πταλιμβίους[6],
Καὶ δείκνυται ζῶν πανταχοῦ γῆς καὶ πνέων,
Δεσμοὺς δὲ πυκνοὺς καὶ πλοκὰς λύει βρόχων[7],
Συχνοὺς πρὸς ἡμᾶς τοὺς δορυκτήτους[8] ἄγων.
Ὦ θαῦμα, καὶ πῶς εὐπαθὴς σὰρξ ἐνθάδε
Τὴν τοῦ Σατὰν ἄσαρκον ἐκνικᾷ[9] φύσιν,
Τῶν ἀγγέλων τὴν φύσιν ἐκμιμουμένη!
Πλὴν οἶδε Χριστὸς ἐξαμείβειν τὰς φύσεις
Τοῖς ὑπὲρ αὐτοῦ μαρτυρεῖν προηγμένοις.
Ὅστε βλέπων, ἄνθρωπε, μηδὲν θαυμάσῃς[10],
Εἰ μαρτυρικῶς[11] ἡ Γεωργίῳ[12] χάρις
Τοιαῦτα ποιεῖν τοῖς βροτοῖς ἐξισχύει.

[1] θαυματουργῶν cod. Esc. A.
[2] Cod. Esc. A σφριγῶν.
[3] τομήν cod. Par.
[4] τῷ Χριστῷ cod. Esc. B.
[5] δέ deest in cod. Esc. A.
[6] Cod. Par. VI, 1.
[7] Cod. Esc. A βρότων (sic).
[8] δορύκτητους (*sic*) cod. Esc. B.
[9] ἐννικᾶ cod. Esc. A.
[10] θαυμάσῃ cod. Esc. B.
[11] Anon. *In decem martyr. Cret.* cod. Par. 1195, fol. 303 r°: Τιμῆς ὅσης αὐτὴν ἀξιώσαντες τῷ μαρτυρικῶς ἐν ταύτῃ τελειωθῆναι. Jos. Scevophyl. in Barthol. Apost. cod. Par. 1219, fol. 8 r°: Ἐπὶ τέλει τοῦ βίου μαρτυρικῶς κατασπέφεται. Theod. Stud. cod. Coisl. 94, fol. 226 r°.
[12] In cod. Par. Γεωργίου videtur.

Ακαδημία Αθηνών / Academy of Athens

LX. Εἰς τύπον τῶν δ' σλοιχείων εἰς ἄνδρας συνεσφιγμένους τέσσαρας [1].

Στοιχειακοῦ [2] σφίγματος εἰκόνα βλέπων
* Ὃ ζῶντας ἡμᾶς ὀργανοῖ καὶ συνδέει,
Ἄνθρωπε, μιμοῦ τὴν φιλάλληλον [3] σχέσιν·
Χωρὶς γὰρ αὐτῆς οὐδὲ τὸ ζῆν σοι ϖρέπον.

LXI. Εἰς τὴν Θεοτόκον [4].

Ζωηφόρε τράπεζα, τὸν νοῦν μου τρέφε·
Καὶ γὰρ Ἰησοῦν [5] τὸν γλυκὺν ἄρτον φέρεις,
Ὃς ϖάντα ϖισλὸν μυσλικῶς διατρέφει
Αἵμασι τοῖς σοῖς ἐκζυμωθεὶς [6], ϖαρθένε.

LXII. Ἕτερον [7].

Ἀνήροτον [8] γῆν καὶ σπορᾶς ἄνευ σλάχυν
Καὶ ζωτικὸν φύραμα καὶ Θεῖον τρύφος
Εἰς ἀργυρᾶν ἄντικρυς εὑρίσκω δρόσον·
Ψυχή, λάβε, τράφηθι τὴν σωτηρίαν.

LXIII. Εἰς λείψανον τοῦ ἁγίου Στεφάνου τοῦ νέου [9], ὃν [10] ἐγκόλπιον τοῦ δεσπότου κυροῦ Κωνσλαντίνου.

* Χρυσὸς μετὰ ϖῦρ καὶ μετὰ λίθους λίθοι·

[1] Bis in cod. Escur. qui idem habet fol. 79 r°.

[2] Vid. Matrang. *Anecd.* p. 365.

[3] Proclus Cp. p. 655, ed. Riccard.: Τὸ φιλάλληλον, Θεοφιλέσλατε, μέγισλον ἐν τούτῳ τυγχάνει δῶρον.

[4] Habet et cod. Flor. 126, cum hoc titulo : Εἰς ϖαναγιάριον.

[5] Cod. Esc. *ἰνῶ*.

[6] Vox addenda lexicis, nisi potius leg. *ἐνζυμωθεὶς*, cujus verbi exemplum affert Thesaurus Didotian.

[7] Cod. Flor. fol. 126.

[8] German. Cpol. cod. Coisl. 278, fol. 188 r° : Ἀπεκδεχομένους τὸν οὐράνιον ἄρτον, ἄσπαρτον καὶ ἀνήροτον. Respicit Homeri versum, *Odyss.* I, 109 : Ἀλλὰ τάγ' ἄσπαρτα καὶ ἀνήροτα ϖάντα φύονται.

[9] Habent et codd. M. 24, Vat. 1126, et Flor. 145, in quibus desunt ὃν ἐγκόλπιον κ. τ. λ.

[10] Cod. Esc. ὅν.

Ὁ γὰρ νέος Στέφανος ἐν τῷ λειψάνῳ,
Πλὴν οὐκ ἐπαθλεῖ[1]· θαυματουργῶν δὲ ξένως
Τὸν δεσπότην φρουρεῖ με τὸν Κωνσταντίνον[2].

LXIV. Εἰς τὸ αὐτό.

Ἂν[3] ὀστέῳ Στέφανος ἐπλάκη νέος
Τῷ δεσπότῃ, Στέφανε, τῷ Κωνσταντίνῳ,
Κοσμῶν ἀτεχνῶς τὸ πλακὲν τοῦτο στέφος
Τοῖς ἀφθόνοις ἄνθραξι τῶν τεραστίων.

LXV. Εἰς τὸ αὐτό[4].

Ἐν[5] ὀστέῳ βλέπω[6] σε μικρῷ τὸν μέγαν,
Στέφανε σεπτὲ καὶ μετὰ γῆρας νέε·
Πλατύνεται[7] γὰρ τὴν ψυχὴν ὁ δεσπότης
Κωνσταντίνος φέρων σε κἀν τῷ λειψάνῳ.

LXVI. Εἰς τὸ αὐτό[8].

Ἓν τοῦτο τῶν σῶν μαρτυρικῶν ὀστέων[9]
Ὃ τοῖς λίθοις, Στέφανε, θραυστὸν εὑρέθη.
Ὅλως[10] γε μὴν ἔμεινας ἐν τῷ λειψάνῳ,
* Τὸν δεσπότην φρουρῶν με τὸν Κωνσταντίνον[11].

[1] Leg. *οὐκέτ' ἀθλεῖ*, «non amplius».
[2] Idem versus infra LXVI, 4.
[3] Fort. leg. Ἓν *ὀστέῳ στέφ. ἐπλάκης*.
[4] Cod. Flor. fol. 126, cum hoc titulo: *Ὡς ἀπὸ στόματος τοῦ δεσπότου κυρίου* Κωνσταντίνου.
[5] Ἂν *ὀστέῳ* cod. Esc.
[6] *βλέπων* cod. Flor.
[7] Respicit Psalm. CXVIII, 32: *ἐπλάτυνας τὴν καρδίαν μου*. Esai. V, 14: *ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ*.
[8] Et in cod. Flor. 126. Huc refer lemma carminis LXIII.
[9] Cod. Flor. *λειψάνων* pro *ὀστέων*.
[10] Leg. *ὅλος*.
[11] Idem versus supra LXIV, 4.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

LXVII. Εἰς μειράκιον γυμνὸν, εἰκόνα φέρον τοῦ βίου [1].

Φεύγω, πλερωτός [2] εἰμι· τί λαβεῖν θέλεις;
Τὰς τρίχας; ἀλλ' ἔῤῥευσαν [3]. Ἀλλὰ τοὺς πόδας;
Καὶ πῶς πλερωτοὺς εὑρεθέντας ἂν λάβοις;
Τὸ σῶμα; γυμνόν ἐστι· τί σπεύδεις μάτην;
Ἄνθρωπε ταλαίπωρε, λῆξον [4] τοῦ δρόμου,
Μὴ κατενεχθῇς τῷ δοκεῖν τι λαμβάνειν [5].
Σκιὰ [6] γάρ εἰμι, κἂν δοκῶ [7] τέως μένειν [8].
Ἀφίπλαμαί [9] σου καὶ πρὸς οὐδὲν ἐκτρέχω,
Καὶ γίνομαι ῥοῦς ἂν συνέξῃς [10] δακτύλοις.

LXVIII. Εἰς τὸ Καθελῶ [11] μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω [12].

Ἀφεὶς καθαιρεῖν τοὺς σιτῶνας εἰς μάτην,
Ὡς ἂν σεαυτῷ τὴν τρυφὴν ἀνακτίσῃς,
Τὸν ἄγγελον δὴ τὸν ψυχάρπαγα σκόπει·
* Τὸν σὸν γὰρ αὐτὸς καθελεῖ φθάσας βίον,
Πρὶν ἐντινάξαι τὴν σκαπάνην [13] τῇ κτίσει·
Πλὴν ἀλλὰ σὺ μὲν τὴν ψυχὴν ζῶν ἡρπάγης,
Εὐαγγελικῶς ἐκβιοὺς πρὸς ἑσπέραν·
Ἡμῶν δὲ θανὼν σωφρονίζεις τὸν βίον.

[1] Iterum fol. 77 r°. In codice Paris. fol. 234 v°: *Εἰς τὸν βίον μειράκιον ἐζωγραφημένον*. Ex duobus Escur. codicibus prior litera A notabitur, alter litera B.

[2] Cod. Esc. *φευγωπλερωτός*.

[3] B, *ἔρευσαν*.

[4] A, *λῆξιν*.

[5] B, *τὸ λαμβάνειν*.

[6] Cf. Boisson. *Anecdota græca*, t. I, p. 81.

[7] *δοκῶ* cod. Par. et supra *δοκῶν*.

[8] *βρέφος* pro *μένειν* cod. Paris. ex corr.

[9] A, *ἀφίπλαι*.

[10] *συνέξεις δακτύλῳ* cod. Paris. *συνάξης* cod. Esc. A.

[11] S. Luc. XII, 18.

[12] Habent codex alter Esc. R.-III-17, et cod. Par. fol. 234 r° qui omittit *καὶ μείζ. οἰκ.*

[13] Esc. *σκανάπην*.

Ακαδημία Αθηνών / Academy of Athens

LXIX. Εἰς εἰκόνα τοῦ μεγάλου Χρυσοσ/όμου[1].

Θανὼν μάκαρ ζῇς, τοῦτο τῆς ἀσαρκίας[2].
Γραφεὶς πάλιν, ζῇς· τοῦτο τῆς εὐτεχνίας[3].
Ἀλλ' οὐχὶ καὶ πνεῖς, τοῦτο τῆς ἀσιτίας·
Καὶ θαῦμα πῶς ζῶν οὐδὲ μικρὸν γοῦν[4] πνέεις.

LXX. Ἕτεροι[5].

Ἂν ἐξ ὕλης γράφωσι καὶ[6] τοὺς ἀγγέλους,
Τί καινὸν εἰ γράφουσι καὶ σὲ ταῖς ὕλαις;
Εἰ δ' οὐχὶ καὶ πτέρυγας ἀγγέλου φέρεις,
Μάλισ/α νικᾷς ἐξ ὕλης τοὺς ἀγγέλους.

LXXI. Ἕτεροι[7].

Σκιὰν[8] σκιᾶς ἔγραψας, ὦ χεὶρ ζωγράφου·
Σκιὰ γὰρ ἦν τὸ σῶμα τοῦ Χρυσοσ/όμου,
* Λεπ/υνθὲν ὡς ἄσαρκον ἐξ ἀσιτίας·
Καὶ θαῦμα τοῦτο πῶς σκιὰν σκιᾶς γράφεις.

LXXII. Ἕτεροι[9].

Οὐ θρύψις[10] ἐν σοὶ καὶ χλιδῆς ὄγκος, πάτερ,
Καὶ χρὼς περιτ/ὸς, καὶ λιβὰς, καὶ σαρκία.

[1] In cod. alter. Escur. R.-III-17 qui omittit *μεγάλου*. Cod. M. fol. 102 : *Εἰς τὸν ἅγιον Ἰω. τὸν Χρυσόσ/ομον.*

[2] Supra XXXII, 1 : *Τὴν ἀγγελικὴν ἀσαρκίαν.*

[3] Cod. Esc. A *εὐτεχνίας.*

[4] Cod. Esc. B *οὖν*. Cod. M. omittit.

[5] *Εἰς τὸν αὐτόν* cod. Esc. R.-III-17, et cod. M. fol. 102.

[6] *καί* deest in codd. Escur. Addidi metri causa.

[7] *Εἰς τὸν αὐτόν* cod. Esc. R.-III-17, et cod. M. fol. 102.

[8] Hi duo versus infra LXXXI, 1, et cod. Flor. fol. 289 r°.

[9] *Εἰς τὸν αὐτόν* codex Escurial. R.-III-17.

[10] *Θρύψεις* cod. Esc. B.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ γὰρ φυσικὸν ἐξελέπιυνας[1] πάχος
Σκληραῖς ἀγωγαῖς ἐμβριθῶς[2] ἀποξέσας.

LXXIII. Ἕτεροι[3].

Ὡς ὄργανον ζῶν καὶ λαλοῦν ἄπνουν δέρας,
Χρυσοῦν τε[4] τυγχάνοντα Χριστοῦ σε σῶμα,
Καὶ ζῶντα καὶ θανόντα καὶ γεγραμμένον
Ἔδειξεν ὠχρὸν ἀκριβῶς ἡ λεπτότης.

LXXIV. Εἰς τὰ μύρα τοῦ μεγαλομάρτυρος Δημητρίου[5].

Νεκρὸς μυρεψὸς μὴ φθονῶν σοι τῶν μύρων
Προῖκα, ψυχή, καλεῖ σε καὶ πόρνη δράμε·
* Κἂν γὰρ ὁ Σατὰν ὡς Ἰούδας γογγύσῃ,
Τί πρὸς σὲ παυσίκακον[6] ἀντλοῦσαν χάριν;

LXXV. Εἰς τὴν ἀπὸ μαρμάρου σλήλην τοῦ μεγαλομάρτυρος Γεωργίου[7].

Λίθος πονηθεὶς εἰς γλυφὴν σλεφανίτου
Τὸν εἰς πόνους ἄκαμπτον ἐμφαίνει τόνον[8].
Οὐκ ἦν γὰρ εἰκὸς ἐντυποῦσθαι ταῖς χρόαις
Τὸν εἰς βάθος φέροντα σαρκὸς τὰς ξέσεις.

LXXVI. Ἕτεροι[9].

Ἔμπνους ὁ μάρτυς καὶ δοκῶν ζῆν ἐκ λίθου[10].

[1] Cf. cod. Par. LXIV, 11.

[2] ἐμβρυθῶς cod. Esc. A.

[3] Εἰς τὸν αὐτόν cod. Esc. B.

[4] δέ cod. Esc. B.

[5] Iterum fol. 82 v° sine Δημητρίου, et cod. Par. 195 v°: Εἰς τὸν νεκρὸν τοῦ μάρτυρος Δημητρίου ἐγκόλπιον.

[6] Cf. cod. Flor. CII, 20.

[7] Iterum fol. 82 r° cum voce Γεωργίου quæ deest in A. Habent etiam cod. Esc. R.-III-17 : Τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, et cod. Par. fol. 65 v°: Εἰς τὸν μέγαν Γεώργιον ἐκ λίθου πεποιημένον.

[8] Esc. A ἐμφαίνων τόκον. Cod. Esc. B ἐμφαίνων τόνον. Cod. Esc. C ἐμφαίνων πόνον.

[9] Iterum fol. 82 r°. Cod. Fl. fol. 99 v° et Esc. R.-III-17 : Εἰς τὸν αὐτόν.

[10] ἐκ λίθων cod. Flor.

Ακαδημία Αθηνών / Academy of Athens

Πλὴν ἀλλὰ σιγᾷ, τὸν γὰρ ἐν λόγοις τόνον[1]
Τοῖς μαρτυρικοῖς ἐξέλυσε καμάτοις.
Τὸ γοῦν σιωπᾶν ζῶντα τὸν μέγαν μέγα.

LXXVII. Ἕτεροι[2].

Τοῦ μαρτυρικοῦ σώματος τύπον μόνον
Τοῖς ἐγκοπεῦσιν οἶδεν[3] ἡ τέχνη ξέειν·
* Τὴν ἔνσλασιν δὲ τῆς ψυχῆς οὐκ ἰσχύει[4].
Θᾶτλον γὰρ ἀνέπνευσεν[5] ἐκ τέχνης λίθος.

LXXVIII. Ἕτεροι[6].

Τοῦ μάρτυρος[7] τὸ σῶμα καρπὸς ἐκ λίθων
Τῷ δημιουργῷ τῆς σοφῆς τεχνουργίας·
Οὐκ ἦν γὰρ εἰκὸς τῆς γονῆς πάντων χάριν
Μὴ τεκνοποιεῖν τῷ Θεῷ καὶ τοὺς λίθους.

LXXIX. Εἰς εἰκόνα τῶν ἁγίων μ' μαρτύρων κοσμηθεῖσαν παρὰ Ἀθανασίου μοναχοῦ[8].

Τὰς χεῖρας ὑμῶν τῷ ψύχει παρειμένας
Ἀθανασίου ψυχικὴ θάλπει ζέσις,
Ὡς τῆς[9] πρὸς αὐτὸν ἀνταμοιβῆς ἀξίως
Τεταμένας ἔχοιτε πρὸς τὸν δεσπότην.

[1] *τόνον* ex cod. Esc. B; codd. al. habent *τόκον*.

[2] Iterum fol. 82 r°. Cod. Esc. R.-III-17 : Εἰς τὸν ἅγιον Γεώργιον.

[3] *εἶδεν* cod. Esc. R.-III-17.

[4] *οὐ δεικνύει* codex Escur. B.

[5] Cod. Esc. A *ἂν ἔπνευσεν*. Conf. infra XCIII, 4.

[6] Cod. Esc. R.-III-17 : Εἰς τὸν αὐτόν. Cod. Flor. fol. 99 v° : Εἰς εἰκόνα λιθίνην τοῦ μεγάλου Γεωργίου.

[7] Cod. Esc. A Οὐ *μάρτυρος*.

[8] Cod. Esc. R.-III-17 qui omittit *μαρτύρων* et *παρά*.

[9] *ὥστε* cod. Esc. A.

Ακαδημία Αθηνών / Academy of Athens

LXXX. Εἰς τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν.

Σκιὰν [1] σκιᾶς ἔγραψας, ὦ χεὶρ ζωγράφου.
Σκιὰ γὰρ ἦν τὸ σῶμα τῆς Αἰγυπτίας·
* Ἢ μᾶλλον ὡς ἂν ἀκριβώσω τὸν λόγον,
Ἀπὸ σκιᾶς ἔγραψας ὑλικὸν πάθος.

LXXXI. Εἰς εἰκόνα τοῦ ἀρχιστρατήγου [2].

Εἰ σωμάτων μίμησιν ἡ τέχνη γράφει,
Τοῦτο γραφικὴ, τοῦτο καὶ φύσιν ἔχον·
Καινὸν γὰρ οὐδὲν ζωγραφεῖν ὕλην ὕλῃ·
Ὅταν δὲ καὶ [3] νοῦν καὶ πυρὸς φλόγα γράφῃ,
Καὶ πνεῦμα καὶ φῶς ἐν βραχεῖ περιγράφῃ [4],
Τέρας βλέπων θαύμαζε τὴν τέχνην, ξένε.

LXXXII. Εἰς ἑτέραν εἰκόνα τοῦ ἀρχιστρατήγου.

Καὶ [5] πνεῦμα καὶ φῶς καὶ πυρὸς μένος φλέγον,
Ὡς πνεῦμα τὸν νοῦν, ὡς δὲ φῶς τὴν καρδίαν
Ἀναψύχον [6] φώτιζε καὶ ῥύθμιζέ με,
Καὶ τῶν παθῶν μου τὴν κακὴν ὕλην φλέγε.
Τὴν πίστιν ἀθρεῖς, τὸν χρυσάργυρον βλέπεις·
Τί λείπεται γοῦν εἰς τιμὴν τῆς εἰκόνος;
Ὁμώνυμός σοι τὴν τιμὴν πρωτοστράτωρ [7]
Δουκᾶς ὁ Γλαβᾶς [8] ἐκ ψυχῆς τάδε γράφει [9].

[1] Cf. supra LXXI, 1, et cod. Flor. CCXLIII ubi hi duo versus.

[2] Cod. Esc. R.-III-17.

[3] Cod. Esc. B sine *καί*.

[4] Hic versus deest in cod. Esc. A.

[5] In Catalog. meo codd. Esc. p. 42, ex quo addidi *καὶ* ante *πνεῦμα*. Titulus est: Εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ, ἐκ προσώπου τοῦ πρωτοστράτωρος.

[6] Al. male *ὡς ἀναψύχον*. Dele *ὡς* in Catal. meo.

[7] Cod. male *πρωτοστράτωρ*.

[8] Cod. Γαβλᾶς et in marg. Γλαβᾶς.

[9] Al. ταῦτα pro *τάδε*.

Ακαδημία Αθηνών / Academy of Athens

* LXXXIII. Εἰς τὴν ὑπέραγνον Θεοτόκον.

Ἐπεί με νεκρὸν εὑρεθέντα, παρθένε,
Ταῖς αἱματηραῖς ἐκροαῖς τῶν ἐντέρων
Αὐτὴ καθαρῶς ἐξανέστησας πάλιν,
Τεκοῦσα Χριστὸν τῆς πνοῆς τὸν ἐργάτην,
Τὸ σύνθετόν μοι λύτρον εὐμενῶς δέχου,
Μὴ τῆς ἀμοιβῆς ἀλλὰ τοῦ πόθου χάριν,
Καὶ τῆς ψυχῆς τὴν ῥῶσιν ἐγκαίνιζέ μοι,
Τοῦ σώματος τηροῦσα τὴν εὐεξίαν.
Κωνσταντίνος σοὶ Ταρχανειώτης[1] Δούκας
Κομνηνοφυὴς καὶ Γλαβᾶς τάδε γράφει.

LXXXIV. Εἰς ἔπιπλον πρὸς τὸν μέγαν Νικόλαον[2].

Ἐπεὶ τὸ σὸν πρόσωπον αἰδοῦμαι βλέπειν,
Δοξάζεται γὰρ ὡς τὸ Μωσέως πάλαι,
Δέχου παραπέτασμα, καὶ γνώριζέ μοι,
Πάτερ, σεαυτὸν ἀπὸ τῶν τερασλίων.

LXXXV. Εἰς[3] βῆμα ναοῦ, ἔνθα ἦν ἡ Θεοτόκος καὶ παρίσταντο ἄγγελοι.

* Τὸν ἔμψυχον βλέπω σε τοῦ ζῶντος λόγου
Θρόνῳ[4] βασιλὶς ὁ γραφεὺς καθιδρύσας
Ἐνῆκε μικροῦ συσολὴν τοῖς ἀγγέλοις,
Μὴ σφαῖραν ἡμίτμητον[5] οὐρανοῦ βλέπω.

[1] De Tarchaniota Glaba confer. Pachymer. t. II, p. 12.

[2] Εἰς βηλότυρον τῷ μεγάλῳ Νικολάῳ cod. Par. fol. 245 v°. De voce βηλότυρον, quæ leg. βηλόθυρον, vid. Ducang. (*Glossar. med. et inf. græcit.* s. h. v.) qui sub voce Ἔπιπλα dicit : «Ἔπιπλον pro velo quo conteguntur *Sacra dona* usurpat Symeon Thessalon. : Καὶ οἱ ἐπὶ τῆς κεφαλῆς τὸ ἱερὸν κατέχοντες ἔπιπλον.»

[3] Cod. Par. fol. 246 v° qui hunc titulum habet : Εἰς βῆμα πρὸς τὴν Θεοτόκον.

[4] Leg. Θρόνον, βασιλίς. Ὅ.

[5] Cf. cod. Flor. LXIX, 1.

Ακαδημία Αθηνών / Academy of Athens

LXXXVI. Εἰς λίθον κρύον, ἐν ᾧ ἦν γεγλυμμένη ἡ δεσποτικὴ εἰκών[1].

Ὕδωρ ὁ λίθος οὗτος[2], οὐκ ὄντως λίθος·
Πήγνυσι δ' οὖν καὶ τοῦτον εἰς λίθου Φύσιν
Ὁ ϖηγνὺς εἰς κρύσταλον ὑδάτων χύσιν[3],
Μήπως ὁ λίθος[4] ἐκλυθεὶς ὑποῤῥέῃ[5].

LXXXVII. Εἰς τὸν αὐτόν[6].

Ἀμήχανον μέν ἐστιν εἰς ὕδωρ γράφειν[7]·
Πλὴν ἔνθα Χριστὸς, εὐχερὲς καὶ τὸ ξέειν[8].
Ὕδωρ γὰρ ἦν ὁ λίθος, ἀλλ' ἐξετράπη
Τὴν δεσποτικὴν εὐλαβηθεὶς εἰκόνα.

LXXXVIII. Εἰς ξύλινον ϖαναγιάριον[9].

Βρῶσιν[10] γεωργηθεῖσαν ἐκ γῆς ἀσπόρου
Τρυφὴν ἔχων ἄῤῥευστον ἐν μέσῳ[11] ξύλου
Τὸν ἐν ξύλῳ θάνατον οὐκέτι τρέμω·
Ζωὴ[12] γὰρ ἐστὶν ἡ κρεμασθεῖσα ξύλῳ.

[1] In Catalog. meo, p. 40 cum hoc titulo : Εἰς λίθον σφαιροειδῆ κρύον, ἐν ᾧ ἦν ἐγγεγλυμμένος ὁ δεσποτικὸς τύπος. Cod. Par. 64 v° : ἐγλυμένος ὁ δεσπότης Χριστός. Cod. Fl. 108 v° : Εἰς λίθον λευκὴν ἔχουσαν τὸν Χριστόν. In cod. Vat. 1126, 207 v° : Τοῦ αὐτοῦ εἰς σπέκλον λίθον ἐν ᾧ ἐγγεγλυμμένη ἡ ζωηφόρος εἰκὼν τοῦ Χριστοῦ. Fabric. t. VIII, p. 624 vet. ed.

[2] Sic leg. in Catal. meo pro ὄντως, οὐχ οὗτος.

[3] Φύσιν cod. Esc. B.

[4] Cod. τύπος ex corr.

[5] διαῤῥέῃ cod. Esc. B.

[6] Εἰς τὸ αὐτό cod. Par. 65 r°, cod. Flor. 108 v°.

[7] De hoc proverbio cf. quæ scripsit Boisson. ad Sophocl. t. II, p. 392. German. Cp. cod. Coisl. 278, fol. 114 r°: Τῆς καθ' ὑγρῶν γραφείσης ϖοτὲ δεσποτικῆς τριημέρου ταφῆς καὶ τῆς ἀνασλάσεως.

[8] τοξέειν cod. Esc.

[9] Cod. Paris. fol. 251 v° : Εἰς σταύρωσιν.

[10] Cod. Esc. male ῥῶσιν.

[11] In cod. Par. prius erat ἐν μέσοις.

[12] Hic versus deest in cod. Esc.

Ακαδημία Αθηνών / Academy of Athens

* LXXXIX. Εἰς τὸ αὐτό[1].

Ἐξ οὐρανοῦ τὸν ἄρτον ἐνθάδε βλέπων
Κυναρίου ϖρόσελθε ϖεινῶντος δίκην,
Ὡς ἂν μετασχὼν τῶν ἀπ' αὐτοῦ ψιχίων[2]
Λιμὸν φύγῃς, ἄνθρωπε, τὸν ψυχοφθόρον[3].

XC. Τῷ Δομεσλίκῳ[4].

Νοσοῦντι δεινῶς καὶ τροφῆς χρῄζοντί μοι
Λεπλῆς, μαλακῆς, δυσπορίσλου[5], νοσλίμου
Χρυσοῦν δίδου φάρμακον ὁ χρυσοῦς γίγας[6],
Ὡς ἂν Γαληνὸς εὑρεθῇς ἐν ὁπλίταις.
Εἰ δ' ἀργυροῦν ἔμπλασλον[7] ἀβρῶς εἰσφέροις[8],
Ἄρης τὸν Ἑρμῆν ὄψεται λευκόπλερον[9].

XCI. Τῷ ἀνεψιῷ τοῦ αὐτοκράτορος τῷ Παλαιολόγῳ, ὅτε ὑπέσχετο τῷ Φιλῇ οἶνον δώσειν καὶ ἵππον.

Ἐγὼ[10], σλρατηγέ, τὸν μὲν ἔμπροσθεν χρόνον
Ἑκὼν ἄκων ἔσλεργον οἷς εἶχον ϖόνοις·
Τί γὰρ ἔδει ϖράτλειν με τὸν ϖένητά σου,
* Στυγὸς ϖονηρᾶς εὑρεθείσης τῆς τύχης;

[1] Εἰς δίσκον cod. Par. fol. 251 v°.

[2] ψυχίων cod. Esc.

[3] Cod. Esc. ψυχοτρόφον. Vid. Cod. Flor. LXX, 3.

[4] Τῷ μεγάλῳ Χαρτουλαρίῳ τῷ Φιλῇ cod. Par. fol. 252 r°.

[5] Anon. *De virtute*, cod. Par. 2075, fol. 186 r° : Ἃ δὲ καὶ ϖρὸ τῶν δυσπορισλοτέρων τε καὶ ϖολυτελεσλέρων καὶ χαλεπωτέρων ἐν τοῖς τοιούτοις αἱρεῖσθαι.

[6] Cf. infra CCXIII, 239.

[7] ἔμπλασλρον cod. Par.

[8] εἰσφέρεις cod. Par. et supra — *ois*.

[9] Cod. Flor. CCXXXII, 38 : Λευκόπλερος ἄγγελος. Unde λευκοπλεροφόρος ap. Meliten. 335 : Καὶ κύκνοι μακροτράχηλοι καὶ λευκοπλεροφόροι, quæ vox addenda lexicis.

[10] Cf. cod. Par. φνII, 1 et 2, ubi hi duo versus, cum varietate οὓς εἶχον ϖόνους.

CC

Ακαδημία Αθηνών / Academy of Athens

Ἐπεὶ δὲ τὴν σὴν εὐτυχῶς εἶδον Φύσιν [1],
Ὡς ἡλίου προλαμψιν [2], ὡς πνοῆς χύσιν,
Αἰσθάνομαι ζῶν καὶ τὸ σὸν κάλλος βλέπων,
Ὃ τὴν Ἀερμὼν [3] ἐξενίκησε δρόσον· = σλ. 397, 19ο
Τὰς μὲν γὰρ ὀφρῦς τόξα [4] γαλήνης κρίνω,
Δι' ὧν ὁ βαρὺς τῆς ψυχῆς λήγει κλύδων [5],
Τὸν ἵμερον δὲ τῆς βολῆς τῶν ὀμμάτων
Παλίμβιον [6] φῶς καὶ διόπραν [7] ἐλπίδων·
Τὰς χάριτας δὲ τῆς ῥινὸς καὶ τῶν γνάθων,
Αἷς ἡ Φύσις ἔβαψεν εὐχροίας ῥόδον,
Ἔαρ μετὰ χειμῶνα, φῶς μετὰ σκότος,
Ὄμβρον μετ' αὐχμὸν, καὶ σθένος μετὰ νόσον.
Ὀρῶν δὲ φαιδρὰς τὰς ὑποχρύσους [8] τρίχας,
Ἃς τὸ γλυκὺ πρόσωπον ἀκμάζον φύει [9],
Καὶ τῆς κεφαλῆς τὴν ἐπανθοῦσαν κόμην,
Ὡς ὑπὸ σειραῖς εὐφυῶς ἡρμοσμέναις,
Πρὸς ὕψος ἐκ γῆς εὐθέως ἀνάγομαι.
* Ὁ δ' ξένος ζέφυρος, ὃν πνεῖ τὸ σῖόμα,
Ψυχὴν ἀτεχνῶς ὀργανοῖ μοι δευτέραν,
Καὶ νεκρὸς ὢν ἄντικρυς ἐμπνέω πάλιν,

[1] Idem versus in cod. Par. CVII, 3.

[2] Hanc vocem ignorant lexica; sed fort. leg. πρόσλαμψιν. Cf. infra CCXIII, 205.

[3] Psalm. CXXXII, 3 : Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Ad hunc locum Caten. Patrum, cod. Paris. 139, fol. 395 r° : Ὄρη Σιὼν οἱ τὰ ὑψηλὰ σκοπεύοντες ἅγιοι ἐφ' οἷς καταβαίνει ἡ δρόσος Ἀερμών. Ἀερμὼν δὲ ἑρμηνεύεται ἀπόστροφὴ Θηρίων· φασὶ δὲ καὶ τὸν Ἰορδάνην ποτὲ ἐκεῖ γεννᾶσθαι· σημαίνει δὲ καὶ τοῦτο τὴν τοῦ ἁγίου βαπτίσματος χάριν· αὐτὴ γὰρ ἀεὶ καταβαίνει ἐπὶ τοὺς ἁγίους καὶ δι' αὐτῆς γίνεται ἡ ἀποστροφὴ τῶν νοητῶν Θηρίων.

[4] Cf. cod. Par. CCXIII, 9.

[5] Cf. cod. Flor. CXCVIII, 203.

[6] Cod. Par. VI, 1.

[7] Cf. cod. Par. LV, 16.

[8] Tzetz. *Antehom.* 119 : Τρίχες χρυσόχοοι. *Ibid.* 127 : Τρίχες ἐλίχρυσοι.

[9] *De animal.* 1310 : Φασὶν ἰατροὶ καὶ ψιλοῖς τρίχας φύειν.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ λαμβάνω πλέρωσιν[1] εἰς λόγους νέαν.
Κουφίζομαι δὲ πρὸς τὰ μέτρα τῶν σλίχων,
Ἐν οἷς περικροτῶ σε τὸν γίγαντά μου·
Σὺ δὲ χρυσοῖς βρόχοις με συσφίγγεις φθάνων,
Οὓς εὖ γε ποιῶν ταῖν χεροῖν διαπλέκεις,
Ὅταν ἴδοις ἕτοιμον εἰς ῥῆξιν βίου.
Ὁ γὰρ φθόνος μάχαιραν ἠκόνησέ μοι
Πικρῶς ἀπειλῶν τὴν σφαγὴν τῆς καρδίας·
Εὗρόν γε μὴν καὶ σίμβλον ἐκ τῶν πραγμάτων
Ἐν τῷ πρυτανείῳ σε τῆς οἰκουμένης.
Ἐμοὶ γὰρ αὐτὸς δωρεῶν βλύζεις μέλι,
Χυμοὺς ἀναιρῶν μυσλικῆς καχεξίας,
Κἂν, ὥσπερ εἰκὸς, ἡ γλυκύτης ἀλγύνῃ
* Τοὺς ἐξ ἀφανοῦς δυσφοροῦντας ἰκτέρου.
Εὗρον δὲ καὶ σωτῆρα καθ' Ἱπποκράτην,
Χαυνοῦντα πολλῶν συμφορῶν οἰδήματα.
Σὺ καὶ τὸ θαῤῥεῖν τοῖς ἐμοῖς δίδως λόγοις,
Ὦ νοῦ βραβευτὰ καὶ καλῶν ἔργων Φύσις·
Δίδου μὲν οὖν τὸν οἶνον ἐκ τῆς ἀμπέλου
Συχνὸν, καθαρὸν, ἀπὸ τῆς πρώτης ῥύμης,
Μή τις λάθῃ κάπηλος ἐγχέας ὕδωρ
Τοῖς τῶν σλαφυλῶν ἐκθλιβεῖσι σλεμφύλοις[2],
Κἀντεῦθεν ἡμῖν εὑρεθῇ πᾶς ὀξίνης,
Προδοὺς τὸ θερμὸν τῆς κλοπῆς τῇ συγχύσει·
Δίδου δὲ καὶ[3] ἵππον ἐκ τῆς ἀγέλης,
Ὃν πρὶν μὲν ἐξήλαυνεν[4] ἱππότης μέλας·

[1] Infra ccxiii, 11 : Οὐχὶ παρευθὺς ἐπλερώθη τοῖς λόγοις. Cod. Par. lxi, 10 : Τὰς τοῦ λόγου πλέρυγας ἀνεὶς ἐκτάδην. *Ibid.* x, 24 : Πτερωτὸν τὸν λόγον.

[2] Cod. Esc. ταῖς — σλεμφύλλοις.

[3] Deest syllaba. Leg. δίδου δὲ καὶ τὸν ἵππον.

[4] Tryphiod. 105 : Ἐλαυνέμεν ἵππιος Ἄρης.

Ακαδημία Αθηνών / Academy of Athens

Νυνὶ δὲ λαμπρῶς Ὑρκανῶν [1] τρέφει [2] χλόη,
Κἂν ᾖ γέρων ἐκεῖνος, εὖγε τῆς τύχης!
Καὶ γὰρ ὁ νωθρὸς καὶ χελωνόπους [3] νέος,
Καρηβαριῶν [4] καὶ περιπλαίων βάδην,
* 55 Καὶ τὴν παλαιὰν αἰσχύνων παροιμίαν,
Ἡ τοῖς νέοις δίδωσι τὴν κρείττω πράσιν,
Τὰς ἀγέλας πείθει με τῶν πώλων κρίνειν,
Ἥλιε καὶ γῆ, κανθαρίδας ἀπλέρους,
Αἳ κοπρίας γέμουσι καὶ δυσῳδίας.
60 Ναὶ ναὶ δίδου τὸ κτῆνος, ἐν τάχει δίδου,
Καὶ δεῖξον ἡμῖν ἀπὸ τῶν ἔργων πλέον,
Ὡς οὐδέπω τέθνηκεν ὁ πρωτοστράτωρ,
Οὗ κρεῖττον οὐδὲν οἶδεν εἰς γῆν ὁ χρόνος·
Σὸς γὰρ ἐγὼ σός, ἀλλὰ πιπλέτω Φθόνος,
65 Τῶν σῶν ἀγαθῶν ἀσφαλὴς καλλιγράφος [5].

* XCII. Εἰς τὴν ἐν Βλαχέρναις ἐν λίθῳ Θυσίαν τοῦ Ἀβραάμ [6].

Ὁδός τις ἦν ὁ λίθος οὗτος, οὐ λίθος,
Καθ' ἣν ὁ πατὴρ Ἀβραὰμ τῷ φιλτάτῳ
Τὴν δεξιὰν ὤπλισεν εἰς καινὸν φόνον.
Ἡ τρίβος οὖν εἰς λίθον εὐθὺς ἐτράπη,

[1] De Hyrcaniæ feracitate et temperie cf. Strabon. lib. II, p. 72 et seq.

[2] Al. τρέχει.

[3] Hanc vocem ignorant lexica, quibus addam Σκαμβόπους, Theod. Lasc. cod. Par. suppl. 472, fol. 93 r°: Σκαμβόπους τε καὶ λειόπελμος.

[4] Conf. cod. Vat. XIII, 10.

[5] Theodor. Lascar. cod. Par. 3048, 51 r°: Καλλιγραμμία πολλὴ τούτοις ἐπενδύει με. Id. *ibid.* 65 v°. Theodor. Stud. cod. Par. 891, fol. 32 r°: Ἡ τὸ ἀνάγνωσμα ἢ τὸ καλλιγράφημα. Id. fol. 55 r°: Ἐργοχειρίδια καὶ καλλιγραφήματα, τροπαρίσματα καὶ μελουργήματα, ἀναγνώσματα καὶ λογοτριβήματα καὶ λογοφορήματα καὶ προτιμήματα.

[6] In codice Paris. fol. 67 r°. In codice Flor. fol. 110 r°, ubi ἐγλυμμένην pro ἐν λίθῳ.

Ακαδημία Αθηνών / Academy of Athens

5 Καὶ πήγνυσι τὸν ἄνδρα νεκρά τις Φύσις,
Μὴ τέκνον ἁπλοῦν ἐν βραχεῖ[1] θύσῃ φθάσας.

XCIII. Εἰς τὴν ἐν λίθῳ πεποιημένην Φιλοξενίαν τοῦ Ἀβραάμ[2].

Ὁ λίθος οὗτος ἀντὶ πάντων τῶν λίθων
Βοᾷ σιωπῶν, ὡς θεὸς καὶ τοῖς λίθοις
Δίδωσιν, ὡς εἴρηκε σοί, παῖδας κύειν[3].
Μὴ γὰρ ἀναπνεῖν Ἀβραὰμ οὐκ ἰσχύεις;

XCIV. Εἰς τὴν αὐτήν[4].

Ἐχρῆν ἀτεχνῶς ἐκμαθεῖν καὶ τοὺς λίθους
Τὴν ἱστορικὴν Ἀβραὰμ ἁπλαστίαν[5].
Οὐκοῦν ὁ πάρων ζωγραφεῖ ταύτην λίθος,
* Ἐνθεὶς ἑαυτῷ καὶ πνοὴν πεπηγμένην.

XCV. Εἰς τὴν αὐτήν[6].

Πεισθεὶς ὁ πατὴρ Ἀβραὰμ τῷ πρὸ χρόνων
Εἰπόντι κινεῖν πρὸς γονὴν καὶ τοὺς λίθους,
Νῦν εἶδεν ὡς καὶ τοῦτον εἰς ξένην Φύσιν
Ὁ καινοποιὸς ἐξεπέτρωσε χρόνος.

XCVI. Εἰς τὴν αὐτήν[7].

Θαυμαστὸν οὐδέν ἐστιν εἰ ζῶν μὴ πνέει
Φονῶν ὁ πατὴρ Ἀβραὰμ τῷ φιλτάτῳ·
Τοὺς γὰρ δι' αὐτὸν τὸν θεὸν παιδοκτόνους[8]
Οὐκ ἔστιν εἰκὸς πνευστιᾷν ὡς ἐν μάχῃ.

[1] *De animal.* 915 : Καὶ τῶν διωκτῶν ἐν βραχεῖ κατισχύει.
[2] Εἰσλοαυτό cod. Par. 66 r°.
[3] Matth. III, 9. Luc. III, 8.
[4] Εἰσλοαυτό cod. Par. 66 r°.
[5] Vox addenda lexicis.
[6] Εἰσλοαυτό cod. Par. 66 v°, cod. M. fol. 140.
[7] Εἰσλοαυτό cod. Par. 66 v°.
[8] Cod. Flor. ccxiii, 65.

XCVII. Εἰς τὴν αὐτήν [1].

Ἔδει ϖαρεῖναι καὶ τὸν ἄψυχον λίθον
Μάρτυρα τοῦ σοῦ ϖρὸς Θεὸν, ϖάτερ, ϖόθου.
Σιγᾷ μὲν οὖν ὡς λίθος· ἐκ δὲ τῶν τύπων
Κῆρυξ ἀτεχνῶς ἐν ψυχῇ ζῶν εὑρέθη.

XCVIII. Εἰς τὴν αὐτήν [2].

Μὴ, μὴ, Θεατὰ, μὴ ϖαρέλθῃς τὸν λίθον
* Ὡς λίθον ἁπλῶς· οὐδὲ γὰρ ὄντως λίθος,
Ἀλλὰ [3] ϖνοῆς ἄδηλον ἐγχέας τόνου,
Γλυφῆς χάριν ἔδειξεν ἐψυχωμένην [4].

XCIX. Εἰς τὴν αὐτήν [5].

Γεωγραφικὴν ἐκμαθὼν συμμετρίαν
Ἑρμογλυφικὴν ἔσχεν εὐαρμοσλίαν
Ὁ μυσλαγωγὸς τῶν καλῶν οὗτος γέρων·
Οὐδὲν [6] γὰρ εἰς ἄῤῥυθμον ἐξέσλη ϖλάσιν.

C. Εἰς τὴν αὐτήν [7].

Τὸν Ἀβραὰμ ὁ λίθος ὡς ὄρος φέρει
Καὶ Θαυματουργεῖ ζῶντα μικροῦ δεικνύων·
Εἰ μὴ γὰρ [8] ἰδὼν ἄγγελον συνεσλάλη,
Δρομεὺς ἂν ἦν ἄντικρυς ὁ ϖρέσβυς γίγας.

[1] Εἰσλοαυτό cod. Par. 66 v°.
[2] Εἰσλοαυτό cod. Par. 66 v°. Εἰς τὸν Ἀβ. cod. Flor. III. Ὅμοιοι cod. M. f. 141.
[3] Fort. Ἀλλ' ὁ.
[4] ἐμψυχωμένην cod. Esc.
[5] Εἰσλοαυτό cod. Par. 67 r°.
[6] οὐδέ cod. Esc.
[7] Εἰσλοαυτό cod. Par. 67 r°. Ὅμοιοι cod. Mon. fol. 141.
[8] γάρ om. cod. Par.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

CI. Εἰς τὴν αὐτήν [1].

Ὁ λίθος εἰ ζῇ καὶ δοκεῖ τάχα πνέειν,
Τῆς Ἀβραὰμ καὶ τοῦτο θαυματουργίας·
Μὴ τάχα κρυπλὴν ἐξ Ἐδὲμ χέας δρόσον,
Ἥμειψε τὴν [2] ἄτεγκτον εἰς ἔμπνουν φύσιν.

CII. Εἰς τὴν αὐτήν [3].

Τί τοῦτο; βαβαί, ζῶσι μικροῦ καὶ λίθοι
* Καὶ πνεῖ τὰ νεκρά· τὰς γὰρ ἐμφάσεις βλέπεις.
Εἰ δ' οὐκ ἔχει κίνησιν ἢ λόγου κτύπον,
Μᾶλλον, θεατά, ζῶντα νεκρὰ θαυμάσεις.

CIII. Εἰς τὴν αὐτήν [4].

Ναὶ, ναὶ, πάτερ, ξένιζε καὶ τοὺς ἀγγέλους
Μόσχον σιτευτὸν ὡς Φιλόξενος [5] θύσας·
Καὶ γὰρ τὸν ἀμνὸν τοῦ θεοῦ προδεικνύεις,
Ὃς ὑπὲρ ἡμῶν τῶν σφαλέντων καὶ ξένων
Ἑκὼν ἀπαχθεὶς ὡς κακοῦργος ἐσφάγη.
Ἐχρῆν δὲ καὶ φαγόντος ἄρτον ἀγγέλου,
Ἄῤῥευστον ἡμᾶς βρῶμα σαρκὸς ἐσθίειν.
Τίς οὖν θεωρῶν μὴ ξενίζοι [6] τοὺς ξένους;

CIV. Εἰς τὸν ἐπὶ τραπέζης μυστικὸν δεῖπνον [7].

Τοῦ δεσπότου δειπνοῦντος οὐδαμοῦ κτύπος,

[1] Εἰσλοαντό cod. Par. 67 r°, cod. Flor. III. In cod. M. fol. 141 : Ὅμοιοι.

[2] ἤμειψεν εἰς ἀτ. εἰς cod. Esc.

[3] Εἰσλοαντό cod. Paris. 67 r°, cod. Flor. III. In cod. M. Ὅμοιοι.

[4] Εἰς τὴν φιλοξενίαν τοῦ Ἀβραάμ cod. Par. fol. 205 r°.

[5] Unde verbum φιλοξενίζω in *Spicil. Roman.* t. II, p. 128 : Ὡς ἄνθρωποι ἦλθον πρὸς αὐτὸν ὡς φιλοξενισθέντες ὑπ' αὐτοῦ.

[6] ξενίζῃ cod. Esc.

[7] Εἰς μυστικὸν δεῖπνον ἐν τραπέζῃ μονῆς cod. Par. fol. 205 r°.

Ακαδημία Αθηνών / Academy of Athens

Εἰ δὲ θρασυνθεὶς ὁ προδώσων ἐσφάλη,
Τῆς ἀνοχῆς θαύμαζε τὸν σὸν δεσπότην[1],
Ὃς οὐδ' ἐπ' αὐτῷ δυσφορεῖ τῷ δυσλρόπῳ,
Μὴ τοὺς μαθητὰς τῇ τραπέζῃ συγχέῃ·
Σὺ δὲ βλέπων, βέλτισλε, μιμοῦ τὸν τύπον,
* Κἂν τοῖς ταπεινοῖς συνανεκλίθης φέρε,
Καὶ τὴν σιωπὴν ἑσλιῶ πρὸ τοῦ τρύφους.

CV. Εἰς τὸν προφήτην Ἠλίαν ἁρπαζόμενον, ῥιπλοῦντα δὲ τὴν μηλωτὴν τῷ Ἐλισσαίῳ[2].

Εἰς ἅρμα πυρὸς ἁρπαγεὶς ὁ Θεσβίτης
Παρῆκε νεκρὰν ὡς ὁρᾷς δέῤῥιν κάτω.
Σὺ δὲ, ψυχὴ τάλαινα, πῶς ἄνω φθάσεις
Τὰ νεκρὰ κατέχουσα τῆς ὕλης βάρη;

CVI. Ἔκφρασις εἰς τὸν αὐτόν[3].

Δέχου παρ' ἡμῖν τὸν προφήτην τὸν μέγαν
Ἐκεῖνον αὐτὸν ἀκριβῶς τὸν Θεσβίτην·
Τὸν πυρφόρον κάτωθεν οὐρανοδρόμον,
Τὸν εἰς ὕλην θνήσκουσαν ἠφθαρτισμένον
Ἕως τελευτῆς καὶ φθορᾶς παγκοσμίου[4],
Τὸν Ἡλιοὺ τὸ θαῦμα τοῦ παντὸς γένους,
Ὃς οὐδ' ἐς αὐτῆς τῆς γραφικῆς τὴν Φύσιν
Ἄψυχος εἶναι καὶ σκιώδης ἂν θέλοι,
Σαφῶς δὲ τοῦ ζῆν εὐτυχεῖ τὰς ἐμφάσεις,
* Κἂν ἐξ ὕλης γράφοι τις αὐτὸν ἄψυχου[5].

[1] τὸν διδάσκαλον cod. Par. pro τὸν σὸν δεσπότην.

[2] Εἰς τὴν ἀνάληψιν Ἡλίου cod. Paris. 171 r°.

[3] Εἰς τὸν προφήτην Ἠλίαν codex Flor. 179, et cod. M. fol. 82.

[4] Idem versus cod. Par. VI, 21.

[5] Cod. ἀψύχον.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁρᾷς γὰρ αὐτὸν ἐσκιαγραφημένον,
Καὶ ζῶντα μικροῦ καὶ δοκοῦντά σοι πνέειν·
Ὃς δὴ καθεσθεὶς εἰς λιθόστρωτον[1] θάκον,
Ἐπὶ[2] λογισμῶν εἰς βάθος νενηφότων
(Ὄρος γὰρ ἢ Κάρμηλος ἢ Χωρὴς[3] τόδε)
Τὴν ἐσχάτην ἔοικε προβλέπειν κρίσιν.
Πλὴν πρεσβυτικῆς ἴδε καθέδρας[4] τύπον,
Ὦ νοῦ βεβηκὼς εἰς τὸν ἄστατον βίον·
Ἐν σχήματι γὰρ μετρίως ἀνειμένῳ
Τῆς δεξιᾶς τὸν πῆχυν ὀρθῶς ἱδρύσας,
Καὶ τῆς κεφαλῆς τὴν στροφὴν ἐπικλίνας,
Τῇ κατὰ πυγμὴν συστολῇ τῶν δακτύλων
Ἐκπληκτικῶς[5] ἀνῆκε τὴν εὐώνυμον.
Ἐρείδεται δ' οὖν ἡ παρ' ἀγκῶνι στάσις
Εἰς τὸ πρὸς ἀνάκαμψιν ἠρμένον γόνυ.
Νομίζεται δὲ πρὸς νῶτον[6] τετραμμένος
Τὴν συναγωγὴν τῶν νεφῶν ἔτι βλέπειν
Καὶ συγκαλεῖν τὸν ὄμβρον εἰς τὰς ἐκφύσεις,
Ἴσως δεδοικὼς μὴ σπανισθείη τρύφους.
Ἐσπείραται γὰρ εὐφυῶς τῇ διφθέρᾳ
Καὶ τὸν ποδήρη τόνδε συστείλας ἔχει,
Μή πού τις ἡμᾶς προσρυῇ τῷ κρασπέδῳ.
Πλὴν ἔστιν αὐτῷ καὶ πεφυρμένη κόμη·

[1] Strab. XIV, p. 646 : Αἱ ὁδοὶ λιθόστρωτοι. Id. XVII, p. 805 : Λιθόστρωτον ἔδαφος. Germ. Cpol. cod. Coisl. 278, fol. 169 v° : Καὶ λίθος πρὸς κεφαλῆς αὐτοῦ, εἴπερ τόπος τοῦ κρανίου τὸ λιθόστρωτον κέκληται. Id. fol. 170 v°. Philes, *De animal.* 594 : Ἐνώτιον δὲ καὶ λιθόστρωτον στέφος.

[2] Fort. transponendi vers. 14 et 15.

[3] Leg. Χωρήβ.

[4] Cod. καθίδρας.

[5] Schol. in Il. Matrang. *Anecd.* p. 416 : Ἐκπάγλως, ἐκπληκτικῶς.

[6] Leg. νότον, ubi nubes colligi solent.

ἐπιβλέπειν Kurtz, BNJ 4, 53

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ γὰρ ἀτημέλητον[1] ἡ τέχνη γράφει,
Οὔ μήτε κουρὰ, μήτε λουτρὰ καὶ κτένες,
Ἀλλ' οὐδὲ μυρίπνους[2] τὶς ἀσκεῖται χρίσις.
Ὅρα δὲ καὶ ϖώγωνα λευκὸν ἐκτόπως,
Ἢ τοῦ χρόνου σμήξαντος αὐτῷ τὰς τρίχας,
Ἢ τῆς γραφῆς τὸ γῆρας αἰνιξαμένης.
Ἔχει δὲ καὶ ζήλου τι Θερμοῦ δεικνύειν
Ἢ[3] κατὰ τὸ ϖρόσωπον αὐτῷ σεμνότης·
Τὸ γὰρ Θυμικὸν ἐκ βάθους ἀναζέσαν
Τῶν ὀμμάτων τίθησι λοξὸν τὸν δρόμον
Ὡς ἀπὸ καπνοῦ τῆς ἐν αὐτοῖς ἀτμίδος,
Τῶν ϖρεσβυτικῶν συσϛαλεισῶν ὀΦρύων.
Ἢ καὶ[4] ϖαρειῶν οὐχ ὁρᾷς ϖῦρ ἐνθάδε,
Καὶ τοὺς ἄτερ καύσωνος ἱδροῦντας ϖόρους;
Ὅταν δὲ τὸν ϖόρπακα τοῦ σϛέρνου βλέπῃς,
(Συνδεῖ γὰρ αὐτῷ τὴν τομὴν τῶν ἀμΦίων,
* Μὴ τὸν σϛολισμὸν ἡ ϖνοὴ συναρπάσῃ)
Τῶν ϖραγμάτων Θαύμαζε τὴν εἰκασίαν.
Ἐγὼ δὲ καὶ τὸ σχῆμα σεμνόν τι κρίνων,
Τὴν Θαυματουργὸν εὐλαβοῦμαι διΦθέραν·
ΠεριΦερὴς γάρ ἐσϛιν αὐτῆς ἡ χυόη,
Κινήσεως δεικνύσα[5] λεπτὰς ἐμΦάσεις,
Τῆς ἀρετῆς δὲ τὸν ϖολὺν τρέχων δρόμον
Ὁ Θεσβίτης ἔμεινε γυμνόϖους[6] τάχα,
Κἂν ἐμβατῶν ἔκλωσεν ἡ τέχνη βρόχους
Τῶν ϖρεσβυτικῶν ϖελμάτων[7] Φεισαμένη,

[1] Adverbium ἀτημελήτως usurpat Ephræmius v. 5594 : Ὁ τοῦδε νεκρὸς ἐν μιᾷ τῶν ἀψίδων Ἀτημ. ἐῤῥίΦη τοῦ σϛαδίου.

[2] Cf. cod. Flor. LXV, 64.

[3] Cod. ἥ.

[4] Fort. ἦ καί.

[5] Cod. δεικνύουσα.

[6] Cf. cod. Flor. CCVIII, 59.

[7] Codex τελμάτων et supra ϖελμάτων.

Μὴ ϖού τις ὀξὺς ταῦθ' ὑποξέσῃ λίθος·
Οὐ γὰρ φέρει νέκρωσιν ὑλώδους βάρους
Εἰς ἔνθεον γῆν αἰθεροδρόμος[1] φύσις·
Τῆς δὲ σϛολῆς ἐνταῦθα συνεσϛαλμένης
Ὅσον μὲν εἰς φῶς τῶν μελῶν ἀνηγμένον[2]
Δοκεῖ τὶ λευκὸν, οὐδὲ γὰρ ἔχει βάθος·
Ὅσον δὲ βαθὺ τῇ σκιᾷ τῆς διπλόης,
Μέλαν ϖεριτλῶς· οὐδὲ γὰρ φῶς ἐνθάδε·
Γραμμαῖς δὲ λεπταῖς ἀλλὰ καὶ ϖαχυτέραις
Εἰς ϖᾶν τὸ σαφὲς ὁ γραφεὺς[3] νοῦς ἐξέδυ.
Οὕτω δ' ἂν ἐξῇς καὶ τὸ νῦν ὄρος κρίνοις
* Ὅλα το μηθὲν[4] ὑπὸ τῆς εὐτεχνίας·
Ὁ σκάριφος[5] γὰρ (ἐγκοπεύς τις ἦν τέως)
Ὑπῆρξεν ἑσϛὼς εἰς ἀποσπάδας ϖάγων
Ὡς ἀπὸ βρασμοῦ καὶ τιναγμοῦ[6] καὶ κλόνου·
Εἰκὸς γὰρ αὐτοῦ συντριϐῆναι τοὺς λόφους
Τοῖς ὑψόθεν δείμασι κατεργασμένους[7]· κατειργ- Kurtz, BNJ 4, 53
Ἀλλ' οὗ μὲν ἡ χοῦν, ἡ σκιᾶς ἴσχει γνόφον,
Δροσῶδες ἑσϛὶ, καὶ χρυσῆν βλάσϛην[8] φύει
Καὶ ζῶντα μικροῦ καὶ χλιδῶντα δενδρία·
Ἐπεί φυτουργεῖ[9] καὶ γραφεὺς ὅταν ϑέλῃ,

[1] Cf. cod. Flor. CLXII, 20. Orac. ap. Piccol. *Sup. à l'Anthol. gr.* p. 174 : Οὐδ' ἐγὼ αὐτὸς Ἀκτῖσιν συνέχων ἐπικίδναμαι αἰθεροδινῆς. Hac voce lexica sunt augenda.

[2] Cod. ἀνηγμένων.

[3] Pro ὁ τοῦ γραφέως νοῦς.

[4] Fort. ὑλητομηθέν pro ὅλα το μηθέν. Sed aliud latet fortasse. Conf. Daniel. II, 34. Jo. Damasc. *In Annunc.* (Opp. t. II, p. 837), supplem. ex cod. Par. 396 : Χαίροις τὸ ἀλατόμητον ὄρος ὅπερ ἐθεάσατο Δανιὴλ ἀκριϐὴς τῶν ὀνειράτων ἑρμηνευτής. Confer. S. Ephræm. Syr. *Opp.* t. III, p. 530.

[5] Cod. σκάρυφος.

[6] Infra CLXXII, 10 : Καὶ γῆς τιναγμοῖς τὸν νεὼν τεθραυσμένον.

[7] Fort. κατηραγμένους?

[8] Cod. Flor. I, 509 : Τὴν βλάσϛην φύων.

[9] Cod. Flor. CLVII, 20.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Τὰς τῶν ἑλῶν χάριτας εἰς ὄρη γράφων.
Ὅπου δ' ἄνικμόν ἐστι καὶ λίθος μόνον,
Γόνιμον οὐδὲν, οὐδὲ λεπτή τις ποία·
Πλὴν αὐτὸς οὗτός ἐστιν ὁ ζῶν Θεσβίτης,
Ὃς οὐρανοὺς ἔκλεισε, πῦρ κατήγαγεν·
Εἰς οὐρανοὺς ἀνῆλθε πυρίνῳ δρόμῳ,
Ἔδειξε πηγὰς μὴ κενουμένας ὅλως
Τὸν καμψάκην, βέλτιστε, καὶ τὴν ὑδρίαν,
Τῆς αἰσχύνης ἀνεῖλε τοὺς θυηπόλους,
Τέτμηκε ῥεῖθρα τῇ τομῇ τῆς διφθέρας
Καὶ νεκρὸν ἐψύχωσεν εὐχῆς ἰσχύϊ.
* Νυνὶ δὲ τὸν κόρακα πτερόντα βλέπε·
Ἐφίπταται γὰρ ἑστιάσων τὸν μέγαν·
Πλὴν οὔτε κλαγγὴν, οὔτε κρωγμὸν ἐξάγει,
Τάχα δεδοικὼς μὴ θορυβήσας λάθῃ
Καὶ τὸν λογισμὸν τῷ προφήτῃ συγχέῃ.
Μᾶλλον δὲ σιγᾷ τῆς φθορᾶς κρείττω βλέπων,
Εἰ μηνύειν θάνατον ἀνθρώποις λόγος
Τὸν φθόγγον αὐτοῦ μαντικὸν δεδειγμένον.
Ἆρ', ὦ πάτερ, τὸ δῶρον οὐ θαῦμα κρίνεις;

CVII. Εἰς[1] ἐγκόλπιον ἴασπιν ἐν ᾧ ἔστηκεν ὁ προφήτης Δανιήλ· ἔχει δὲ φλέβας πρασίνους καὶ ἐρυθράς.

Ὁ λίθος ὑγρὸς, ἀλλὰ πῦρ ἔνδον βλέπω.
Στέγει τὸ πῦρ ὁ λίθος, ἡ φλὸξ τὴν δρόσον·
Καὶ θαυματουργεῖ[2] Δανιὴλ ζῶν ἐν μέσῳ·
Μὴ τοῖς πάλαι τέσσαρσι πέμπτος εὑρέθη;

[1] Εἰς ἴασπιν χλωρὰν ἔχουσαν φλέβας ἐρυθρὰς, ἐν ᾗ ἦν ἐγλυμμένος ὁ προφήτης Δανιὴλ, εὐφυῶς cod. Paris. 65 v°. Εἰς ἴασπιν ἔχουσαν φλέβας ἐρυθράς cod. Flor. 109 v°.

[2] Cf. infra CXLIV, 3.

Ακαδημία Αθηνών / Academy of Athens

CVIII. Εἰς [1] τὴν ἀπὸ μαρμάρου σορὸν τοῦ ἁγίου προφήτου Δανιὴλ ἱσταμένην ἐπάνω [2] λεόντων, ἔχουσαν δὲ [3] καὶ ἀγγέλους ἐν σχήματι βρεφῶν κοιμωμένους.

* Εἰ γρηγορούντων εἶχεν ἡ τέχνη τύπον,
Ζῶντας ἂν εἶδες τοὺς γλυφέντας ἀγγέλους,
Νυνὶ δὲ λευκὸν ἀκριβῶς λίθων [4] γάλα
Δοκοῦντας ὑπνοῦν ἐν βρεφῶν εἴδει τρέφει [5].
Ὁ γὰρ Δανιὴλ εὑρεθεὶς νοῦς ἐξ ὕλης
Τοὺς πλὴν [6] ὕλης φύλακας ἐξ ὕλης ἔχει,
Δεικνὺς τὸ καινὸν τῆς τιμῆς ἀντίστροφος.
Οὐκοῦν, θεατά, στῆθι, μὴ προσεγγίσῃς·
Τοὺς γὰρ θρασεῖς λέοντας ἐνθάδε βλέπεις
Ἐκ τοῦ φόβου παγέντας εἰς λίθου φύσιν.
Ὅταν δὲ καθεύδοντας ἀγγέλους βλέπῃς,
Νήφοντας ὡς λέοντας ἐξ ὕπνου τρέμε [7].

CIX. Εἰς τὴν ἔκστασιν αὐτοῦ ὅτε συνεκέκλειστο τοῖς λέουσι [8].

Ἐπιθυμιῶν εὑρεθεὶς ἀνὴρ μάκαρ [9],
Ἐπιθυμιῶν φθαρτικῶν κρείσσων [10] μένεις·
Ὀρεκτιῶντα γάρ σε καὶ τὰ θηρία
Φρίττουσιν ὡς ἄνθρακα μικροῦ πυρφόρου,

[1] Εἰς τὸν τάφον τοῦ ἁγίου προφήτου Δανιήλ cod. Par. 65 r°, cod. Flor. 109, codex Escur. R.-III-17, et Mon. fol. 65.

[2] ἐπί cod. Esc. B.

[3] δέ om. cod. Esc. B.

[4] λίθου cod. Par.

[5] τρέφειν cod. Esc. B.

[6] τοὺς πλὴν ὕλης, id est ἀΰλους.

[7] Cod. Esc. βλέπεις.

[8] Εἰς τὸν προφήτην Δανιήλ codex Par. 73 r°. Cod. M. fol. 140 cum Δανιήλ pro αὐτοῦ.

[9] Ἐπιθυμιῶν μάκαρ significat «liber a cupiditatibus,» significatio omissa in Thesauro. Sic infra CXXXVII, 3 : παθῶν μάκαρ.

[10] Conf. supra CVI, 97.

Ακαδημία Αθηνών / Academy of Athens

Πλὴν ὡς ὅλος ϖῦρ εἰς τὸ Φῶς ἀνατρέχεις·
Τὴν γὰρ Φύσιν ἤμειψας ἐξ ἀσιτίας.

* CX. Εἰς τὴν ῥίζαν τοῦ Ἰεσσαί[1].

Ὑπνοῖς Ἰεσσαὶ καὶ γονῆς κλῶνας Φύεις[2]·
Ἐλικας ἂν εἴποι τις αὐτοὺς ἀμπέλου·
Βότρυς δὲ ϖερκάσαντας ἀῤῥήτως Φέρεις
Τοὺς δεῦρο τῆς σῆς ἐκΦυέντας[3] ὀσΦύος[4],
Ἀφ' ὧν[5] Ἰησοῦς ὡς γλυκασμὸς ἐῤῥύη
Τὴν τῆς Φθορᾶς ἔμπικρον ἐξαίρων μέθην.

Εἰς τὸ ψαλτήριον[6].

CXI. Εἰς εἰκόνα τοῦ ϖροΦήτου Δαβὶδ κύπλοντος καὶ γράΦοντος.

Τῆς ϖνευματικῆς ἀκροώμενος λύρας
Κάτω σχεδὸν κέκυΦεν ὁ ψαλμογράΦος[7]·
Συνεὶς γὰρ αὐτῆς οὐ δοκεῖ τάχα γράΦειν
Ἕως τὸ ϖνεῦμα τὸν[8] σοΦὸν Φθόγγον χέῃ.

CXII. Εἰς τὸ αὐτό[9].

Σύννους[10] κεκυΦὼς ὁ ϖροΦήτης ἐνθάδε
Τείνει ϖρὸς ὕψος τοῦ νοὸς τὰς ἐμΦάσεις·
Τῷ ϖνεύματι δὲ τῆς ϖροΦητοΦθεγξίας[11]
Κτείνει τὸ ϖνεῦμα τῆς ϖονηροϖραξίας.

[1] Cod. Par. fol. 261 v°.
[2] Cod. Par. *Φύοις*.
[3] *ἐμΦυέντας* cod. Esc.
[4] *ἰσχύος* cod. Esc.
[5] *ἐξ ὧν* codd. Par. et Flor.
[6] Cod. M. fol. 139 : *Εἰς ψαλτ.*
[7] Manuel Holobolus, cod. Par. 400, fol. 106 v° : *Κατὰ τὸν ψαλμογράΦον.*
[8] Cod. Esc. *τὸ σοΦόν.*
[9] Cod. M. fol. 139.
[10] Cod. *σύνους.*
[11] Vox addenda lexicis, ut et sequens *ϖονηροϖραξία*. Pantaleo Diac. cod. Par. n° 501, fol. 125 r° : *ΣυνεΦελκύσατο δὲ καὶ συναποσ/ατῶν σ/ῖΦος ἄϖειρον τῆς ἰδίας ἀβουλίας καὶ ϖονηροϖραξίας συνέριθον.* Adde et *ϖονηρομανής* ex *Bibl. Patr.* Mai, t. VI, p. 260.

Ακαδημία Αθηνών / Academy of Athens

* CXIII. Εἰς τὴν ἀρχὴν τῶν ψαλμῶν[1].

Εἰ καὶ Δαβὶδ μέμυκε τὸ ψάλλον σῶμα
Πλὴν οὐ τοσοῦτον, ὥστε μηδόλως λέγειν·
Ἰδοὺ γὰρ αὐτὸς εἰ σκοπήσεις τοὺς λόγους,
Εὕροις[2] κἀκεῖνον μυστικῶς ᾄδοντά σοι.

CXIV. Εἰς[3] τὴν μέσην[4] τοῦ ψαλτηρίου[5].

Εἰς εἰκόνα τοῦ προφήτου Μωϋσέως ἑστῶτος, καὶ τοῖς Ἰουδαίοις διδόντος τὸν νόμον.

Ἐνταῦθα Μωσῆς καὶ Σινᾶ θεῖος τόπος[6]
Καὶ πλῆθος ἑστὼς καὶ καλούμενος νόμος.
Οὐρανὸν οὖν νόμιζε τὸν θεῖον τόπον·
Θεὸν δὲ Μωσῆν καὶ λαοὺς ἡμᾶς νέους.

CXV. Εἰς τὴν πρώτην ᾠδήν[7].

Τί τοῦτο; Μωσῆ ῥάβδος ἰσχύει τόσον
Ὡς ἐξαμείβειν τῆς θαλάττης τὴν φύσιν,
Λαοὺς δὲ πολλοὺς τῷ βυθῷ πέμπειν χύδην;
Οὔ φησιν, ἀλλ' ἔχει τι τὸ πρᾶγμα πλέον.

CXVI. Εἰς τὴν δευτέραν ᾠδήν[8].

Πλάκας ὁ Μωσῆς ἐκ θεοῦ δεδεγμένος
* Ἐνταφιάζει τὴν φθισίβροτον[9] πλάνην.

[1] Cod. M. fol. 139.
[2] Cod. M. εὕρῃς.
[3] Cod. M. fol. 139.
[4] Intelligit fortasse ps. 102-105, ubi multa de Mose; sed potius inter duo hæc lemmata deesse quædam carmina puto.
[5] Cod. M. ψαλτῆρος.
[6] Cod. M. τύπος.
[7] Cod. M. fol. 139. Vid. infra CXXI-CXXII. De his canticis cf. Allat. *De libr. eccl. gr.* p. 62.
[8] Cod. M. fol. 139.
[9] Pro φθισίμβροτον. Tryphiod. vers. 313 : Φθισίμβροτος ἄτη.

Ακαδημία Αθηνών / Academy of Athens

Αὐτὸς δὲ καὶ δὶς εὐλογῶν τὸν δεσπότην
Τὸν ζωτικὸν δίδωσιν Ἑβραίοις νόμον.

CXVII. Εἰς τὴν διάβασιν τοῦ Ἰσραὴλ ἐν τῇ Ἐρυθρᾷ[1].

Ἤπειρος ἡ Θάλασσα[2] καὶ πῦρ εἰς ὕδωρ·
Ὁ πλοῦς ἐπὶ γῆς καὶ καθ' ὑγρᾶς ἡ τρίβος.
Ὀξὺς ὁ νωθὴς, ὁ δρομεὺς ὀπισθόπους[3].
Αἰρεῖ δὲ γυμνὸς δυσμενῆ πεφραγμένον,
Φυγὰς δὲ πεζὸς τὸν διώκτην συμπνίγει[4].
Αὕτη γὰρ ἡ Θάλασσα παιδίσκης τρόπον
Μασλίζεται μὲν, ἀλλὰ καὶ πράως φέρει·
Καὶ τέμνεται μὲν, ἀλλ' ἀνατρέχει πάλιν·
Τὰς γὰρ φύσεις ἤμειψε Μωσῆς ἐνθάδε,
Δεικνὺς τὸ πισλὸν τοῦ σπορᾶς ἄνευ[5] τόκου.

CXVIII. Ἕτερον εἰς τὸ αὐτό[6].

Πάλιν Ἐρυθρὰ καὶ πάλιν Μωσῆς μέγας·
Τὸ γὰρ ὕδωρ πέπηγε τὴν ῥάβδον τρέμον,
Εἰ καὶ πάλιν ἔμεινε τὴν φύσιν ὕδωρ,
Βαρεῖς ὑποσπῶν[7] εἰς τὸ βάθος ὁπλίτας.

CXIX. Εἰς τὴν ἱστορίαν τοῦ παλαιοῦ[8].

* Ὑπερφυοῦς θαύματος εἰκόνα γράφων

[1] Cod. M. fol. 139. Lemma in cod. Par. fol. 261 v° : *Εἰς τὴν ἐν τῇ Ἐρ. διάβασιν.* In cod. Vat. 914, fol. 189 r°: *Στίχοι τοῦ Φιλῆ εἰς τὴν ἐν ὁδηγητρίᾳ διάβασιν τοῦ Ἰσραήλ.*

[2] Cod. M. *Θαλάσση.*

[3] Cf. cod. Par. XXIX, 4.

[4] Hic versus deest in cod. Vat.

[5] Cod. Vat. *τοῦ δίχα σπορᾶς.*

[6] *Εἰς τὸν καταποντισμὸν τῶν Φαραωνιτῶν* cod. Par. fol. 261 r°. Cod. Mon. fol. 140 : *Ἕτεροι.*

[7] Cod. M. *βαρὺς ἀποσπῶν. De anim.* 1818, 1896.

[8] *Εἰς διαφόρως παλαιὰς ἱστορίας ἐντέχνους* cod. Par. fol. 261 r°.

Ακαδημία Αθηνών / Academy of Athens

Μικροῦ παρεγχεῖ[1] καὶ πνοὴν ὁ ζωγράφος·
Εἰ δ' οὐκ ἔχει θόρυβον ἡ τέχνη, ξένε,
Μὴ θαυμάσῃς· καὶ τοῦτο τοῦ μυστηρίου,
Μᾶλλον δὲ τῆς χάριτος αὐτῆς λαμψάσης
Ἐχρῆν σιωπῇ συσταλῆναι τοὺς τύπους[2].

CXX. Εἰς τὸν χορὸν καὶ τὰ κύμβαλα ὧν ἐξῆρχεν ἡ Μαριάμ[3].

Οὐδέν τι καινὸν εἰ τὰ κύμβαλα βλέπων
Μὴ καὶ κτύπου θέλγοντος ἀκούεις[4], ξένε·
Καὶ ταῦτα γὰρ δὴ τῆς ἀληθείας χάριν
Τὴν Μωσέως ἔθελξεν ἰσχνοφωνίαν[5].

Εἰς τὰς ᾠδάς.

CXXI. Εἰς τὴν πρώτην ᾠδήν.

Ὁ μὲν Φαραὼ πανστρατὶ πεπνιγμένος
Τύμπανόν ἐστι καὶ σιγᾷ βεβρεγμένον·
Μέλπει δὲ τὸν κρύψαντα τοὺς Αἰγυπτίους
Τὸ Μωσέως ὄργανον ἐξικμασμένον.

CXXII. Εἰς τὴν εἰκόνα Μωσέως.

Σὺ μὲν σιωπᾷς ὡς βραδύγλωσσος[6] πάλιν,
* Σιγᾷ δὲ σὺν σοὶ καὶ τὸ πρὶν λαλοῦν στόμα·
Ὁ σύγγονος γὰρ οὐδαμῇ πάρεστί σοι.
Γραφέντες οὖν κράζουσιν οἱ ζῶντες λόγοι.

[1] Cf. cod. Flor. LXV, 44.

[2] Hic versus deest in cod. Esc.

[3] Εἰς τὸν χορὸν τῆς Μαρίας ἔνθα τὸ ᾄσωμεν τῷ κυρίῳ cod. Par. fol. 261 v°.

[4] ἀκούοις cod. Par.

[5] ἰσχοφωνίαν cod. Escur. Conf. *Exod.* IV, 10.

[6] Nicol. Corcyr. cod. Paris. 1277, fol. 228 v° : Δειλός τίς εἰμι καὶ βραδύγλωσσος λέγειν. Cyrill. Alexandr. *Opp.* t. III, p. 366, A. German. Constantinopol. cod. Coisl. 278, fol. 184 v° : Πρὸς τὸν ἰσχνόφωνον ἐμὲ καὶ βραδύγλωσσον.

Ακαδημία Αθηνών / Academy of Athens

CXXIII. Εἰς τὴν τρίτην ᾠδήν.

Ἄκαρπον ὡς γῆν τὴν σοφὴν Ἄνναν βλέπων
Ὁ τῶν ἁπασῶν οὐσιῶν Φυτοσπόρος
Εὔκαρπον [1] ἀπέδειξε καὶ παρ' ἐλπίδας,
Δοὺς τὸν Σαμουὴλ ὡς πολύφορον [2] στάχυν.

CXXIV. Εἰς τὴν ὑπόθεσιν τῆς τρίτης ᾠδῆς.

Τὴν Ἄνναν ἐστείρωσεν ἡ Φύσις πάλαι·
Πλὴν ἡ προσευχὴ πρὸς γονὴν ἐπιστρέφει·
Στεῖρα ψυχή, δείδιθι τὴν ἀκαρπίαν,
Καὶ τῆς προσευχῆς ἀντὶ πάντων ἔξεχου.

CXXV. Εἰς τὴν ε' ᾠδήν.
Εἰς τὴν εἰκόνα τοῦ προφήτου Ἡσαΐου [3].

Ἔστηκε σιγῶν ὁ βλέπων Ἡσαΐας,
Μήπως λαλήσας τοὺς νεκροὺς ἐξυπνίσῃ [4],
Μέλλοντας [5] ἰδεῖν τὴν τελευταίαν κρίσιν·
Ἔτι γὰρ οὗτος τὸν κριτὴν πόῤῥω βλέπει.

CXXVI. Εἰς τὴν ς' ᾠδήν.

* Τρεῖς ἡμέραι σώζουσι τοὺς Νινευΐτας,
Τρεῖς ἑσπέραι κρύπτουσι τὸν δεδορκότα,
Τοὺς μὲν σφαλέντας καὶ μεταγνόντας πάλιν,
Τὸν δὲ προσημήναντα Χριστὸν ἐν τάφῳ.

[1] Ἀκαρπία et εὐκαρπία oppos. ap. Strab. p. 727: Δηλοῖ δ' ἡ εὐκαρπία· καὶ γὰρ πάμφορος καὶ μεγαλόδενδρος, πλὴν ἐλαίας, καὶ ποταμοῖς κατάῤῥυτος. Ἡ δὲ Γεδρωσία διαφέρει μικρὸν τῆς τῶν Ἰχθυοφάγων, ὥστ' ἀκαρπία κατέχει πολλάκις.

[2] Cod. Par. CCXXXVII, 127: Εἰς πολύφορον πέδον.

[3] Εἰς τὴν εἰκ. — Ἡσ. desunt in altero codice.

[4] Al. ἐξυπνήσῃ.

[5] Al. μένοντας.

Ακαδημία Αθηνών / Academy of Athens

CXXVII. Εἰς τὴν ζ' ᾠδήν [1].

Ἐνταῦθα τοὺς τρεῖς ἡ Τριὰς παῖδας ψύχει·
Φλέγει δὲ κύκλῳ τῆς πυρᾶς [2] τοὺς ἐργάτας.
Ἐχρῆν γὰρ αὐτοὺς τῶν παθῶν τοὺς δεσπότας
Ἐξ ἀνθράκων στέφανον ἐν δρόσῳ φέρειν.

CXXVIII. Εἰς τὴν ὑπόθεσιν τῆς ζ' ᾠδῆς.

Τίς εἶδε θερμὴν καὶ ψυχρὰν ἅμα ζέσιν,
Καὶ σάρκας ἔνδον τῆς πυρᾶς φρουρουμένας;
Οὐκ εἶδεν οὐδεὶς ἄχρι τοῦ τότε χρόνου,
Καθ' ὃν τὸ πῦρ ἔπληξε τοὺς νεανίας.

CXXIX. Εἰς τὴν η' ᾠδήν [3].

Οὐρανέ, γῆ, θάλασσα [4], τὰ πλήρη τρία,
Καὶ πᾶν πετεινῶν ἑρπετῶν νηκτῶν γένος,
Καὶ πᾶσα ῥευστὴ καὶ συνεστῶσα Φύσις,
Τῷ δημιουργῷ μυστικοὺς ὕμνους δότε.

* CXXX. Εἰς τὴν θ' ᾠδὴν τῆς Θεοτόκου [5].

Τίκτεις, Μαριὰμ, τὸν θεάνθρωπον Λόγον
Καὶ μακαρισμῶν ἄλλον ᾠδίνεις λόγον·
Τὸν μὲν δι' αὐτῆς τῆς πνοῆς τῆς ἐνθέου,
Τὸν δὲ πρὸς αὐτῆς τῆς πνοῆς τῶν ἐγκάτων.

CXXXI. Εἰς τὴν θ' ᾠδὴν τοῦ προφήτου Ζαχαρίου.

Τῆς ἀγγελικῆς ἀστραπῆς δεδειγμένης

[1] Cod. Esc. R.-III-17 : Εἰς τὴν παραδοξοποιΐαν τῶν γ' παίδων.
[2] πυρρᾶς cod. Esc. A.
[3] Cod. Esc. R.-III-17.
[4] Cod. al. θάλατται.
[5] Cod. Esc. R.-III-17 sine τῆς Θεοτ.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸν ψαλμὸν ἐβρόντησεν ὁ Ζαχαρίας,
Ὅπως τὸ σῶμα τῆς ϖανάγνου ϖαρθένου
Τὸν μαργαρίτην ὀσ|ρακώσῃ τὸν μέγαν.

CXXXII. Εἰς τὸν αὐτὸν ϖροφήτην, κωφὸν γράφοντα.

Κἀνταῦθα κωφὸν τὸν Ζαχαρίαν βλέπω·
Τίκτει γὰρ ἄλλον ἐν γῇ γράφων τὸν λόγον
Τῆς ϖροδρομικῆς[1] ἄξιον ϖαρουσίας.
Οὐ Θαῦμα σιγᾶν τοιγαροῦν τοῦτον ϖάλιν.

T. γ. ἀ. ἀγγελοῦντα τὸν λ. Kurtz, BNJ 4, 53

* CXXXIII. Εἰς τὴν γέννησιν τοῦ Προδρόμου, ἔχουσαν ϖερὶ αὐτὴν ἐζωγραφημένους τοὺς συνωνύμους αὐτοῦ.

Τί δῆτα σιγᾷς, εἰπέ μοι, Ζαχαρία;
Τεκὼν τὸν υἱὸν ἆρα δισ|άζεις ϖάλιν;
Ἥκισ|α, φησὶν, ἀλλ' ὁ τῆς τέχνης νόμος
Σιγῶντας ἡμᾶς οὐ Θορυβοῦντας γράφει.

CXXXIV. Εἰς τὸν ἠγαπημένον τῷ Χρισ|ῷ Θεολόγον, λέγοντά τι ϖερὶ τοῦ Βαπ|ισ|οῦ.

Τοῦ Προδρόμου λάμψαντος ἀσ|ραπῆς δίκην
Ὁ βροντοφυὴς[2] ἦχον ὠδίνει ξένον,
Ὅπως ὁ τῆς χάριτος ἀνθήσῃ σπόρος,
Εὐαγγελικῆς ἐμφορηθεὶς ἰκμάδος.

CXXXV. Εἰς τὸν μέγαν Χρυσόσ|ομον, ὁρῶντα τὸν Βαπ|ισ|ήν[3].

Ὃν εἶχεν ἀρχέτυπον ἐνθέου βίου,

[1] Infra CL, 1 : Τὴν ϖροδρομικὴν τοῦ Θεοῦ σε λυχνίαν. Germ. Cpol. cod. Coisl. 278, fol. 124 v° : Διὰ τὸ χειραπ|ούμενον τῇ ϖροδρομικῇ δεξιᾷ. Conf. Boisson. *Anecd. gr.* t. V, p. 298.

[2] Cf. Cod. Par. LXXIII, 4. *De anim.* 506 : Ἄῤῥητον ὠδίνων μέλος.

[3] Cod. Par. fol. 172 r° et cod. Mon. fol. 96, in quibus desunt ὁρῶντα τὸν Βαπ|.

Ακαδημία Αθηνών / Academy of Athens

Νῦν ὁ χρυσοῦς τὴν γλῶτταν[1] αἰδεῖται βλέπων·
Μὴ σκέψις[2] αὐτῷ πάλιν ὑμνεῖν τὸν μέγαν,
Ὡς ἡ σιωπὴ δεῦρο μικροῦ δεικνύει;

CXXXVI. Εἰς[3] τὸν ἅγιον Ἰωάννην τὸν Ἐλεήμονα καὶ αὐτὸν * ἐπὶ τὴν εἰκόνα ἐζωγραφημένον τοῦ Βαπτιστοῦ.

Ἔρημος ἰδοὺ τῶν πάθων οὗτος τόπος,
Ὃν ἀσμένως ᾤκησεν ὁ Ζαχαρίου·
Πλὴν ἔστιν ἰδεῖν καὶ ποταμὸν ἐνθάδε
Τὸν χρυσοδίνην[4] τόνδε τὸν πολυχοτρόφον.

CXXXVII. Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Νηστευτήν[5].

Ὥσπερ τὸ πῦρ κάτωθεν εἰς ὕψος τρέχει,
(Τὸ συγγενὲς γὰρ ἕλκειν οἶδεν ἡ φύσις)
Οὕτω, τροφῆς[6] ἄγευστε καὶ πάθων μάκαρ,
Καὶ σὺ γεγηθὼς πρὸς τὸν ἄτροφον[7] τρέχεις.

CXXXVIII. Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Δαμασκηνόν[8].

Κύκνον λογικὸν ἡ τρυγὼν τοῦ δεσπότου
Καλεῖ πρὸς ᾠδὰς γνωστικῆς μουσουργίας·
Ὁ δὲ πρὸς αὐτὴν[9] εὐλαβῶς ἀποβλέπων
Κινεῖν τὸν εἱρμὸν[10] τῶν μελῶν οὐκ ἰσχύει.

[1] γλῶσσαν cod. Par.

[2] Fort. σκῆψις?

[3] Cod. Par. fol. 172 r°, in quo desunt καὶ αὐτὸν κ. τ. λ.

[4] χρυσοδίνα cod. Escur. Cod. Paris. CXLI, 11 : Αἱ (φλέβες) χρυσοδίνην ὄλβον εἰργάσαντό σε.

[5] Cod. Par. 172 r°. De Joanne Jejunatore confer. Fabric. *Bibl. gr.* t. XI, p. 108.

[6] τρυφῆς cod. Par. Conf. supra CIX, 1 : Ἐπιθυμιῶν μάκαρ.

[7] ἄτρυφον cod. Esc.

[8] Cod. Par. 172 v°.

[9] αὐτόν cod. Par.

[10] Pisides, *Hexaem.* 681 : Εἰ τὴν καθ' ἡμᾶς σαρκικὴν λάβοι λύραν, Καὶ γνῶ τὸν εἱρμὸν τῶν μελῶν καὶ τοὺς τόνους. Cf. infra CCLXXXVIII, 13, ubi εἱρμὸς τῶν λόγων.

οἶδεν ἕλκειν Kurtz, BNJ 4,53

Ακαδημία Αθηνών / Academy of Athens

CXXXIX. Εἰς τὸν ἅγιον Ἰωάννην τῆς Κλίμακος [1].

Ἀφεὶς θεωρεῖν ἂς ὑφισ|ᾶς βαθμίδας,
Ὡς μυσ|ικὴν κλίμακα τὴν σφαγὴν βλέπε·
Δι' ἧς τρέχων ἄνεισιν ὁ Ζαχαρίου
Πρὸς τὴν ἀνυπέρβλητον [2], ὦ πάτερ, βάσιν.

CXL. Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Καλυβίτην [3].

* Ὃς ἦν ἀποφρὰς τοῖς γονεῦσιν ἐν βίῳ,
Καθάπερ ἀγνὼς καὶ μυδῶν τέως πένης,
Ἤδη σύνοικός ἐσ|ι τῷ Ζαχαρίου
Καὶ μέχρις αὐτῆς τῆς Ἐδὲμ τῆς ὀλβίας.

CXLI. Εἰς τὸν τίμιον Πρόδρομον [4].

Ἔρημον οἰκῶν μυσ|ικὴν εἶχες χάριν·
Νυνὶ δὲ χαρίτων σε κυκλοῦσι σ|ίφη·
Οὐκ ἦν γὰρ εἰκὸς οὐδαμοῦ σε ζῆν μόνον
Τὸν δεύτερον νοῦν τὸν προφήτην [5] τὸν μέγαν.

CXLII. Εἰς τὸν αὐτόν [6].

Ὡς ἐξ ἐρήμου τὸν προφήτην τὸν μέγαν
Ἔγραψεν ἰσχνὸν εὐφυῶς ὁ τεχνίτης·
Πλὴν εἴπερ ἰσχὺν εἶχεν ἐκ τῶν ἀκρίδων,
Φωνὴ λόγου σιγῶσα πῶς ἂν εὑρέθη;

[1] Cod. Paris. fol. 272, v°: Εἰς τὸν ἅγ. Ἰ. τὸν τῆς Κλ.

[2] Cf. cod. Par. CXXXIX, 13.

[3] Cod. Par. 172 v°. De Joanne Calybita Fabric. *Bibl. gr.* t. XI, p. 642.

[4] Cod. Par. 172 v°: Ἰδίως εἰς τ. τ. Πρ.

[5] τοῦ προφήτου cod. Esc.

[6] Εἰς εἰκόνα τοῦ τιμίου Προδρόμου cod. Paris. 174 r°. Εἰς τὸν Πρόδρομον cod. M. fol. 96.

Ακαδημία Αθηνών / Academy of Athens

CXLIII. Εἰς τὸν αὐτὸν ἐγλυμμένον εἰς λίθον[1].

Ἡ σὴ κεφαλὴ κἂν ἀπετμήθη πάλαι,
Τάχ' ἂν πάλιν ἤλεγχεν Ἡρώδην, μάκαρ,
Εἰ μή τις αὐτὴν ἐξεπέτρωσε ξέσις[2].
Πλὴν ἐκ λίθου νάματα θαυμάτων πίνω.

CXLIV. Εἰς τὸν προφήτην Ζαχαρίαν[3].

Ἔτι σιωπᾷς ὁ σπορεὺς τοῦ Προδρόμου.
Καὶ πῶς ὁ τεχθεὶς τὴν σιωπὴν οὐ λύει;
* Ναί, φησίν, οὐ χρὴ θαυματουργεῖν[4] τοὺς τύπους·
Τῆς γὰρ νέας χάριτος αὐτὸς προτρέχει.

CXLV. Εἰς τὴν ἀποτομήν[5].

Τμηθεὶς κεφαλὴν τὴν σιγήν, μάκαρ, σλέγεις·
Χρισλὸς γὰρ αὐτὸς ἀνθυπεσλήριξέ[6] σε.
Νῦν γοῦν δι' ἡμᾶς τῷ θεῷ κάμψον γόνυ,
Τεμεῖν δυσωπῶν ἀκλινεῖς ἐχθρῶν κάρας[7].

CXLVI. Εἰς τὴν αὐτήν[8].

Κεκραιπαληκὼς ἐξ ἀποκρύφου μέθης
Ὁ δημιουργὸς τῆς τρυφῆς καὶ τοῦ πότου,
Καὶ τῆς ἐναγοῦς τοῦ Σατὰν ἀπλησλίας,

[1] Εἰς ἐγλυμμένην τὴν ἀποτομήν cod. Par. 174 v°. Fort. ἐγγεγλ.

[2] Cod. Esc. ζέσις. Mox νάματα θαυμάτων compar. cum Anon. ap. Cramer, *An. Par.* t. IV, p. 305 : Χαρίτων νάμασι πληθομένη.

[3] Εἰς τὸ γενέσιον cod. Par. 174 v°.

[4] Christoph. Patric. cod. Par. 1578, p. 443 : Κύρῳ συναθλῶν Ἰωάννης πρὸς ξίφος Συνθαυματουργεῖ καὶ μετὰ ξίφους κύρῳ.

[5] Cod. Par. 174 v°.

[6] ἀνθυπεσλήριζε cod. Par.

[7] κράτας cod. Par.

[8] Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου c. Flor. 259 r°. Εἰσλοαυτό c. Par. 177 r°.

Ακαδημία Αθηνών / Academy of Athens

Ἄγει μὲν εἰς ἄθυρμα τὴν ὀρχησ⸗ρίδα [1],
Ποιεῖ δὲ μισθὸν ϖορνικῶν λυγισμάτων
Τὴν σὴν κεφαλὴν εἰς τομὴν ϖροηγμένην,
Ἣν ὄψον εὐθὺς τῷ Θεῷ σὺ ϖροσφέρεις,
Κρατῆρα κιρνῶν μαρτυρικῶν αἱμάτων,
Σαυτῷ δὲ μισθὸν τὴν τομὴν δίδως, μάκαρ,
Τῶν ἀπὸ γασ⸗ρὸς [2] μητρικῶν σῶν ἁλμάτων·
Οὕτω σὺ Χρισ⸗ὸν δεξιούμενος τρέφεις,
* Εἰς ἀφρόνων ἔλεγχον ἀνδρῶν συσσίτων.

μητρικῆς Kurtz 2, BNJ 4,53

CXLVII. Εἰς τὴν αὐτήν [3].

Ἀνασ⸗ομωθὲν [4] ἐκ [5] φλεβῶν αἷμα ζέον
Λουτὴρ καθαρὸς γίνεται τῷ Προδρόμῳ,
Καὶ τὴν ἁλουτήσασαν ἐκϖλύνει κόμην,
Καὶ τοὺς χύδην ῥέοντας ἱδρῶτας μέσον
Καὶ τὴν ὑπ' αὐτῶν ὀσ⸗ρακωθεῖσαν κόνιν·
Ἄνεισι λοιπὸν εἰς Θεὸν λελουμένος
Τῶν μαρτυρικῶν αἱμάτων τῇ ϖροσχύσει [6],
Καὶ τῶν νοητῶν ἀξιοῦται ϖασ⸗άδων
Ἔρημον ἀφεὶς ὁ Ζαχαρίου τέως.
Σὺ δ', ὦ βαλανεῦ [7] καὶ βραβεῦ καθαρσίων,

[1] Noster, *De anim.* 1939 : Εὐθύς γε ϖηδᾷ καὶ ἐϖάλλεται δίκην Νέου χορευτοῦ ἡ κόρης ὀρχησ⸗ρίδος. Id. *De Eleph.* 208 : Ὀρχησ⸗ρίδος λύγισμα δεικνὺς τὴν βάσιν.

[2] Cod. Esc. $\overline{\mu\rho\varsigma}$. id est μητρός et in marg. γασ⸗ρός.

[3] Εἰσ⸗οαυτό cod. Par. 177 r°.

[4] Corpus Inscript. n° 916; Constant. Manass. vs. 3481; Galen. Cod. Paris. 2286, fol. 57 r° : Ποτὲ μὲν δι' ἀνάβρωσιν, ϖοτὲ δὲ διὰ ῥῆξιν φλεβίου, ἢ δι' ἀνασ⸗όμωσιν κοιλίας. Id. fol. 3 r° : Ἀνεμῶναι ϖᾶσαι δριμείας καὶ ῥυπ⸗ικῆς, ἐπισϖασ⸗ικῆς τε καὶ ἀνασ⸗ομωτικῆς εἰσὶ δυνάμεως.

[5] ἡ φλεβῶν cod. Esc.

[6] ϖροχύσει cod. Escur. Conf. infra CCXXIX, 16.

[7] βασιλεῦ pro βαλανεῦ codex Escur. De hac confusione Wernsdorf ad Himerium, p. 733.

Ακαδημία Αθηνών / Academy of Athens

Εἰς ἄλλο πυρὸς ῥεῖθρον αὐτὸς βαπτίσεις[1]
Λελυμένον μένοντα μὴ λελουμένον.

CXLVIII. Εἰς τὴν αὐτήν[2].

Κῆρυξ ἀληθὴς εὑρεθεὶς τοῦ δεσπότου
Βοᾷς σιωπῶν καὶ λαλεῖς ἐσφαγμένος[2]·
Καὶ γὰρ τὸν ἀμνὸν τοῦ Θεοῦ προμηνύεις,
Ὃς ἐστι καὶ πρόβατον ἀνθρώπων χάριν
Σφαγὴν ἀτεχνῶς καρτερῶν κοσμοτρόφον[3].
Σὺ δὲ προτυθεὶς ἐκ τομῆς πρώτης, μάκαρ,
Εἷς ἀντὶ πάντων ἦρκεσας τῷ δεσπότῃ.
Νῦν οὖν ὑπελθὼν τοὺς βαθεῖς τῆς γῆς τόπους,
Τὸν ζωτικὸν κήρυττε τοῖς νεκροῖς λόγον·
Ἴσως κἀκείνους, κἂν σιγῶσιν ἐν τάφοις,
Δείξεις λαλοῦντας ἐκ πνοῆς παλιμβίους[4],
Ὦ θῦμα σιγῶν καὶ νεκροῖς λαλοῦν ξένα.

CXLIX. Εἰς τὴν αὐτήν[5].

Ἔρημε γῆ, σλάλαξον[6] ὄμβρους δακρύων,
Εἴ τις παρὰ σοὶ καὶ λιβὰς θρήνων μόλις[7],
Καὶ μυσλικὴ δύναμις αἰσθητηρίων·
Παρῆλθε καὶ γὰρ ὁ γλυκύς σου νυμφίος,
Τμηθεὶς κεφαλήν. Ἀλλά τίς σε δακρύσει,

[1] Cod. βαπτίσει.

[2] Εἰσλοαυτό cod. Par. 177 v°. Vs. 2 cod. Esc. ἐσφραγισμένος.

[3] Cod. Paris. LIX, 49 : Κοσμοτρόφου χάριτος. Chrysippus Hierosol. *In S. Jo. Bapt.* cod. Paris. 513, fol. 106 v° : Ὡς ἄμωμος μετὰ τοῦ ἀχράντου, ὡς ἐγκρατὴς μετὰ τοῦ κοσμοτρόφου.

[4] Codex παλινβίους. Conf. cod. Paris. V, 1.

[5] Εἰσλοαυτό cod. Par. 178 r°.

[6] Nicephor. Cpolit. *Interpret. somn.* p. 10 : Καὶ δάκρυα σλέναξον ἐκ τῶν ὀμμάτων. Fort. σλάλαξον. Conf. infra CCXXIII, 18.

[7] Fortasse βόσις.

Ακαδημία Αθηνών / Academy of Athens

Φανέντος ἐκ σοῦ τοῖς βροτοῖς τοῦ Προδρόμου;
Τὸν [1] πρόξενον γὰρ τῶν καλῶν δίδως χάριν,
Ὥσλε πρόδηλόν ἐσλιν ἐκ τῶν πραγμάτων
Ὡς ἐγγυᾶται μυσλικῶν λύσιν πόνων
Ὁ δεσποτικὸς οὗτος ἀξινηΦόρος [2].

CL. Εἰς τὴν αὐτήν [3].

Τὴν προδρομικὴν [4] τοῦ Θεοῦ σε λυχνίαν
Ὁ τοῦ σκότους τύραννος οὐ Φέρων βλέπειν,
Ὡς νυκτερινὸς τῶν Σατὰν ἔργων Φίλος,
* Τῆς σῆς κεΦαλῆς τὴν τομὴν ἐπιτρέπει
Τοῖς μυσλαγωγοῖς τῆς κακῆς εὐορκίας,
Ἀλλ' αὐτὸς ἐξέλαμψας εἰς μεῖζον σέλας
Καὶ μέχρι τῆς γῆς τῶν μυχῶν τῶν ἐσχάτων.
Εὗρες γὰρ ὑπέκκαυμα τὴν Φλόγα τρέΦον [5]
Τῶν μαρτυρικῶν αἱμάτων [6] σου τὸ σλέαρ,
Καὶ τὸν μὲν ἐξάγισλον Ἡρώδην Φλέγεις
Τοῖς ἐμπύροις ἄνθραξι τῆς παῤῥησίας·
Αὐτοῖς δὲ νεκροῖς μυσλικὸν Φῶς δεικνύεις.

CLI. Εἰς εἰκόνα τοῦ Προδρόμου [7].

Ἐκ πέτρας ἀδρὸς ὁ Ζαχαρίου σλάχυς·
Χρισλὸς γὰρ ἦν ἡ πέτρα· καὶ μὴ Θαυμάσῃς·
Πλὴν τοῦτο καινὸν, εἴπερ εἷς ὢν [8] ὁ σλάχυς
ΤρυΦὴ, Θεατὰ, γίνεται τοῖς ἐνθάδε.

[1] Fort. τὴν πρόξενον.

[2] Hac voce carent lexica. Πελεκηφόρος ap. German. Cpol. cod. Coisl. 278, fol. 148 v°.

[3] Al. Εἰς τὴν ἀποτομὴν τοῦ τιμίου Προδρόμου. Id. cod. Par. 176 v°, sine τιμίου.

[4] Cf. supra CXXXII, 3.

[5] Al. τρέφων. Cf. cod. Flor. CLXI, 8.

[6] Al. καμάτων.

[7] Al. Εἰς εἰκ. τοῦ τιμίου Προδρόμου εἰς τὴν πέτραν.

[8] Al. αὐτός et in m. ὤν.

Ακαδημία Αθηνών / Academy of Athens

CLII. Εἰς τὴν αὐτὴν εἰκόνα.

Εἴ σου κατεῖδες τὸν σροφήτην, ζωγράφε,
Ἔδειξας ἂν μάλισ᾽α λεπτὸν ἐνθάδε·
Νῦν δὲ σκιὰν ἔγραψας εἰς σάχος χρόας,
Θρέψας τροφῆς ἄγευσ᾽ον ἐξ ὕλης φύσιν.

CLIII. Εἰς τὸν λόγον τῆς συλλήψεως τοῦ Προδρόμου.

Φωνῆς[1] λόγου σύλληψιν, ὦ λόγε, κρότει· Φωνῆς Kurtz, BNJ 4, 53
* Καὶ γὰρ σεαυτὸν σεμνυνεῖς ταύτῃ σλέον.

CLIV. Εἰς ἀναθήματα.

Εἰς[2] εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου κοσμηθεῖσαν διὰ χρυσαργύρου, ἐχούσης ἐν ταῖς χερσὶν ἐν βρέφους σχήματι τὸν Χριστόν.

Χρυσῆν θεωρῶ τὴν Ἐδὲμ τῆς εἰκόνος,
Ἐν ᾗ τὰ φυτὰ τεχνικῶς ἡρμοσμένα
Δοκοῦσι κυκλοῦν τῆς Ἐδὲμ τὸν ἐργάτην.
Εἰ δ᾽ οὐχὶ καὶ ζέφυρος ἐμπνεῖ τοῖς κλάδοις,
Θαυμασ᾽ὸν οὐδέν· οὐδὲ γὰρ ὅλως δέον
Τούτους κινεῖσθαι καὶ κτυπεῖν τὸν δεσπότην
Ὑποψιθυρίζοντα[3] μυσ᾽ικωτέρως[4],
Ὅπου γε καὶ ῥοῦν ἀργυροῦν οἶμαι βλέπειν
Ἐκ τῆς σρὸς αὐτὸν συσ᾽ολῆς σεπηγμένον.
Μὴ τοῦτον ἰδὼν τὸν Παράδεισον σάλαι
Τὸν νοῦν φυτουργεῖ[5] Σολομὼν τῶν ᾀσμάτων;

[1] Fort. leg. φωνῇ.

[2] Εἰς εἰκόνα τῆς Θεοτόκου, ἔνθα βρέφος καὶ ὁ Χρισ᾽ὸς ἦν cod. Fl. 158.

[3] Codex ὑποψυθιρίζοντα. Eustath. *Opusc.* p. 351, 53 : Οὕτω γὰρ ὑποψιθυρίζει τὸ τῆς φήμης σ᾽όμα.

[4] Joann. Diac. ap. Band. Catal. I, p. 376, v. 206 : Πρόελθε τάφων ὁ Δαυὶδ μυσ᾽ικωτέρως τρέχων. Adverb. κρυφιομυσ᾽ικῶς legitur ap. Eustath. *Spicil. Rom.* t. V, p. 189.

[5] Cf. cod. Flor. CLVII, 20.

Ακαδημία Αθηνών / Academy of Athens

* Νύμφη γὰρ ἥδε[1] καὶ καλὴ καὶ ϖαρθένος
Ἐρῶσα ϑερμῶς[2] τοῦ ϖαρ' αὐτῇ[3] νυμφίου.
Εἴ ϖου δὲ καὶ μέλιτλαν ἀθρῆσαι ϑέλεις,
Ἢ καὶ ϖροφήτην ἐξ ἐρήμου τρυγόνα,
Ἢ μυσλικοὺς τέτλιγας, ἢ κύκνων γένη,
Σκόπει, ϑεατά, τοὺς ϖαρεσλῶτας ϖέριξ,
Οἳ τὰς νοητὰς ὀργανώσαντες λύρας
Περιλαλοῦσι τὴν λεχὼ καὶ τὸ βρέφος.

CLV. Εἰς ἑτέραν εἰκόνα τῆς ϑεοτόκου.

Ἔρευθος ἐνθεὶς ϖαρθενικὸν ταῖς γνάθοις
Ὁ χρωματουργὸς ζωγραφεῖ σε ϖαρθένον·
Σὺ γὰρ τεκοῦσα καὶ φανεῖσα ϖαρθένος
Κἀν τοῖς τύποις ἔμεινας ἁγνὴ ϖαρθένος.

CLVI. Πρὸς τὴν ϑεομήτορα χαρισλήριος[4].

Ὁ σὸς μὲν υἱὸς ϑαυματουργῶν, ϖαρθένε,
Καὶ τῇ λογικῇ ϖρακτικὴν[5] συνεισφέρων[6],
Ἄνικμον ἐψύχωσε χειρὸς ὀσλέον,
Ῥήματος αὐτῷ ζωτικὴν δοὺς ἰκμάδα·
Καὶ γὰρ ἰατρὸς κοσμοσώσλης[7] εὑρέθη,
Προπατορικῆς[8] ἐκτεμὼν χειρὸς ϖάθος.

[1] Al. ἤδη.

[2] Adverbium lexicis addendum. Adde et ϑερμοτέρως ex *Vita S. Blasii*, cod. Par. 1491, fol. 71 r°.

[3] Al. καλῶς ϖαρ' αὐτῆς.

[4] Ἐκ ϖροσώπου τοῦ Ἀτζύμη τοῦ ϖανσεβάσλου κυροῦ Μανουὴλ, ϖρὸς τὴν ϑεομήτορα τὴν Πηγήν cod. Par. 262, r°.

[5] ϖράκτικῇ cod. Esc.

[6] Cf. cod. Flor. CCXI, XXVII, 4.

[7] Infra CLXXII, 14 : Ὁ κοσμοσώσλης οὗτος αὐτίκα τύπος. Pro κοσμόσωσλος leg. κοσμοσώσλης in Thesauro. Anon. cod. Par. 147, 20 v° : Μέλλων ὁ μέγισλος Δαυὶδ καὶ ϑαυμασλὸς ϖροφήτης ϖροκαταγγεῖλαι τοῦ Χρισλοῦ κοσμοσώσλρα ϖάθη.

[8] Theod. Lascar. cod. Par. 1193, 80 r° : Μὴ αἰδεσθεὶς τὸ ϖατρικὸν ϖαράπλωμα τούτου καὶ ἡμῶν ϖροπατορικόν.

Ακαδημία Αθηνών / Academy of Athens

Σὺ δ', ὦ Μαριὰμ, τῆς ἐμῆς ψυχῆς δρόσε[1],
Τῆς σῆς με πηγῆς ταῖς ῥοαῖς ἀναψύχεις,
* Καὶ τὸν πρὶν ἡμίξηρον[2] ἐξ ἁμαρτίας
Χλωροῖς πάλιν, σώτειρα, κοσμεῖς ὀργάνοις,
Καὶ τῶν ἰατρῶν τὴν σοφὴν ψῆφον λύεις
Τῇ πρὸς τὸ λυποῦν μυστικῇ χειρουργίᾳ[3].
Ῥάβδος γὰρ ἐν σοὶ γλυκερὸν θάλος φύει,
Καὶ πῦρ ὑπελθὸν οὐ καταφλέγει βάτον,
Καὶ ῥοῦς διαστὰς, ὡς φυγὰς ὑποστρέφει.
Χειρί σε λοιπὸν ζωγραφῶ σκιαγράφου,
Σμικρᾶς ἀμοιβῆς οὐ καταλλήλου χάριν.
Τείνω δέ σοι τὴν χεῖρα τὴν σεσωσμένην,
Ὁ χθὲς θανατῶν ἄρτι φανεὶς ἀρτίπους·
Ἐμοὶ γὰρ αὐτὴ[4] καὶ ψυχῆς λύσεις πόνους
Παρειμένης πόρρωθεν ἐκ τῶν πρακτέων,
Εὐσπλαγχνίας ἄβυσσε[5] καὶ τερασλίων.
Ὁ σὸς Μανουὴλ ταῦτά φησιν Ἀτζύμης,
Ὃν καὶ σεβαστὸν τὴν τιμὴν σὺ δεικνύεις.

CLVII. Εἰς δεξαμενὴν ὕδατος ἀνατεθεῖσαν[6] τῇ ζωοδόχῳ Πηγῇ[7] παρὰ Ἱλαρίωνος μοναχοῦ.

Τῷ τῶν παθῶν καύσωνι[8] τακεὶς ἐκτόπως,

[1] Cod. Par. LXXIX, 4 : Φοιτᾶν παρὰ σὲ τῆς ψυχῆς μου τὴν δρόσον· Οὐ δύναμαι.

[2] *Vita S. Stephani junioris*, cod. Par. 436, fol. 97 v° : Οὗτος ἡμίξηρος ὢν καὶ χαμαὶ ὅλος ὑπὸ τῆς νόσου συγκεκυφώς.

[3] Cf. cod. Flor. XLIII, 27.

[4] αὐτούς cod. Escur. Recte αὐτή ex corr. cod. Par.

[5] Cf. cod. Vat. XI, 7.

[6] Cod. ἀνατεθεῖσα.

[7] Ἡ Πηγή cœnobium *Peganum* est. De quo cf. Wernsd. ad Philen, p. 54.

[8] Procop. *In Proverb.* Mai, *Class. Auct.* t. IX, p. 94 : Ἀπὸ τοῦ χειμῶνος καὶ τοῦ καύσωνος τῶν ἑκουσίων καὶ ἀκουσίων παθῶν. Cod. Flor. CXV, 5 : Πραγμάτων καύσωνες. Constant. Manass. 16 : Καὶ τὸν τοῦ κόπου καύσωνα καὶ τῆς ταλαιπωρίας.

Ακαδημία Αθηνών / Academy of Athens

* Ὦ ζῶσα πηγὴ τῶν Θεοῦ τερασλίων,
Δεξαμενὴν ὕδατος ὠργάνωσά σοι,
Ὡς ἂν ἐπ' αὐτῇ δεικνυούσῃ τὸν πόθον
Τὸ ζῶν ὕδωρ πίνοιμι τῆς σωτηρίας,
Φυγὼν τὸ πῦρ ἐκεῖνο τῆς τιμωρίας.
Ὁ πλούσιος γὰρ ἐκφοβεῖ με, παρθένε,
Ὃς μάλα διψῶν ἀποτηγανίζεται [1].
Ἱλαρίων σὸς ταῦτά φησι Κανάβης [2],
Οἰκτρὸς μοναχὸς εὐτελὴς, εὔνους δ' ὅμως.

CLVIII. Εἰς εὐαγγέλιον τῆς μονῆς τοῦ κυροῦ Ἰσαὰκ [3] κεκοσμημένον διὰ χρυσαργύρου.

Ἡ κῆπός ἐσλι καὶ τρυφὴ τὸ βιβλίον,
Ἐν ᾧ τὸ φυτὸν τῆς φθορᾶς ἀπεψύγη·
Πιαίνεται γὰρ ἐκ ῥοῆς τετρασλόμου [4],
Ζωῆς ὕδωρ καὶ ξύλον ἐν μέσῳ φέρον,
Δι' ὧν ὁ καρπὸς τῆς ἀρᾶς ἀνετράπη·
Ἡ σχοῖνος ἀνασπῶσα τὴν κάτω Φύσιν,
Ἡ κρηπὶς ἀκλόνητος, ἡ Θεία κλίμαξ,
Δι' ἧς ὁμιλεῖ τοῖς βροτοῖς ὁ δεσπότης,
* Ἡ ψυχοκερδεῖς [5] καὶ Θεόγραφοι [6] πλάκες,
Ἐν αἷς ὁ καινὸς Ἰσραὴλ μὴ γογγύσας

[1] Christophor. Patric. codex Paris. cang. *Constantinopol. Christian.* lib. IV, 1578, p. 431 : Πάτερ Ἀβραὰμ, πέμψον Λάζαρον ἵνα βρέξῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι δεινῶς ἀποτηγανίζομαι. Anon. cod. Par. 2286, fol. 74 v° : Τούτου (ξυλοβάτου) ἀποτηγάνισμα ἀλειφόμενον ἀπόνους τοὺς μασλιζομένους ποιεῖ.

[2] Supra XXIV, 2 : Ἰωάννης Κανάβης.

[3] De Isaacii Monasterio confer. Du- p. 158.

[4] Supra XXXIX, 5 : Ἄρδει δὲ ῥείθροις τὴν Ἐδὲμ τετρασλόμοις.

[5] Cf. cod. Par. XIII, 127.

[6] Supra XXXI, 4 : Εὐαγγελισλὴς γίνεται Θεόγραφος. Germ. Cp. cod. Coisl. 278, fol. 204 r° : Καὶ ὡσὶν ὀρθοῖς ὑποδέχεσθαι τὰς Θεογράφους Φωνάς. Id. fol. 217 v° : Νόμος Θεόγραφος.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐξῆλθεν εἰς γῆν μυσικῆς παγκαρπίας[1],
Ἡ δογμάτων θάλασσα καὶ τερασκίων,
Παραβολικῶς ἐγχεθεῖσα τῇ κτίσει.
Οἱ γὰρ ἁλιεῖς τῶν λογικῶν ἰχθύων
Πλέξαντες ἀμφίβληστρον[2] ἐνθέου πόθου
Χαλῶσιν εἰς τὰ ῥεῖθρα τοῦ κηρύγματος,
Ὅπως ὁ παίζων ἀντιπαίζηται δράκων,
Παρακυβιστῶν[3] εἰς τὸ κῦμα τῆς πλάνης·
Ὡς φάρμακον δὲ συγκραθὲν τῷ τεχνίτῃ,
Τὸ κοινὸν ἀῤῥώστημα τοῦ γένους λύει.
Τοῦτο στεφανοῖ τοὺς χορούς τῶν μαρτύρων
Οἱ τὴν ἑαυτῶν ἐξαμείβοντες φύσιν
Χωροῦσιν εἰς πῦρ, εἰς τροχοὺς ἀποστρόφους,
Εἰς ῥοῦν θαλασσῶν, εἰς τελευταῖα ξίφη·
Στομοῖ γὰρ αὐτοὺς ἡ χάρις τοῦ πνεύματος,
Δι' ὧν τὸν ἐχθρὸν τῶν ψυχῶν καταισχύνει·
Τοῦτο κραταιοῖ τοῖς μοναστὰῖς τὸν βίον,
Καὶ τὴν φύσιν κάμνουσαν εὐθὺς ῥωννύει,
Καὶ θαυματουργοὺς τοὺς νοσοῦντας δεικνύει.
* Ἔχον δὲ καὶ σάλπιγγος ἐνθέου κτύπον
Νεκρὰς ἀτεχνῶς ἐξεγείρει καρδίας.
Τί χρὴ τὰ πολλὰ νῦν κατὰ μέρος λέγειν;
Τοῦτο προελθὸν τοῦ θεοῦ καὶ δεσπότου
Τοὺς οὐρανοὺς κλεισθέντας ὑπήνοιξέ μοι·
Ἔνθα προχωρῶν ἐκ φθορᾶς καὶ σαπρίας
Θεὸς καθαρὸς ἐν μεθέξει γίνομαι.

[1] Jo. Stauracius, *In S. Demetrium*, cod. Coisl. 146, fol. 9 v°: Καὶ παγκαρπίαν ἐκ συνηρεφῶν παραδείσων τῶν Δημητριακῶν τεράτων καρπίσασθε. Vid. quoque cod. Par. CVII, 16. — [2] Cod. Flor. CLXII, 3 : Τὸ γὰρ σὸν ἀμφίβληστρον ἡ τύχη πλέκει. — [3] Vox addenda lexicis.

Ακαδημία Αθηνών / Academy of Athens

Ἡ σύνθετος γοῦν τοῦ χρυσαργύρου χάρις
Τὴν σύνθετον δείκνυσι τοῦ λόγου Φύσιν·
Αἱ δ' αὖ τὸν εἱρμὸν ὀργανοῦσαι συνδέσεις
Τὸ σχῆμα καὶ τὸ σφίγμα τῆς ἐκκλησίας.
Τούτων σύνες[1], βέλτισΙε, καὶ σκόπει τρέμων·
Κοινῆς γὰρ ἀθρεῖς ὄργανον σωτηρίας.

CLIX. Εἰς ἕτερον εὐαγγέλιον τῆς μονῆς τοῦ Φιλοκαλᾶ κεκοσμημένον διὰ χρυσαργύρου, ἐκ προσώπου Ἰωαννικίου μοναχοῦ, οἰκονόμου αὐτῆς.

Τὸν μὲν περισπούδασΙον[2] ἀνθρώποις βίον,
Οἷον λίθων ἔλλαμψιν, αὐγὴν μαργάρων,
Χρυσὸν καθαρὸν, ἄργυρον, πέπλων χάριν,
Καὶ πᾶν ὁτιοῦν εὐπρεπὲς Φάσμα, ξένε,
Ἢ πραγμάτων κίνησις, ἢ δρᾶμα Φθόνου,
* Ἢ κλωὴ ἀφανὴς, ἢ τυραννὶς ἁρπάσει·
Τάχα δὲ καὶ σὴς εὐτελὴς ἐφερπύσας
Τὰ τῆς ὕλης εὔκοσμα βοσκηθήσεται·
Θεοῦ δὲ φωνὰς οὐδ' ὁ πᾶς κρύψει χρόνος,
Ἃς Φιλοκάλως ὀργανώσας ἐνθάδε
Τοῦ Φιλοκάλου τῇ μονῇ παρεσχόμην.
Τὸν ἄργυρον γοῦν τῷ χρυσῷ πεπασμένον
Πρὸ τῶν πυλῶν[3] τέθεικα τῶν ἀνακτόρων·
Ἐπίβασις γὰρ τῶν ποδῶν τοῦ δεσπότου
Σαφῶς τὸ παρὸν βιβλίον[4] γινώσκεται·
Ἀμφοῖν[5] δὲ τινὰς ἐσφυρηλατημένας

[1] Cum genitivo, ut apud antiquos. Sic infra CLIX, 25 : Καὶ σοφῶς τούτων ξύνες.

[2] Cf. cod. Flor. CXXXI, 137.

[3] Portas appellare videtur tabulas exteriores, in quibus Evangelii codex compactus erat.

[4] Cod. βυβλίον.

[5] Auro et argento. Deinde fort. δὲ δισσὰς ἐσφυρ.?

Ακαδημία Αθηνών / Academy of Athens

Ἀνεὶς ἑορτὰς [1] ϖροσφυεῖς τῇ ϖυκτίδι
Καὶ τῶν Θεατῶν ἑσλιῶ τὰς καρδίας.
Ὅρα μὲν οὖν τὸ κάλλος ἀπὸ τῆς ὕλης,
Ὅρα δὲ καὶ τὸ σχῆμα τῶν ἔνδον τύπων,
Καὶ τὴν ἐμὴν, ἄνθρωπε, τεκμαίρου σχέσιν,
Καὶ μὴ Θορυβῶν μηδὲ κομπάζων σκόπει.
Χρισλὸς γὰρ αὐτὸς μυσλικόν [2] τινα τρόπον
Ἐνταῦθα ϖαρὼν ἀκροᾶται καὶ βλέπει·
Πλὴν συμβολικῶς καὶ σοφῶς τούτων ξύνες,
Ὡς δέρμα νεκρὸν ζωτικοὺς φέρον λόγους
* Τὴν τοῦ λόγου σάρκωσιν ἐμφαίνει τάχει [3],
Δι' ἧς τὸ νεκρὸν ἐψυχώθη σαρκίον,
Ζωῆς μετασχὸν καὶ φθορᾶς κρεῖσσον μένον [4].
Αἱ δὲ ϖρὸς ὀργάνωσιν ὀκταφυλλίδες [5]
Τὴν ὀγδόην ἄντικρυς ἠνίξαντό σοι,
Πρὸς ἣν ἁπαντᾷς ἐξιὼν τῆς ἑβδόμης·
Ἡ δὲ ϖρὸς εἱρμὸν συμβολικὴ κομψότης,
Ἣ τάσδε συνδεῖ τὰς τομὰς τοῦ βιβλίου,
Τὸν κοσμικὸν σύνδεσμον ἀποδεικνύει.
Τὸ γὰρ διεσλὼς συγκρατεῖ καὶ συνδέει
Τὸ σῶμα Χρισλοῦ τοῦ λαλοῦντος ἐνθάδε.
Τὸ δὲ σλιβαρὸν ἀπὸ τῆς ὕλης βάρος
Μικροῦ τὸ βαρὺ ζωγραφεῖ τῶν δογμάτων,
Κἂν οὐκ ἐπαχθὴς ὁ ζυγὸς τοῦ δεσπότου.

[1] Ut in loco (mihi quidem) desperato audacia utar scribendo : *ἄνοιγε ϖόρπας*, « ouvre les fermoirs et je régale les cœurs de ceux qui voient (le dedans). » Fortasse etiam omissum aliquid post hunc versum.

[2] Unde vox addenda lexicis *μυσλικοτρόπως*, ap. Gregor. Naz. cod. Paris. 1277, fol. 228 r° : Ἕως *ἀμειφθῇ ϖάντα μυσλικοτρόπως*.

[3] Fort. *τάχα*. Infra CLXXII, 26 : Τῆς *ἀρετῆς τὴν ὥραν ἐμφαίνει τάχα*.

[4] *μένει* cod. et supra *μένον*.

[5] Hæc vox lexicis deest.

Γένοιτο λοιπὸν ἀντὶ τῶν ὁρωμένων
Μετεγγραφῆναι[1] τοῖς Θεοῦ με δακτύλοις
Εἰς τὴν καλὴν πυκτίδα τῆς ἀφθαρσίας,
Καὶ τῶν παλαιῶν ἐξαλειφθέντων τύπων,
Τὰς τῆς νέας χάριτος ὀφθῆναι πλάκας,
Μήπως ὁ Σατὰν τοὺς ἐμοὺς τύπους φέρων
Ὠθῇ με πικρῶς πρὸς τὸ πῦρ τὸ παμφάγον.
* Καὶ γὰρ ἀναιδὴς εὑρεθεὶς ὁ θὴρ λύκος,
Ἢ σκύμνος οἰκῶν εἰς ἀπόκρυφον τόπον
Καταπιεῖν ζητεῖ με πεπλανημένον,
Τὸν Ἰωαννίκιον ἐν μονοτρόποις.

CLX. Εἰς εἰκόνα τῆς Θεομήτορος.

Σπορᾶς ἄνευ σύλληψιν, ἄφθορον τόκον,
Υἱὸν πρὸ μητρὸς, καὶ πατρὸς δίχα βρέφος,
Θεὸν χοϊκὸν καὶ πολίνζωον φύσιν[2]
Ἐθαύμασαν μὲν οἱ χοροὶ τῶν ἀγγέλων,
Ἐμοῦ δὲ καὶ νῦν ὁ προκείμενος λόγος.

CLXI. Ἐκ[3] προσώπου τῆς Ῥαουλαίνης τῆς Κασιανῆς, εἰς εἰκόνα τῆς Θεομήτορος.

Τοὺς ἐντόμους[4] λύσασα τῆς Εὔας πόνους,
Καὶ συμπαθῶς τηροῦσα τοὺς ἐμοὺς τόκους,
(Θεὸς γὰρ ἐκ σοῦ πλὴν φυσικῶν ὠδίνων),
Δέχου τὸ σῶσιρον[5] τοῦτο, σεμνὴ παρθένε,
Δι' ἧς ἔχω ζῶν καὶ παρ' ἐλπίδα πνέον
Τὸ παραμικρὸν ἀποθανόν μοι βρέφος.

[1] Cf. cod. Par. cxc, 3.
[2] Supra xxi, 3 : Παλίνζωον βίον.
[3] In cod. Par. fol. 10 v° : Εἰς εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου.
[4] Haud dubie ἐντόνους, intentos, vehementes. Nisi leg. ἐν τόκοις cum cod. Par. ex correct.
[5] Infra clxii, 6.

Ακαδημία Αθηνών / Academy of Athens

Ζωὴ γὰρ εἶ σὺ καὶ τερασ|ίων χύσις [1]
* Τὴν ἰλὺν ἐκπλύνουσα [2] τῆς ἁμαρτίας.
Κομνηνοφυὴς ἐκ Ῥαούλ σοι Μαρία
Κασιανὴ ϖροσεῖπεν ὡς εὔνους τάδε.

CLXII. Εἰς τὴν ὑπέραγνον Θεοτόκον.

Ὕδωρ μὲν εἰ ϖίνοιμι, λαμβάνω κόρην [3].
Τῆς Φύσεως γὰρ συγγενὲς ϖάθος τόδε·
Τῶν σῶν δὲ καλῶν ἐμφορούμενος χύδην,
Ὡς ἀπὸ ϖηγῆς ἐκρεούσης ἀφθόνως [4],
Οὐ λαμβάνω, ϖάναγνε Μαριὰμ, κόρον.
Οὐκοῦν δέχου τὸ σῶσ|ρον [5] ἐκ χρυσαργύρου,
Καὶ τὴν χύσιν [6] ϖήγαζε τῶν τερασ|ίων.
Φησὶ Μανουὴλ Βαρδαλῆς [7] τῇ ϖαρθένῳ.

CLXIII. Χαρισ|ήριος [8] τῇ Θεοτόκῳ ὑπὲρ τῆς τοῦ Συρσ|έφνου γυναικός.

Μόνη γυναικῶν τὸν Θεὸν φέρεις βρέφος·
Μόνη γυναικῶν ϖαρθενεύεις ἐν τόκῳ·
Μόνη γυναικῶν τὸ βροτῶν σώζεις γένος·
Τῆς Φύσεως γὰρ ἐξαμείβεις τοὺς νόμους,
Καὶ τήνδε τὴν γυναῖκα Θανοῦσαν τέως
* Τῷ ϖᾶσαν αὐτῆς ἐκκενωθῆναι φλέβα,

[1] Cod. Esc. *Φύσις*. Conf. CLXII, 7, et cod. Flor. LXVI, 9.

[2] Philostr. p. 302 : *Ὡς τὰ ἄχη τῆς ψυχῆς ἀποβρέχοιτο*. Cod. 1801 in marg. *ἐκπλύνοιτο*. Germ. Cp. cod. Coisl. 278, fol. 109 r° : *Πρὸς ἔκπλυνσιν τῶν μυροδεγμόνων σκευῶν*. Hanc vocem *ἔκπλυνσις* ignorant lexica.

[3] Imo *κόρον*, ut infra v. 5. Id. p. 62, ed. Wernsd. : *Κόρον τρυφῆς λαβοῦσα*. Ephræm. *Chronic.* v. 5569 : *Ὡς μὴ λαβόντες τοῦδε τῶν σαρκῶν κόρον*.

[4] Cod. Par. CXLII, 7.

[5] Supra CLXI, 4 : *Δέχου τὸ σῶσ|ρον τοῦτο*. Cf. quoque CLXVIII, 13.

[6] Cf. supra notam 1.

[7] Cf. cod. Par. CVII.

[8] .....*τῆς*..... *ϖρὸς τὴν Θεοτόκον τὴν Πηγὴν, τοῦ τῆς αἱμορ|ροΐας ϖάθους ἀπαλλαγείσης* cod. Par. fol. 108 v°.

Ακαδημία Αθηνών / Academy of Athens

Μόνη γυναικῶν ἐξανισλάνεις πάλιν,
Καὶ τῶν ἰατρῶν ἐξελέγχεις τὴν κρίσιν [1].
Ἦν γὰρ ὑπεξίκμασεν [2] ἡ νόσος Φύσιν,
Τῇ σῇ δρόσῳ θάλλουσαν αὐτὴ δεικνύεις.
Θεὸς μὲν οὖν ἔπληξε τοὺς Αἰγυπλίους,
Μεταβαλὼν εἰς αἷμα πᾶν ὕδωρ πάλαι·
Τῆς σῆς δὲ πηγῆς, Μαριὰμ, τὸ ζῶν [3] ὕδωρ
Αἵματος ἰσχὺν προσβαλὸν [4] τῷ λειψάνῳ
Σωτηρίαν ἤνεγκεν ἐξ ἀντισλρόφου.
Καὶ γὰρ καθαιρεῖ τὰς νομὰς [5] τῶν τραυμάτων,
Καὶ τῶν ὀδυνῶν τὴν πυρὰν καταψύχει,
Κἂν ὑδεριᾷ δυσπαθῶς [6] τὸ σαρκίον,
Τὸ τοῦ πάθους οἴδημα συσλέλλει ζέον·
Κἂν ἰσχνὸν εὕρῃ σῶμα καὶ μόλις πνέον,
Εἰς θρύψιν αὐτὸ καὶ χλιδὴν εὔχρουν τρέπει.
Τοιαῦτά σοι τὰ δῶρα, σεμνὴ παρθένε,
Πρὸς τὴν γυναῖκα τήνδε τὴν σὴν ἱκέτιν [7],
Ἣν καὶ ψυχικῆς ἐξανασλήσαις νόσου,
Τὸ ζῶν [8] ὕδωρ [9] χέασα τῆς ἀφθαρσίας.

CLXIV. Εἰς τὴν ὑπέραγνον Θεοτόκον ἀπὸ προσώπου τῆς πρωτοσλρατορίσσης.

Εἰς τί μόνη, πάναγνε, παρθένος κύεις,

[1] Cf. infra CLXVIII, 10.

[2] Vox addenda lexicis.

[3] τὸ σὸν ὕδωρ cod. Esc.

[4] ἐμβαλόν codex Paris. προσβαλὸν cod. Esc.

[5] Cod. Fl. XLIII, 23 : Γοργῶς ἀναιροῦν τὰς νομὰς τῶν τραυμάτων. Codex Par. XIV, 18 : Ἐναπομάτῃ δρασλικῶς καὶ συλλέγεις Ἁπάσας ἁπλῶς τὰς νομὰς τῶν τραυμάτων. Eadem metaphora restituenda Pisid. *Hexaem.* 416 : Ἄλλων ἐχόντων τὴν τομὴν τῶν τραυμάτων. Pro τομήν leg. νομήν cum codd. Id. *De vanit.* 250 : Ἡ νομὴ τοῦ πάθους.

[6] Cf. infra CCVI, 11.

[7] οἰκέτιν cod. Esc.

[8] τὸ ζῶον cod. Esc.

[9] Cod. Par. IX, 93 : Ζωῆς ὕδωρ.

Ακαδημία Αθηνών / Academy of Athens

Τηρεῖς δὲ σαυτὴν καὶ τεκοῦσα ϖαρθένον;
Ἢ τοῦτο ϖάντως, ὡς τὸ ϖᾶν σώσῃς γένος
Ζωῇ φθορὰν λύσασα καὶ τόκῳ λύπην.
Εἰ γοῦν τὸ σώζειν ἔργον[1] ἐσlί σοι μέγα,
Καὶ ταῦτα τὴν σύμπασαν ἀνθρώπων Φύσιν,
Πῶς οὐ μόνην σώσεις με τὴν σὴν ἐξόχως,
Ἣν ἀπὸ γασlρὸς μητρικῆς δούλην ἄγεις;
Ἐν σοὶ γὰρ αὐτὴν[2] καὶ ψυχὴν καὶ σαρκίον,
Καὶ ϖᾶν ὅ τι χρήσιμον ἐν βίῳ φέρω.
Καὶ σὺ μόνη σκέποις με σὺν τῷ συζύγῳ[3],
Τιθεῖσα καλὰς τῆς ψυχῆς τὰς ἐλπίδας·
Ὁ τύπος εἰκὼν τοῦ ϖερὶ σέ μου ϖόθου.
Λοιπὸν σιωπῶ, τοῦτο γὰρ ϖρέπον τύποις.
Ἡ ϖρωτοσlρατόρισσα ταῦτα Μαρία[4]
Πρὸς τὴν Μαριὰμ τὴν κεχαριτωμένην.

* CLXV. Ἕτεροι ἐξ αὐτῆς[5] εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ἐχρῆν μὲν ἡμᾶς ἐξ ὑλῶν ὑπερτίμων
Τὸν σὸν, Μαριὰμ, ζωγραφεῖν Θεῖον τύπον.
Τοὺς γὰρ τύπους λύσασα τοῦ ϖάλαι νόμου,
Καὶ τὰς ἀμυδρὰς καὶ σκιώδεις ἐμφάσεις,
Ὃ φασι γυμνὴν ἀντιδίδως τὴν χάριν.
Ἀλλ' ἡ νοητὴ τῆς ψυχῆς σου φαιδρότης
Ὑλῶν ὁρατῶν ἐκνικᾷ ϖᾶσαν χάριν.
Πλὴν εἴπερ ἐξῆν ζωγραφεῖν κατὰ μέλος[6],
Καὶ τὰς ϖρὸς ἡμᾶς δωρεὰς σὰς ἐνθάδε,

[1] Phryn. ap. Athen. IV, p. 165 B : Ἔσlιν δ' αὐτούς γε φυλάτlεσθαι τῶν νῦν χαλεπώτατον ἔργον.

[2] Leg. αὐτή, id est ἐγώ.

[3] Cf. infra CLXV, 24.

[4] Fort. Maria Comnena, filia Nicephori Despotæ ex Maria prima conjuge. Cf. Ducang. *Famil. Byz.* p. 210.

[5] Leg. ἐκ τῆς αὐτῆς. Cod. Vat. 155 r°.

[6] Pro ἐμμελῶς. Nisi leg. κατὰ μέρος.

Ακαδημία Αθηνών / Academy of Athens

Χάριν ἂν εἶχον ταῖς γραφαῖς καὶ τοῖς τύποις.
Νυνὶ δὲ νικᾷ καὶ τὸ τῆς τέχνης μέτρον
Ἡ τῶν ἀγαθῶν ἄφθονος χορηγία·
Σὺ γάρ με ποιεῖς δαψιλεῖ πλούτῳ βρύειν,
Ἀνδρί τε συνδεῖς εὐγενεῖ καὶ κοσμίῳ
Πρὸς τῇ σταθερᾷ τῶν φρενῶν εὐταξίᾳ,
Καὶ τεκνοποιεῖν εὐλογεῖς μοι τὸν γάμον,
Οἷς οἶδας αὐτὴ σὺν θεῷ πάντως τρόποις.
* Ἐγὼ δέ σοι δίδωμι, σεμνὴ παρθένε,
Σῶμα, ψυχήν, ὕπαρξιν, αἴσθησιν, λόγον,
Καὶ πᾶν ὅπερ σύνεσταν ἢ πρόσεστί μοι.
Σὲ γὰρ παρηγόρημα καρδίας ἔχω,
Καὶ πάσας ἐν σοὶ τῆς ψυχῆς τὰς ἐλπίδας
Ἔχω κινοῦσα κατὰ πάντα τὸν βίον.
Σὺ γοῦν μόνη σκέποις[1] με σὺν τῷ συζύγῳ,
Σὺ καὶ συνάπλοις εἰς Ἐδὲμ θείους τόπους.
Ἡ πρωτοστρατόρισσα ταῦτα Μαρία
Κομνηνοφυὴς τῇ κεχαριτωμένῃ.

CLXVI. Εἰς[2] τὴν Θεοτόκον ὡς ἀπὸ τοῦ Μουζάλωνος[3].

Ἐκ σπαργάνων μὲν ἔσχον, ἁγνὴ, σὲ σκέπειν[4]
Τῆς μητρὸς αὐτόθεν με παραπεμψάσης·
Ἀφ' οὗ δὲ καιροῦ καὶ λογισμῶν ἡψάμην,
Ἐμαυτὸν αὐτὸς δῶρον εἰσήνεγκά σοι,
Κἀντεῦθεν ἡ σὴ παντοδαπὴ χρηστότης
Ἐς δεῦρο πολλῶν ἀξιοῖ με θαυμάτων.

[1] Codex σκέπεις et supra σκέποις. Conf. supra CLXIV, 11.

[2] Cod. Flor. fol. 160 r° cum hoc titulo : Τῇ Θεομήτορι.

[3] Theodorus Muzalon, logotheta generalis, de quo Theod. Hyrtac. *Not. des ms.* t. VI, p. 35. Cf. Pachym. I, p. 495.

[4] Leg. σε σκέπην, tutelam.

Ακαδημία Αθηνών / Academy of Athens

* Τὰ γὰρ ἀτερπῆ τῆς ἐμῆς ψυχῆς ϖάθη
Πηγῆς νοηταῖς ἐμβολαῖς ἀποπλύνεις [1].
Νόσων δὲ ϖανσώτειρα [2] συμπνίγεις δέος,
Φρουροῦσα τῆς σῆς δεξιᾶς με τῷ κράτει.
Τίς οὖν ἀμοιβὴ καὶ ϖαρ' ἡμῶν ἀρκέσει
Οὐκ ἔσ/ιν εἰπεῖν, ἀλλὰ σὺ ϖάλιν σκέπε,
Καὶ ϖροῖκα ταῖς σαῖς δωρεαῖς ϖλούτιζέ με.
Θεόδωρός σοι ταῦτά φησι Μουζάλων.

— CLXVII. Εἰς [3] εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου.

Ἀγνὴ κόρη, ζῇς· εἰ δὲ σιγᾷς, οὐ ξένον·
Τὸ γὰρ σιωπᾶν εὐπρεπὲς ταῖς ϖαρθένοις.
Μᾶλλον δὲ καὶ ϖνεῖς καὶ Θεοῦ λόγον φέρεις,
Κἂν ἡ γραφικὴ τύπον οὐκ οἶδε ϰτύπου.

CLXVIII. Εἰς [4] εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου ἐκ ϖροσώπου τῆς Παλαιολογίνης.

Ἐγὼ ϖρὸ Θηλῆς μητρικῆς καὶ σπαργάνων,
* Ἐγὼ ϖρὸ φωτὸς καὶ ϖνοῆς, ὦ ϖαρθένε,
Τροφόν σε καὶ φῶς καὶ ϖνοὴν ἔσχον μόνην,
Καὶ ϖροσ/άτιν ἄγρυπνον εἰς [5] τὸν δεσπότην.
Ἡ μὲν γὰρ εὐπαθής τε καὶ ῥευσ/ὴ Φύσις
Συχνὰς ἐμοὶ ϖροΰθηκεν εὐθὺς τὰς νόσους,
Ὡς καὶ Θανατᾶν καὶ τελευτᾶν ἔσθ' ὅτε·
Σὺ δὲ ψυχὴν εὔρωσ/ον ἠγγυωμένη,

[1] Cod. Flor. *νοητῆς ἐμβ. ἀποπλύνει.*

[2] Hac voce augenda lexica quæ tantum masculinam afferunt formam *ϖανσώτηρ*, unde *ϖανσωτήριος*, omnibus salutifer. *Vita S. Gregor. episc. Ripsim.* n° 153 : Τὸ *ϖανσωτήριον ὄνομα τοῦ κυρίου*. Quæ vox et ipsa addenda lexicis.

[3] Εἰς *ἔντεχνον εἰκόνα τῆς Θεομήτορος* cod. Paris. 171 r°. Εἰς *εἰκόνα τῆς Θεομήτορος* codex Flor. 28. Fabric. VIII, p. 618.

[4] Εἰς *εἰκόνα κοσμηθεῖσαν τῆς Θεομήτορος* cod. Par. 73 v°.

[5] *ϖρὸς* et supra *εἰς* cod. Esc.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸν σωματικὸν ἀνελάμβανες τόνον [1],
Τὰς τῶν ἰατρῶν ἐξελέγχουσα κρίσεις [2].
Ἔτι δὲ καὶ νῦν τοὺς ἐμοὺς λύεις πόνους,
Τῶν θαυμάτων κιρνῶσα τὰς ἀντιδότους.
Οὐκοῦν δέχου τὸ σῶσιρον [3] ἐκ χρυσαργύρου,
Δέχου δὲ καὶ τὸν ἔνδον ἀῤῥήτως πόθον·
Οἶδας γὰρ ὡς ἔγωγε σὴν δήπου χάριν,
Ἀφεῖσα τὸν πρὶν τῆς κενῆς δόξης τύφον,
Ὡς εὐτελὲς τὸ ῥάκος ἠμφιασάμην,
Ἄνανδρος εἰς σύζευξιν εὐελπισίας.
Ἐξ Εὐλογίας ταῦτα σεμνή σοι κόρη
Κομνηνοφυοῦς τῆς Παλαιολογίνης,
* Στρατοπεδάρχου τοῦ μεγάλου Φιλτάτης,
Ἀδελφιδῆς ἄνακτος εὐσεβεσιάτου.

CLXIX. Εἰς [4] ναὸν τοῦ μεγάλου Νικολάου [5].

Ἂν ἦν [6] δυνατὸν ἐξ ὑπερτίμων [7] λίθων
Οἴκου προσευχῆς ὀργανοῦσθαί σοι κτίσιν,
Τότ' ἂν ἔφην ἔγωγε μηδὲν εἰσφέρειν,
Ἀνθ' ὧν περ ἡμᾶς ἀξιοῖς χαρισμάτων,
Ὦ Μυρέων πρόεδρε, κοινὲ προσιάτα·
Ἐπεὶ δὲ κοινῇ δεξιοῦμαί σε κτίσει,
Πρὸ τῆς ὕλης τὸ φίλτρον ἡδέως δέχου,

[1] τόκον cod. Esc.

[2] Supra CLXIII, 8 : Καὶ τῶν ἰατρῶν ἐξελέγχεις τὴν κρίσιν.

[3] Cf. supra CLXII, 6.

[4] Cod. Par. fol. 110 v° : Εἰς ναὸν ἀνεγερθέντα τῷ μεγάλῳ Νικολάῳ.

[5] De S. Nicolai ædibus cf. Ducang. *Constant. Christ.* IV, p. 130.

[6] Cod. Esc. male Ἂ νῦν.

[7] Supra LI, 1 : Τῶν ὑπερτίμων λόγων. Eustath. *Opusc.* p. 175, 32 : Καὶ πανταχοῦ δὲ γῆς ὑπέρτιμος. German. Cp. Coisl. 278, fol. 143 v° : Ὄντως ἐξηυγενιζόμενος εἶ καὶ ὑπέρτιμος καὶ τὸ ὅλον εἰπεῖν ἔνθεος. Theodor. Studit. cod. Par. 891, fol. 247 v°.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τὰς ἀμοιβὰς δαψιλεστέρας δίδου·
Διδάσκαλον γὰρ εὐτυχεῖς τὸν δεσπότην,
Ὃς [1] λαμβάνει καὶ μῦρα πορνικὸν φόρον,
Χήρας τε λεπτὰ, καὶ δορᾶς αἰγῶν τρίχας,
Μετρῶν τὰ μικρὰ ταῖς λαβαῖς πρὸς τὸν πόθον·
Πλὴν ἀλλ' ὁ ναὸς οὑτοσὶ γένοιτό μοι
Σκέπη ψυχικὴ, σωστικὸν βάθρον βίου·
Παθῶν ἐλατὴρ, μυστικῆς δόξης φύλαξ,
Ἐν συμφορᾷ κίνησις, ἐν τέρψει στάσις,
* Σῶστρον [2] γυναικὶ [3], κόσμος αὐτοῖς φιλτάτοις.
Εἶτα κιβωτὸς πρὸς τὸν ὅρμον τὸν μέγαν
Ἐκ τοῦδε τοῦ πλοῦ τῆς ῥοῆς [4] τῶν πραγμάτων,
Πᾶσι δὲ κοινὸν φάρμακον σωτηρίας
Ἐκ τοῦ Γαληνοῦ τῶν ψυχῶν ἐπιστάτου,
Καὶ θαυμάτων πέλαγος [5] ἀφθόνως ῥέον.
Οὕτω σεβαστὸς ὁ Κλιβανάρης ἔφη,
Τοῦτον τὸν οἶκον τῷ θεῷ πηξάμενος.

CLXX. Εἰς τὸν Πρόδρομον [6].

Πολλῶν ἀγαθῶν τοῖς ποθοῦσιν ἐργάτην
Ψηφὶς σε λεπτὴ συντεθεῖσα δεικνύει.
Δεῖ γάρ σε νικᾶν καὶ τὸ τῆς τέχνης μέτρον
Ἐν τοῖς πρὸς ἡμᾶς σωστικοῖς τερατείοις.
Εἴπως δ' ἐνῆν τάχα σε καὶ κρείττω γράφειν,
Οὐκ ἦν ἂν ὀκνεῖν τὴν γραφήν σου τὴν ξένην,
Ἀνδρὸς δὲ παντὸς εὑρεθεὶς σὺ βελτίων,

[1] Hi duo versus 10 et 11 infra CCLXXXIV, 5.
[2] Cod. Esc. σώστρου.
[3] Cod. Esc. γυναικός.
[4] Cf. cod. Flor. LXXIX, 2.
[5] Cf. cod. Par. XXXIII, 10.
[6] Cod. Mon. fol. 138, qui addit ἐκ προσώπου τοῦ πρωτοστράτορος.

Ακαδημία Αθηνών / Academy of Athens

Ἰωάννη, κἀνταῦθα τὸ πλέον φέρεις.
Οὐκοῦν ἐπὶ νοῦν ζωγραφῶ σε τὸν μέγαν,
Τὰ τοῦ πόθου χρώματα κιρνῶν ἐν βίῳ.
Καὶ σὺ δὲ φωνὴ τοῦ πρὸς ὃν βλέπεις λόγου,
* Φθέγγου πρὸς αὐτὸν κἂν σιγᾷς ἐν τοῖς τύποις,
Καὶ σῶζε καὶ φρούρει με τὸν σὸν οἰκέτην,
Καὶ ζῶντα νυνὶ καὶ μὴν [1] πότμον πάλιν.
Δοῦκας ὁ Γλαβᾶς ταῦτά σοι πρωτοστράτωρ
Ὁ Μιχαὴλ εἴρηκε τῷ Ζαχαρίου [2].

CLXXI. Εἰς τοὺς ἁγίους Θεοδώρους.

Ὡπλισμένους ἔγραψα τοὺς ὑπερμάχους,
Ὡς ἂν [3] ὁ Σατὰν συσταλεὶς νῶτα στρέφῃ,
Καὶ μὴ καθ' ἡμῶν αὐθαδῶς ἐπιτρέχῃ·
Οὐδ' Ἡρακλῆν [4] γάρ φασιν ἀρκεῖν πρὸς δύο,
Καὶ ταῦτα Θερμῆς [5] καὶ βολῆς ὑπερτέρους·
Ἐγὼ δὲ καὶ σφῶν τὴν καλὴν κλῆσιν φέρων,
Γέγηθα καὶ πέποιθα πρὸς πᾶσαν μάχην.
Δοκῶ γὰρ αὐτοὺς πανταχοῦ ζῶντας βλέπειν,
Οὓς ὁπλίτας ἔγραψα καὶ τῇ καρδίᾳ·
Πᾶς οὖν ὁρατὸς δυσμενὴς ἢ λανθάνων
Τοὺς γενναίους ῥίψασπις ὡς πῦρ φευγέτω.
Χριστὸς γὰρ αὐτοὺς μυστικῶς [6] ἐνισχύει
Πρὸς τὰς καθ' ἡμῶν συντεταγμένους [7] μάχας.
Ὁ Θεόδωρος ταῦτα Παλαιολόγος [8].

[1] Leg. καὶ μετὰ πότμον.

[2] Cod. M. male Ζαχαρίῳ.

[3] Cod. ὡσάν.

[4] Habetur in Parœmiograph. Conf. Zenob. V, 49, ibique notas.

[5] Leg. aut Θέρμης aut Θερμούς.

[6] *De Plantis*, vs. 54 : Καὶ ῥιζοποιεῖ μυστικῶς τὰς ἐκφύσεις.

[7] Leg. συντεταγμένας vel τοὺς μάχαις. Prius melius.

[8] Fort. Theodorus Comnenus Palæologus, de quo Ducang. *Famil. Byz.* p. 249.

Ακαδημία Αθηνών / Academy of Athens

* CLXXII. Εἰς[1] τίμιον Σταυρὸν εὑρεθέντα εἰς ῥίζαν δαφνίνην ϖαραδόξως· ἐν ᾧ ἦν καὶ αἱματώδης γραμμή.

Τῷ μὲν βασιλεῖ ϖρὸς Θεοῦ Κωνσταντίνῳ
Τὸν[2] σταυρικὸν δείκνυσιν οὐρανὸς τύπον,
Δι' οὗ ϖερ ἐχθροὺς ἐτροποῦτο βαρβάρους
Ὁ γεννάδας ὡς εἶδεν ΕΝ ΤΟΥΤΩ ΝΙΚΑ[3].
Ἐμοὶ δὲ ῥίζα τοῦτον ἐκ γῆς δαφνίνη
Χειρὸς δίχα γραφέντα καὶ τέχνης φέρει,
Τοῦ δυσμενοῦς τὴν ἧτταν ἐγγυωμένη.
Ἐπεὶ γὰρ ἐκ κρηπῖδος[4] εὐελπισίας
Εὐθὺς ἀπ' ἀρχῆς τὴν μονὴν ἐπηξάμην,
Καὶ γῆς τιναγμοῖς τὸν νεὼν τεθραυσμένον
Εἰς τοῦτο κάλλους αὖθις ἀνεδειξάμην[5],
Ἐγλιχόμην ἰδεῖν τι καινὸν ἐνθάδε,
Καὶ γίνεταί μοι τοῦ σκοποῦ τεκμήριον
Ὁ κοσμοσώστης[6] οὗτος αὐτίκα τύπος,
Ὃν ϖρὶν τὸ φυτὸν εἰς τομὴν ἐλθεῖν, ξένε,
Φωτὸς ϖεριήστραψε[7] ϖολλάκις χύσις.
Δηλοῦν γὰρ ἐχρῆν ταῖς Θεοῦ μοναστρίαις
Τὴν τῶν μελῶν σταύρωσιν, ὡς Παῦλος[8] λέγει.
* Καὶ τοῖς ἀφυπνώσασι νεκροῖς ἐνθάδε
Ζωὴν ϖοθεινὴν καὶ φθορᾶς ἀλλοτρίαν
Ἐν τῷ ϖαθητῷ καὶ ϖαθῶν ὑπερτέρῳ.
Πλὴν ἴδε καὶ τὸ χρῶμα τοῦ θείου τύπου,
Καὶ τὴν ἐπ' αὐτῆς τῆς βαφῆς γραμμὴν μέσην

[1] Ὡς ἐκ ϖροσώπου τῆς μεγάλης Δομεστικίσσης εἰς τὸν εὑρεθέντα σταυρὸν ἐν τῇ ῥίζῃ τῆς δάφνης cod. Par. 103 v°.
[2] Cod. Esc. τὸ σταυρικὸν δεικνυσι οὐρ.
[3] Cod. Esc. νίμα.
[4] Cod. Par. εἰς κρηπίδας.
[5] ἀνεδειμάμην cod. Par.
[6] Cf. supra CLVI, 5.
[7] Cod. Par. ϖεριήστραπτε.
[8] Coloss. III, 5.

Ακαδημία Αθηνών / Academy of Athens

Τῶν δεσποτικῶν αἱμάτων τὸ σύμβολον.
Ἀειθαλὲς[1] δὲ καὶ τὸ φυτὸν τυγχάνον
Τῆς ἀρετῆς τὴν ὥραν ἐμφαίνει τάχα[2],
Ἧς ψαλμικῶς τὸ φύλλον οὐκ ἀποῤῥέει[3].
Ὦ τύπος ἀδραῖς οὐχ ὑπείξας ἀξίναις
Ὅταν τὸ φυτὸν ἐμφρυγὲν[4] κονισσάλῳ
Παρεῖχεν αὐταῖς τὰς ῥοπὰς ἀπροσκόπους·
Τὸ μὲν γὰρ ἄλλο θᾶττον ἐτμήθη ξύλον,
Οὗτος δὲ πᾶς ἄτμητος εὑρέθη μόνος
Μικροῦ συνισλῶν τῷ θεῷ τὰς παρθένους
Τομῶν λογισμῶν προσβολῆς ἐλευθέρας.
Ὦ σλαυρὸς, ᾧ ζῶ, καὶ κινοῦμαι, καὶ πνέω!
Ὦ ξύλον ἑσλὼς εἰς χρυσῆν κήπου χλόην!
Ὦ δένδρον ἡμῖν γνωσλικοὺς καρποὺς φύον,
* Οἷον παρ' ἡμῖν ὄλβον ἡ κτίσις ἔχει!
Ἡ τοῦ μεγάλου σύζυγος Δομεσλίκου
Κομνηνοφυὴς[5] ἡ Παλαιολογίνα
Ταῦτα[6] κρατοῦντος ἐξαδέλφη καλλίπαις[7].

CLXXIII. Εἰς τὸν θαυματουργοῦντα[8] δάκτυλον τοῦ ἁγίου Κλήμεντος[9], ὃν ἐφανέρωσεν ὁ βασιλεύς.

Ἰεζεκιὴλ γηγενοῦς πατρὸς τέκος,

[1] Theod. Ducas Lascaris, cod. Paris. 3048, fol. 62 v° : Καὶ σμαράγδου λίθου φαινομένης ἀειθαλεσλέρας, ὀσμὴ ἐκ ταύτης ἐξέρχεται ψυχὴν ὄντως ἀρωματίζουσα. Cf. et Strabon. p. 711, et Theod. Metoch. p. 756 A.

[2] Cf. supra CLIX, 28.

[3] Psalm. I, 3.

[4] Cod. Esc. ἐκφρυγέν.

[5] Κομνηνοφυὴς ταῦτα νῦν Μάρθα γράφει cod. Par. Maria Palæologina, alio nomine Martha vocitata, Michaelis imper. soror, nupsit Nicephoro Tarchaniotæ, magno Domestico. De qua conf. Ducang. p. 232.

[6] Hic versus erasus in cod. Par.

[7] Philes ed. Wernsd. p. 326 : Ὁ καλλίπαις ἔρημος. Vid. Boll. ad 13 jun. p. 672.

[8] Cod. Par. Θαυματουργόν.

[9] Κλήμεντος τοῦ νέου cod. Paris. 74 v°, in quo sequentia desunt.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ βασιλεὺς καλεῖ σε τῆς Ῥωμαΐδος,
Εἰς δεύτερον φῶς μυσλικῶς ὑπεξάγων [1].
Καὶ δεῦρο λαθὼν [2] τῆς ταφῆς τὴν ἑσπέραν,
Καὶ λάβε φωνὴν, καὶ προφήτευσον πάλιν [3].
Ἰδοὺ γὰρ ὀσλᾶ νεκρικῶς ἠθροισμένα
Καὶ γυμνὰ καὶ πόῤῥωθεν ἐξικμασμένα [4],
Ζῇ τάχα καὶ πνεῖ, καὶ λαλεῖ γλώτλης δίχα,
Καὶ θαυματουργεῖ καὶ διώκει τὰς νόσους,
Πρὶν σάρκας αὐτοῖς ἐκφυῆναι καὶ φλέβας,
Καὶ νεῦρα πυκνὰ καὶ διάβροχον δέρας,
Καὶ πνεῦμα ληφθὲν πρὸς τὸ πῆξαι τὴν πλάσιν.
Ἡσαΐα, πρόελθε νυκτὸς ὀρθρίσας,
* (Δεῖ γάρ με καὶ σοὶ προσλαλεῖν ἀφ' ἑσλίας)
Καὶ φῶς νέας ἄντικρυς ἡμέρας ἴδε,
Καὶ φράζε παρὼν τὴν θεόῤῥυτον [5] δρόσον,
Ἀφ' ἧς [6] τὰ νεκρὰ ψαλμικῶς ἀναψύχεις·
Ὁ γὰρ βασιλεὺς ἐξ ἀνίκμου δακτύλου
Τὴν ἐσχάτην ἔγερσιν ἡμῶν δεικνύει,
Ὡς ἂν ἔχῃ [7] κράτισλον ἡ κτίσις τέρας,
Ὁσλοῦν πρὸ τῆς σῆς θαυματουργοῦν ἰκμάδος.
Κλήμης [8] γε μὴν ἐκεῖνος, (ἀλλ' ἀκουέτω
Γῆ πᾶσα καὶ θάλασσα, καὶ βροτῶν γένος·
Πλουτεῖ γὰρ αὐτὸν οὐρανοῦ μέγα πλάτος,
Ὃ καλύβη γνώρισμα προσφάτου χρόνου·)

[1] Cod. Par. LXXVII, 1.
[2] Cod. Esc. λαβών.
[3] Ezech. XXXVII, 4.
[4] Hic versus deest in cod. Esc..
[5] Cod. Paris. LXIII, 33 : Θεόῤῥυτον δρόσον ἐνῆκας ὀσλέοις. Cod. Vat. XI, 2 : Θεόῤῥυτον μέλι. S. Ephr. III, p. 544 E : Τῆς ξηρανθείσης μου καρδίας ἡ θεόῤῥυτος ῥανίς. Sever. Alexandr. cod. P. 2544, f. 126 v° : Δεῖ γὰρ ἐκ θεῶν καὶ θεοῤῥύτου αἵματος τὰ πάντα φῦναι κάλλισλα.
[6] Cod. Par. ὑφ' ἧς.
[7] ἔχοι cod. Par.
[8] Cod. Esc. Κλήμεις.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ σῶμα νεκρὸν καὶ πρὸ τοῦ τέλους φέρων,
Χρισῷ τε συζῶν, κατὰ Παῦλον[1] τὸν μέγαν,
Καὶ πάντα φυγὼν κοσμικῆς θήρας βρόχον,
Ὡς ἂν ἐπαρθεὶς οὐρανοῦ μέχρι τρίτου
Φυγὰς ἀτεχνῶς εὑρεθῇ σεσωσμένος.
Ζῇ νῦν μετασὰς, καὶ φθορᾶς κρείττων[2] μένει,
Καὶ θαυματουργεῖ τοῖς παροῦσι λειψάνοις·
Οὐκ ἦν γὰρ εἰκὸς τὴν ἐπίκουρον πλάσιν
* Πρὸς τὰς ὑπὲρ νοῦν τῆς ψυχῆς εὐπραξίας
Εἰς λύσιν[3] ἐλθεῖν φθαρτικῆς ἀπραξίας.
Ὄνυξ μὲν οὖν λέοντος[4] ἐμφαίνει κράτος,
Ὡς ἡ κρίσις δίδωσι τῆς παροιμίας·
Ὅλον δὲ τὸν Κλήμεντα δακτύλου μέρος,
Ὡς ἡ χάρις ἔδειξε τῶν τερασίων,
Δι' οὗ νικηθεὶς ὁ κρατῶν γῆς Αὐσόνων
Ἀνακομίζει[5] συλλεγέντα τὸν μέγαν,
Ὡς ἂν ἴδῃ[6] τὸ χρῆμα καὶ φῶς ἡλίου,
Καὶ πνεῦμα καὶ θάλασσα, καὶ πλοῦς ὁλκάδων,
Καὶ σύμπας αἰθὴρ, καὶ προπέμπουσαι φλόγες.
Καὶ νῦν κιβωτὸν εὐτυχοῦσι λειψάνων
Οἱ τὴν πόλιν οἰκοῦσι τὴν Κωνσταντίνου.
Πλὴν ἀλλὰ τὸν Φίλιππον Ἑλλήνων λόγος,
Θήκας ἀναπλύσσοντα[7] κοινῶν λειψάνων
Ὁρᾶν ἐπ' αὐτὰς καὶ σκοπεῖσθαι τὴν φύσιν,
Καὶ τὸν δυσαπάλλακτον[8] ἀμβλύνειν τύφον·

[1] Rom. VI, 8.
[2] Cod. Par. *κρείσσων*.
[3] Cod. Esc. *εἰς λήθην*.
[4] De proverbio, Ἐξ *ὀνύχων τὸν λέοντα*, confer. Erasmus.
[5] Cod. Esc. *ἀνακαινίζει*.
[6] *ἴδοι* cod. Par.
[7] Cod. Esc. *ἀναπλήσσοντα*.
[8] Cod. Esc. *δυσαπάλακτον*. Confer. Eustrat. *In Ethic.* fol. 38 v°.

Ὁ δὲ κραταιὸς οὑτοσὶ σλεφηφόρος,
Ὃς ἐκ θεοῦ τὸ χρίσμα [1] λαβὼν εὑρέθη,
* Παντὸς τύφου πόῤῥωθεν ὀφθεὶς βελτίων,
Ὡς αὐτομαθὴς [2] τῶν δεόντων ἐργάτης,
Τὴν πλουτοποιὸν [3] εὐτυχεῖ ταύτην θίβην,
Ὡς ἂν καθαιρῇ δυσμενεῖς πολυτρόπους,
Καὶ πᾶσαν ὀφρῦν αὐθαδῶς ἐπηρμένην·
Εἴη δὲ καὶ ζῶν, καὶ πλατύνων τὸ κράτος,
Καὶ τὴν κιβωτὸν τῆς ψυχῆς διεξάγων,
Εἰς πραγμάτων ἄπειρον ἀρίστων χύσιν,
Καὶ πάντα καιρὸν εὐμαρίζων ταῖς νίκαις,
Καὶ πᾶσιν ἁπλῶς εὐθυμῶν τοῖς ἐν μέσῳ·
Κατὰ [4] δὲ τὸν μέλλοντα καὶ ζῶντα χρόνον
Κλήμεντι συνὼν τῷ βραβεῖ τῶν λειψάνων
Κἀκεῖ βασιλεὺς καὶ τρυφῆς οἰκῶν τόπους [5].

CLXXIV. Εἰς λείψανον ἐκ ποδὸς τοῦ μεγάλου Παύλου [6].

Ταρσὸς [7] πόλις δίδωσι Παῦλον τῇ κτίσει,
Ἐμοὶ δὲ ταρσὸν τοῦ ποδὸς Παῦλος πάλιν.

CLXXV. Εἰς δάκτυλον τοῦ ἁγίου Θεοδώρου.

Τῷ μαρτυρικῷ, Θεόδωρε, δακτύλῳ
Πρὸς τὰς ὁδοὺς νύτλεις με τῆς σωτηρίας,
Ὡς ἂν δι' αὐτοῦ καὶ θεὸς ζῶντα γράφοι.

[1] Cod. Esc. ἐκ θεοῦ χάρισμα.

[2] Cf. cod. Flor. CXXXI, 127.

[3] Confer. infra CXCI, 41; cod. Paris. XXXIII, 16 et cod. Vat. XVIII, 2. Tarasius Cpol. cod. Coisl. 146, fol. 284 r° : Σὺ τοῦ Ἰὼβ ἡ ἐν πειρασμοῖς ὑπομονητικὴ ἀνακεφαλαίωσις καὶ τῶν ὑπαρχόντων αὐτῷ διπλῆ διάδοσις καὶ πλουτοποιὸς ὕπαρξις.

[4] μετά cod. Par. male.

[5] τρόπον cod. Esc.

[6] Cod. Flor. fol. 218 v° : Εἰς τὸν μέγαν Παῦλον.

[7] Conf. cod. Flor. XXII, 61.

Ακαδημία Αθηνών / Academy of Athens

* CLXXVI. Εἰς τὴν εὕρεσιν τῶν κολλύβων [1].

Λιμαγχονηθεὶς ὁ Φθορεὺς τοῖς κολλύβοις [2]
Πικρῶς θανατᾷ, μὴ θεᾷ ζῶσαν πόλιν
Εἰδωλολατρεῖν ταῖς τροφαῖς ἀναγκάσῃ.

CLXXVII. Εἰς τὴν προσκύνησιν τῶν ἁγίων εἰκόνων [3].

Τοῖς πρωτοτύποις τὴν τιμὴν εἰδὼς νέμειν [4]
Πρόσελθε, πιστὲ, πλὴν σχετικῶς [5] τοῖς τύποις
Τῶν αἱρετικῶν τὰς λαβὰς ἀνατρέπων.

CLXXVIII. Εἰς ναὸν τῆς ὑπεραγίας Θεοτόκου [6].

Σκήνωμα Χριστοῦ τὸν ναὸν τοῦτον δέχου,
Καὶ σῶζέ μοι τὸν οἶκον εἰς πλεῖστον χρόνον
Ἄλυπον, ἁβρὸν, εὐκλεῆ, πεπλησμένον [7].
Δοῦλος σεβαστὸς Μιχαὴλ σὸς Ἀτζύμης
Καὶ τῶν θεμάτων τῆς ἕω Δομέστικος,
Εἴρηκεν αἰτῶν εὐτυχεῖν σου τὴν σκέπην.

CLXXIX. Εἰς [8] τὴν πρωτοϊερακαρίαν [9] Μελάνην ἐπιτάφιον.

Βαβαὶ λίθος τρίπηχυς [10] ὁ βροτῶν βίος
Ὦ καὶ τὰ λαμπρὰ τῆς Μελάνης [11] ἐκρύβη.

[1] Εἰς τὴν τῶν κολλύβων εὕρεσιν cod. Par. fol. 206 v°; κολύβων cod. Esc. Cf. Wernsd. ad Phil. p. 14.

[2] κολύβοις cod. Esc.

[3] Cod. Par. 207 r° : Εἰς τὴν τ. ἁ. εἰκ. πρ.

[4] μένειν cod. Esc.

[5] Theod. Stud. p. 144 D.

[6] Cod. Par. fol. 207 r° : Τοῦ πανσεβάστου πρὸς τὴν Θεομήτορα.

[7] In cod. Par. prius erat πεπλεγμένον.

[8] Ἐπιτύμβιοι cod. Par. fol. 207 r°.

[9] πρωτοϊερακαραίαν cod. Esc. Πρωτοϊερακάριος, *Primus Accipitrariorum*, dignitas palatina, de qua vid. Ducang. *Glossar. med. græc.* s. h. v. Infra CLXXX, 18, legitur πρωθιερακάριος.

[10] Cf. cod. Flor. CXCVIII, 27.

[11] Cf. infra CLXXX, 36.

* CLXXX. Ἕτεροι[1] ἐπιτάφιοι ἑαυτῇ[2], ἐκ προσώπου ταύτης.

Ἐγὼ τὸ μὲν πρὶν εἰς τὸν ἄσιτον βίον
Ὤκνουν ἐμαυτὴν εὐπραγοῦσαν σεμνύνειν·
Οὐκ ἦν γὰρ εἰκὸς εἰς τὸ πῦρ[3] τῶν πραγμάτων
Ἐγχεῖν τὸ θερμὸν τοῦ κενοῦ τύφου σιέαρ.
Νῦν δὲ φθορᾶς ἐνδῦσα καὶ τάφου γνόφον[4],
Τί σεμνὸν ἂν εἴποιμι, καὶ τίνος χάριν;
Νεκρῷ γὰρ οὐδεὶς εὐπρεπὲς πλέκει στέφος·
Ἵνα δὲ πᾶς ἄνθρωπος ἐντεῦθεν μάθῃ
Σκιὰν θεωρῶν μὴ πλοεῖσθαι τὸν βίον,
Τὰ κατ' ἐμαυτὴν ζωγραφῶ[5] δή σοι, ξένε.
Δανείζομαι γὰρ ἀπὸ τῶν ζώντων λόγον,
Μικροῦ πνοῆς δύναμιν ἐγχέαντά μοι.
Πατρίδα μὲν δὴ τὴν καλὴν ἔσχον πόλιν,
Γεννήτορας δὲ τοὺς κατ' αὐτὴν ὀλβίους,
Ἢ τί λέγειν χρὴ Συναδηνοὺς[6] ἐνθάδε,
Σαμψὼν Γαβαλᾶν, ἀλλὰ καὶ Σκουτερίους,
Στρατηγοπούλους[7], Δούκας Ἀγγελωνύμους[8],
Πρωθιερακάριον[9] ὡς ὁμευνέτην

[1] Εἰσλοαυτό cod. Par. fol. 207 v°.

[2] Pro ἑαυτῇ leg. τῇ αὐτῇ.

[3] Cod. Flor. CXXIII, 5 : Ῥιφεὶς εἰς τὸ πῦρ τῶν πραγμάτων.

[4] Cod. Flor. LXIII, 14 : Τὸν τοῦ τέλους ἄφυκτον ὑπέδυ γνόφον. Id. LXXIX, 47 : Τῷ τῆς τελευτῆς ὑποχωροῦσα γνόφῳ. Id. c, 34 : Οὐκ ἂν ὁ παχὺς τῆς φθορᾶς ἤρθη γνόφος. Conf. quoque cod. Par. XIV, 380.

[5] ζωγραφήσω μετρίως cod. Par. ex correct.

[6] In marg. cod. Esc. legitur συναδηνὸς, γαβαλᾶς, σκουτέριος. Celebres fuerunt Theodorus Synadenus et Jo. Gabalas, de quibus Niceph. Gregoras et Jo. Cantacuzenus, passim. Memorantur Γλαβᾶς ὁ Σκουτέριος ap. Cantacuz. t. III, p. 69, et Σκουτέρις Χοῦμνος ap. Pachym. t. II, p. 603, 18.

[7] De Strategopulis vid. Pachym. et Niceph. Gregor. passim.

[8] Niceph. Gregor. p. 318, 21.

[9] Vid. supra ad titulum.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐκ Περσίδος φανέντα Ῥωμαίοις μέγαν [1],
Ὦ Βασιλικός [2] ἦν τάχα τοὐπώνυμον;
Πῶς δ' ἔστιν εἰπεῖν ὡς ἄπαις ἡ καλλίπαις [3];
* Ἔμεινα καρτεροῦσα τὴν ἀτεκνίαν [4],
Καὶ γὰρ ἔωλός ἐστι ταῦτά μοι κτύπος,
Καθάπερ οἱ ϖρὶν ἀπὸ τοῦ ϖλούτου κρότοι.
Ἓν μοι σχεδὸν τὸ κέρδος, οὐδέν τι ϖλέον,
Ἡ τῶν μοναχῶν τῶν ἐμῶν συναυλία [5],
Τὰ δ' ἄλλα νεκρὰ καὶ ϖρὸς οὐδὲν ἠργμένα·
Νυνὶ γὰρ εἰς γῆν τέφρα καὶ κόνις μένω,
Καὶ ῥάκος ἁπλοῦν ἀντὶ τῶν ϖέπλων φέρω,
Καὶ τάφον οἰκῶ, καὶ σκιὰν λίθου στέγω,
Καὶ γλῶσσαν ἣν ϖερ εἶχον ὑγρὰν εἰς λόγους
Ὁ δυσμενὴς θάνατος ἐξέτηξέ μοι.
Ὥστε βλέπων, ἄνθρωπε, τὸν τάφον, σύνες [6]
Καὶ τοῖς ϖαραμένουσι τὸ ϖλεῖστον δίδου.
Κἄν τις ἔροιτο τίνος ὁ δριμὺς τάφος,
Φράσον ϖρὸς αὐτὸν, τῆς Μελάνης τῆς ξένης·
Εὐχὰς δὲ Χριστῷ ϖέμψον ἱλαστηρίους [7],
Ὡς ἂν Ἐδὲμ τύχοιμι τῆς ϖοθουμένης.

CLXXXI. Τῷ ϖρωτοστράτορι τῷ Φιλῇ [8].

Χαρισμάτων ἄστρασιν [9] οὐρανὲ βρύων,

[1] Hic versus deest in cod. Esc.

[2] Cf. Niceph. Greg. p. 413, 24, et Pachym. t. I, p. 129, 16.

[3] Inscriptio metrica ap. Lebas, t. III, p. 282 : Τοὺς ϖολύπαιδας ἀπαίδας.

[4] In cod. Par. prius erat εὐτεκνίαν.

[5] Cf. cod. Flor. XCVI, 19.

[6] σκύες cod. Esc.

[7] Jo. Tzetz. *Ep.* 107, p. 96 : Πρὸς θεὸν ἱλαστήριος ἔντευξις.

[8] Τῷ ἀδελφῷ τοῦ αὐτοκράτορος cod. Par. fol. 208 v°. Conf. Ducang. *Famil. Byz.* p. 254, et Niceph. Gregor. I, p. 263.

[9] Cod. Par. LIX, 16 : Τοῖς ἄστρασι δὲ τῶν χαρισμάτων βρύων.

Ακαδημία Αθηνών / Academy of Athens

Ἤθους μὲν ἀσλραπαῖς με καὶ βρονταῖς[1] λόγων
Θέλγεις ϖρὸ μακροῦ· τὸν δὲ ῥοῦν ἔτι σλέγεις.
* Μὴ μέλλε[2], διψῶ, δρασλικῆς[3] χρῄζω δρόσου.

CLXXXII. Τῷ ϖατριάρχῃ κυρῷ[4] Νίφωνι.

Τὸ τοῦ βίου ϖέλαγος[5], ὦ ζέφυρέ μου,
Τῇ τῶν λυπηρῶν ἐκταράτλει με ζάλῃ·
Ναὶ σπεῦδε, ναὶ κοίμιζε τὸν βαρὺν σάλον
Σοφῶς κυβερνῶν τῆς ψυχῆς μου τὸ σκάφος[6].

CLXXXIII. Τῷ αὐτῷ[7].

Ἥλιέ μου, φάνηθι λαμπρὸς καὶ ζέων,
Καὶ τέρψιν ἡμῖν αἰθριάζουσαν[8] δίδου,
Τὰς τῶν ἀηδῶν ἐκπιέζων ἰκμάδας,
Ὡς ἂν ὁ χειμὼν[9] τῆς ψυχῆς ἀφυβρίσῃ.

CLXXXIV. Τῷ αὐτῷ[10].

Δένδρον φυτευθὲν εἰς Θεόδροσον τόπον[11]
Καὶ καρπὸν εὐπέπαντον[12] ἀρετῶν φέρον,
Τῇ ψυχαγωγῷ ϖαραμυθοῦ με σκέπῃ·
Ἡ γὰρ ζέσις φλέγει με τῆς ἀθυμίας.

[1] Cf. cod. Par. LIX, 18.

[2] μέλε cod. Par.

[3] δρασλικῶς cod. Esc.

[4] κυρῷ Νίφωνι deest in cod. Paris. fol. 208 v°. De Niphone patriarcha Constantinopolitano sub Andronico seniore multa narravit Nic. Gregoras.

[5] Cod. Esc. τῶ τοῦ β. ϖέλ. Cf. cod. Flor. LXXIV, 1, et cod. Par. CLVI, 1.

[6] Idem versus infra, CCXXIX, 2. Cf. cod. Fl. LXXIV, 5, et cod. Par. CLVI, 6.

[7] Cod. Par. fol. 208 v°.

[8] αἰθριάζουσι cod. Par.

[9] Cod. Par. CLXXIII, 3 : Τὸν ϖολὺν χειμῶνα τῆς ἐμῆς ψυχῆς. Cyrill. Alex. ap. Mai, *Bibl. Patr.* t. II, p. 222 : Τὸν χειμῶνα τῆς ψυχῆς αὐτῶν λύει.

[10] Cod. Par. fol. 208 v°.

[11] τρόπον cod. Par. Id. X, 26 : Λειμὼν γὰρ εἶ σὺ καὶ Θεόδροσος τόπος. Cf. quoque LV, 35, et XCV, 8.

[12] Cf. cod. Par. CLXXIII, 6.

Ακαδημία Αθηνών / Academy of Athens

CLXXXV. Τῷ μεγάλῳ στρατοπεδάρχῃ τῷ Ἀγγέλῳ[1].

Φρικτὲ στρατηγὲ μυστικῆς πανοπλίας,
* Τὸ τῶν λόγων εὔθηκτον[2] ἁρπάσας ξίφος
Πλῆξον τὸν ἐχθρὸν τῆς ἐμῆς ψυχῆς πόνον,
Ὡς ἂν φυλαχθῇ τῶν λογισμῶν ἡ πόλις.

CLXXXVI. Τῷ αὐτῷ ἕτεροι[3].

Πάκτωλέ[4] μου πρόελθε καὶ πλούτιζέ με,
Τὸ ψῆγμα τοῦ νοῦ δαψιλῶς[5] ἀναβρύων·
Νείλου δὲ παντὸς ἀφθονώτερος ῥέων
Τὸν τῆς ψυχῆς λίπαινε[6] τῷ ξένῳ στάχυν.

CLXXXVII. Τῷ αὐτῷ[7].

Εὐσπλαγχνίας ἄβυσσε[8] καὶ καλῶν χύσις[9],
Στατῆρά[10] μοι δὸς χαρμονῆς ἐγκαρδίου.
Καὶ γὰρ τὸν ἰχθῦν τῆς ἐμῆς σιγῆς βλέπεις
Νηκτὸν παρὰ σοὶ καὶ σχεδὸν καθειργμένον[11].

CLXXXVIII. Τῷ αὐτῷ[12].

Ψυχῶν ἰατρὲ καὶ παθῶν ἀποκρύφων,
Κέρασον ἡμῖν ἀντιφάρμακον[13] πόνων·

[1] Cod. Par. fol. 209 r°, in quo deest τῷ Ἀγγέλῳ. Cf. Cantacuz. I, 334, 5.

[2] Cf. cod. Par. LXI, 42.

[3] Τῷ πανσεβαστῷ Δομεστίκῳ cod. Par. 209 r°.

[4] Cf. cod. Par. CCXVIII, 29.

[5] Cf. cod. Flor. XX, 4.

[6] λίπαινον cod. Esc.

[7] Cod. Par. fol. 209 r°.

[8] Cf. cod. Paris. CXLIX, 248.

[9] Cod. Flor. XLIII, 93 : Τῶν ἀγαθῶν τὴν χύσιν.

[10] Cf. cod. Flor. LXXXVIII, 13.

[11] καθηγμένον cod. Esc.

[12] Cod. Paris. fol. 209 v° : Τῷ πατριάρχῃ, id est Νίφωνι, non autem magno stratopedarchæ.

[13] Cf. cod. Flor. I, 598.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γὰρ βοτανῶν εὐπορεῖς κοσμοτρόφων [1],
Κοινὸς Γαληνὸς [2] εὑρεθεὶς τοῖς ἐν λύπαις.

CLXXXIX. Τῷ αὐτῷ [3].

* Ποιμὴν [4] ἀγαθὲ, τῆς ψυχῆς τῇ σφενδόνῃ [5]
Ἀνασόβει τὸν θῆρα [6] τῆς ἐμῆς λύπης·
Πλανώμενον δὲ καὶ τὸν ἄρνα σου βλέπων
Ἀνακομισθὴς εὐμενέστατος γίνου.

CXC. Τῇ μεγάλῃ Δομεστικίσσῃ [7].

Περιστερὰν [8] χαίρουσαν εἰς δόσεις βλέπων
Τὸν κατακλυσμὸν [9] οὐ στοοῦμαι τῶν στόνων.
Καὶ γὰρ ἐλαίας κάρφος [10] εἰς χεῖρας φέρεις,
Καὶ χαρίτων χρώμασι στοικίλοις βρύεις.

CXCI. Τῷ ὑπερφυεῖ στρωτοστράτορι τῷ Γλαβᾷ [11].

Ἂν ἦν δυνατὸν καὶ ψυχῆς δίχα στνέειν,
Κλεινὲ στρατηγὲ, τῶν ἐμῶν φῶς ὀμμάτων,
Αὐτὴν ἂν εὐθὺς ἐξελὼν τοῦ σαρκίου
Παρέσχον ὑμῖν τοῖς ἐμοῖς εὐεργέταις
Τῆς εἰς τὸ ναρκᾶν ἐκτροπῆς μὴ φροντίσας.
Ἐπεὶ δὲ τὸ στνεῖν καὶ λαλεῖν τι καὶ γράφειν

[1] Cf. supra CXLVIII, 5.

[2] *ἰατρός* et in marg. *Γαληνός* cod. Esc.

[3] Cod. Par. 209 v°.

[4] *Λιμήν* cod. Escur. quod monstrat initia corrupta esse in Escur. ut supra CLXIX, 1 : Â *νῦν δυνατόν*. Eadem confusio infra, CCXXIX, 15.

[5] Cf. cod. Flor. XLIII, 45.

[6] Cf. cod. Flor. LXXXV, 3.

[7] *Τῇ στρωτοστρατορίσσῃ* cod. Paris. 209 v°.

[8] *Περιστερὰν δή τινα καλὴν σε βλέπων* cod. Par.

[9] *τῶν κατακλεισμῶν* cod. Esc.

[10] Respectu ad Genes. VIII, 11.

[11] *Τῷ θαυμασίῳ ἐκείνῳ στρωτοστράτορι* cod. Par. fol. 209 v°.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῆς ϖαρ' ὑμῖν αἰσθάνεσθαι [1] τέρψεως
Ἐκ τῆς ψυχικῆς εὐτυχῶ συνεργίας [2],
* Τὸν ζῶντα ῥυθμὸν ἀντιπέμπω τῶν λόγων
(Ἐνταῦθα γὰρ ἂν [3] ὡς ϖαρόντα με βλέποις [4]),
Τὸν νοῦν τὸν ὀξὺν ἐμβαλὼν εἰς τὴν Φράσιν.
Εἰσὶ μὲν οὖν τοκάδες ἡμῖν καὶ βόες, ὑμῖν Kurtz, BNJ 4, 54
Ὑγρῶν δὲ τυρῶν ἐσλιᾶται τὰ βρέφη,
Καὶ ταῖς ἀμολγαῖς ἐντρυφᾷ ταῖς ϖροσφάτοις,
Καὶ τοὺς ϖεριχαίνοντας [5] ἔσθ' ὅτε ξένους
Ἀναψύχει λάπλοντας ὀζῶδες γάλα.
Δεῖ γὰρ ἀτεχνῶς καὶ τὰ βοσκήματά σου
Ὁπήποτ' ἂν ᾖ, τοὺς ταλαιπώρους τρέφειν·
Αὐτὰς δὲ τὰς ὗς τὰς βολοθριοτρόφους [6]
Καὶ τὰς ὅϊς λέγουσιν οἱ κτηνοτρόφοι [7]
Πληροῦν ὅλας κοιλάδας, ὦ Φήμης Φίλης!
Εἶναι δὲ καὶ κώδωνας ἐν τῷ ϖοιμνίῳ
Κύνας τε ϖολλὰς καὶ λυκοκτόνους Φύσει,
Καὶ νυκτερινοὺς τοὺς νομεῖς χοροσλάτας [8],
Εἰ τῆς ἐπὶ σύριγγι ῥᾳσλώνης δέοι.
Κἄν τις βλέπων ἔροιτο, Καὶ τίνος τάδε,
Τείνας ὁ ϖοιμὴν τὴν καλαύροπα Φράσει·
« Φιλῆ [9] τὰ βουκόλια καὶ τὰ ϖοιμνία. »
Ὁ δὲ ϖρὸς αὐτὸν ἐκπλαγεὶς, ἀντιφράσει·

[1] Cod. Esc. *αἰσθάνεται*.
[2] *ξυνεργίας* cod. Par.
[3] *ἄν* deest in cod. Esc.
[4] *βλέπεις* cod. Esc. et sup. *οις*.
[5] Cf. cod. Par. CCVII, 19.
[6] Legendum *τὰς μολοβριοτρόφους*. Sunt enim *μολόβρια* vel secundum Eust. *κολόβρια*, *τῶν ἀγρίων ὑῶν τὰ τέκνα*. Philes, *De Eleph.* 27: **Εἰκάζεται μὲν εὐτελεῖ** *βολοθρίῳ* (cod. Flor. *βολεθρίῳ*). Wernsd. multus est in conjecturis; sed leg. *μολοβρίῳ*, ut in nova ed. Dübner.
[7] Cod. Par. XLII, 21.
[8] *χειροσλάτας* cod. Esc. et sup. *χορ.*
[9] Hi duo versus 28 et 29 desunt in Esc.

Ακαδημία Αθηνών / Academy of Athens

« Δῶρον θεοῦ καὶ τοῦτο σαφῶς τῷ ξένῳ. »
* Τάχα δὲ καὶ σὲ τὸν γλυκὺν εὐεργέτην
Ἐν τοῖς ἐπιτρέπουσιν ὑμνήσει κρότοις· ἐπιπρέπ- Kurtz, BNJ 4, 54
Ἀλλ', ὦ στρατηγὲ, τῶν ἐμῶν σφαγεῦ πόνων,
Ὁ τὰς ἐν ἡμῖν συμφορὰς παροπλίσας,
Ὁ παντοδαπὸς τῶν ἐμῶν κόσμος λόγων,
Τὸ φῶς τὸ νικῶν τῆς ψυχῆς μου τὸ σκότος[1],
Τὸ πῦρ τὸ τεφροῦν τῶν παθῶν μου τὴν χλόην[2],
Τὸ πνεῦμα τὸ ζῶν εἰς τὸ πῦρ[3] τῆς καρδίας,
Ὁ νοῦς ὁ γοργὸς, ἡ κατ' ἄγγελον Φύσις,
Ὁ τῆς καθ' ἡμᾶς ἐκτροπῆς ὁδοστάτης,
Ὁ πλουτοποιὸς[4], ὁ τροφεὺς, ὁ προστάτης,
Ἀνήρ τις εἰδὼς εὐφυῶς πάντα κρίνειν
Εἷς εἶπεν οὐδείς; ἀλλ' ἀνείργω τὸν λόγον,
Ὡς εἴ τις ἱππεὺς ἁλτικὸν πῶλον στρέφοι[5]
Τιθεὶς ἀγαθὸν τοῖς ῥυτῆρσι τὸν δρόμον·
Ψυχὴ μὲν οὖν σώματι συνεζευγμένη
Τέμνει, στρατηγὲ, τοῦ βίου τὰς αὔλακας[6].
Θῆλυς δὲ πῶς ἂν ἄῤῥενος κύοι δίχα,
Εἰ μή τις αὐτῷ μυστικώτερος λόγος
* Σπορᾶς διαρθροῖ τὴν γονὴν ὑπερτέραν;
Τῆς γῆς δὲ χωρὶς οὐρανοῦ μόνη δρόσος
Καρποὺς γεωργεῖν οὐδαμῶς ἂν ἰσχύοι.
Ἄλλος[7] δὲ βοῦς βοῦν ἄλλον οὐκ ἔχων ἴσον
Εἰς γῆν ὅλως ἄροτρον οὐκ ἂν ἕλκύσοι.
Πλὴν οὐδ' ἐφικτὸν ἐκ νομῆς βουβαλλίδα[8]

[1] Cf. cod. Par. LVI, 1.
[2] Cod. Par. VI, 15 : Τῶν δυσμενῶν θέριζε γοργῶς τὴν χλόην. Id. LIX, 34 : Θυμηδίας χλόη.
[3] Cf. cod. Par. IV, 11.
[4] Cf. supra CLXXIII, 55.
[5] τρέφει cod. Esc.
[6] Cf. cod. Par. CXLIX, 18.
[7] Leg. videtur ἀλλ' οὐδὲ βοῦς.
[8] βουβαλίδα codd. superaddito λ.

Μόνην ϖροελθεῖν εἰς νομὴν ἀλλοτρίαν,
Εἰ μή τις αὐτὴν ἢ ϖαραζεύξας λάβοι
(Τὸ σύννομον γὰρ εὐμενὲς τῷ συννόμῳ),
Ἢ δίφρον εὑρὼν ἐκ τροχῶν εἰργασμένον,
Καὶ τινὰ βαλὼν τοῖς σφυροῖς ϖοδοσῖράβην,
Ὡς ἄχθος αὐτὴν ἀτρεμοῦσαν ἐνφέροι·
Οὐ ῥᾴδιον γὰρ[1] ϖρὸς τοσαύτην Φορτίδα[2]
Τὴν μὴ καθ' ὑγρῶν τεκτονεῦσαι ϖορθμίδα[3].
Ἀλλ' ὡς[4] ϖοταμῶν Νεῖλε μου χρυσορρόα
Τῶν σῶν ἐφ' ἡμᾶς δωρεῶν τῇ ϖροσχύσει[5],
Λελουμένας ἴδοιμι τὰς βουβαλλίδας[6].
Δεῖ γὰρ ὑπ' αὐτῶν συγκομισθῆναι θέρους
Τοὺς τὰ βρέφη θρέψοντας αὐτίκα σῖάχυς·
Ἐπεὶ δὲ τῆς γῆς τὴν χλοάζουσαν σκέπην
Ὁ δημιουργὸς ἐξυφαίνει τοῦ χρόνου,
Κοσμῶν τὰ γυμνὰ[7] τῇ ϖρεπούσῃ κερκίδι[8],
Καὶ ζῇ τὰ φυτὰ, καὶ σῖολίζεται κλάδοις[9]·
Ἡ γὰρ ἀναψύχουσα κινεῖται ζέσις,
Ἄνω ϖάλιν κάτωθεν ἀντωθουμένη,
Καὶ σὺ, σῖρατηγὲ, τὴν χρυσῆν τείνας κρόκην
Χιτῶνά μοι δὸς εὐπρεπῶς ὑφασμένον.
Καὶ γὰρ ἐφαπλοῖς τῆς ψυχῆς τὴν αἰθρίαν,
Ὡς ἡλίου δύναμις εἰς μεσημβρίαν·
Ἢ ϖοῦ θεμιτὸν, ϖοῦ δὲ τῇ φύσει ϖρέπον
Τὴν ἄπλερον σὴν καὶ ψιλὴν χελιδόνα

[1] οὖν cod. Esc.
[2] Φρονοῦσα cod. Esc.
[3] Φρορτίδα et in marg. ϖορθμίδα cod. Esc.
[4] Pro ὡς leg. ὦ.
[5] Cf. infra ccxxix, 16.
[6] βουβαλίδας codd. superadd. λ.
[7] Cod. Par. vii, 11.
[8] γυμνὰ καὶ σῖολίζων εὖ μάλα cod. Par.
[9] καὶ ϖροβάλλει τοὺς κλάδους cod. Par.

Ακαδημία Αθηνών / Academy of Athens

Πτερῶν [1] ἀμοιρεῖν καὶ τροφῶν μὲν [2] κρύος;
Καὶ ταῦτα μὲν δὴ συνελὼν ὡδὶ [3] γράφω
Ἐκ τῆς πιεζούσης με ταλαιπωρίας.
Αὐτὸς δὲ συγγνοὺς τῷ περὶ ταῦτα θράσει
(Τὴν γὰρ ἀπαράμιλλον ἐξάγεις δίκην
Ἐν τοῖς καθ' ἡμᾶς ὁ κριτὴς τῶν πραγμάτων)
Τὴν ψῆφον αὐτοῖς εὐπρεπῆ καθιστάνων
* Τὴν χρηστότητα δεῖξον ἀκτῖνος δίκην,
Ῥιγοῦντα Φιλῆν ζωπυροῦσαν ὀξέως·
Ἐπείπερ ἡμῶν συλλαβὼν τὰς ἐλπίδας
Παρὰ σεαυτῷ συμπαθῶς ἀναψύχεις.
Ἀλλ' ὦ προμηθεῦ σὺν θεῷ φιλοχοτρόφε,
Πολλοὺς ἀγαθοὺς [4] εὐτυχῶν ζώοις χρόνους·
Παντὸς δὲ τοῦ λυποῦντος ἀπηλλαγμένος
Ἐχθροὺς καθαιρεῖν δυσμενεῖς ἐξισχύοις.
Μένοις [5] δὲ παράδειγμα καλοῦ τῷ βίῳ,
Τυχὼν γυναικὸς προσφυοῦς σοι τὸν τρόπον.
Ἴδοις δὲ καὶ γέροντας ἐκ τῶν φιλτάτων
Σοφοὺς στρατηγοὺς ἐμφερεῖς οἷς εἰργάσω·
Μετὰ δὲ τὸν ῥέοντα καὶ θνητὸν βίον
Κλέος λάβοις ἄφθαρτον εἰς Ἐδὲμ τόπον.

* CXCII. Περὶ τοῦ καθ' ἡμᾶς εὐσεβοῦς [6] δόγματος.

Πατὴρ, γόνος καὶ πνεῦμα, τὰ πλήρη τρία,
Ὑποστάσεις τρεῖς, εἷς θεὸς, φύσις μία,
Τρία πρόσωπα, τρεῖς χαρακτῆρες πάλιν,

[1] Hic versus deest in cod. Par.

[2] Deest syllaba. Leg. *μετὰ κρύος*, post frigus, i. e. postquam frigus ingruit.

[3] *οὕτω* pro *ὡδί* cod. Par.

[4] *ἀγαθῶν* cod. Esc.

[5] Cod. Esc. *μένεις*.

[6] Vox *εὐσεβοῦς* deest in cod. Paris. fol. 232 v°.

Ακαδημία Αθηνών / Academy of Athens

Εἰκὼν μία τὰ τρία, καὶ μορφὴ μία,
Κλήσεις πάλιν τρεῖς, οὐσία ταύταις μία,
Καὶ τρεῖς ἰδιότητες εἰς ἰσχὺν [1] μίαν,
Μία [2] θέλησις, τρεῖς ἐνεργείας [3] λόγοι·
Οὕτω πεπίστευκαμεν εὐθὺς ἐκ βρέφους [4].

CXCIII. Εἰς εἰκόνα δεσποτικήν [5].

Ἡ παρὰ σοῦ πλασθεῖσα χεὶρ ἔγραψέ σε
Τὸν δημιουργὸν τὸν σοφὸν, τὸν τεχνίτην·
Αὐτὸς δὲ σαυτὸν τῇ βροτῶν Φύσει γράφεις,
Τὰ τὴν Φύσιν ἄμικτα μιγνύων, Λόγε.

CXCIV. Εἰς τὴν αὐτήν [6].

Ἡ σὰρξ ἀληθὴς (οὐ γὰρ ἄχρι τῶν τύπων),
Ἐν ᾗ δυνατὸν καὶ Θεοῦ Φύσιν βλέπειν·
Διπλοῦς γάρ ἐστιν ὁ γραφεὶς Λόγος, ξένε·
* Ἀλλ' οὐκ ἀναπνεῖ, μὴ κλονήσῃ τὴν κτίσιν.

CXCV. Ὅμοιοι [7].

Εἰκὼν ἐγὼ σή, πλὴν συνετρίβη [8], Λόγε·
Εἰκὼν ἐμὴ σύ, πλὴν Θεὸς πάλιν μένεις.
Καλλιγραφεῖς δὲ τὴν ἐμὴν αὖθις Φύσιν
Κιρνῶν σεαυτὸν [9] συμπαθῶς τῷ σαρκίῳ.

CXCVI. Εἰς τὴν αὐτὴν εἰκόνα [10].

Σωτὴρ ἐμὸς σὺ καὶ Θεὸς κἂν τοῖς τύποις·

[1] *εἰς σχήν* cod. Esc.
[2] Hic versus deest in cod. Esc.
[3] Leg. *ἐνεργεῖαι*.
[4] Cod. Vat. XVII, 12.
[5] Cod. Par. fol. 232 v°.
[6] *Εἰσλοαυτό* cod. Par. fol. 233 r°.
[7] *Εἰσλοαυτό* cod. Par. fol. 233 r°.
[8] *συνετρίβη* cod. Par. et supra *συνετρίβην*.
[9] *σε αὐτῷ* cod. Esc.
[10] *Εἰσλοαυτό* cod. Par. fol. 233 r°, in quo *Πατὴρ ἐμός*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Εἰς τοῦτο γὰρ δὴ τεχνικῶς νῦν ἐγράφης.
Οὐδὲν δὲ, σωτὴρ, ἐμποδὼν[1] προσεσλί σοι
Σωτηρίας ἔχοντι μεσλὴν τὴν φύσιν.

CXCVII. Εἰς τὴν σλαύρωσιν[2].

Κρεμῶν Ἰησοῦν ὁ γραφεὺς ἐπὶ ξύλου,
Τί μὴ καθαρῶς καὶ Θεὸν τοῦτον γράφεις;
Τῶν σωμάτων μὲν οἶδα μαθὼν τοὺς τύπους·
Θεὸν δὲ, φησὶν, οὐ δυνατόν μοι γράφειν.

* CXCVIII. Τῷ Φιλαρέτῳ ἀπὸ δυσλυχίας εὐτυχήσαντι[3].

Ἔγνως σεπονθὼς, κἂν ἀπηλλάγης μόλις,
Ἃ σρὸς σὲ καὶ γράφειν με καὶ σράτλειν δέον.
Οὐκοῦν ἰατρὸς ὁ χρυσοῦς[4] φίλος γίνου,
Τὴν σεῖραν εὑρὼν τῆς νόσου διδάσκαλον.

CXCIX. Ἐπιγράμματα[5] εἰς τὴν δέσποιναν ὅταν ἀφῄρηται τὴν οἰκονομίαν αὐτοῦ.

Ἤδη γράφειν τολμῶντι συγγίνωσκέ μοι,
Τῶν Αὐσόνων ἄνασσα συμπαθεσλάτη.

Δέσποινά μου, τολμῶντι συγγίνωσκέ μοι·
Δέσποινά μου, σεινῶντα, διψῶντα, ξένον,
Γυμνὸν, ταπεινὸν, δυσλυχῆ, τεθλιμμένον,
Δέσποινα φιλάνθρωπε, μὴ σαραδράμῃς.

[1] Al. ἐκποδών. Fort. distinguendum post ἐμποδών.

[2] Cod. Par. fol. 239 r°.

[3] Cod. Par. fol. 239 v°, in quo desunt verba ἀπὸ δυσλ. εὐτ.

[4] Supra XI, 2 : Τὸν χρυσοῦν ὄντως φίλον. Vid. infra CCII, 1, et CCXIII, 239.

[5] Τῇ βασιλίδι cod. Par. fol. 241 v°. Cod. Flor. fol. 157 : Τοῦ αὐτοῦ ἀναφορὰ εἰς τὴν δέσποιναν, versus XXXIX.

Ακαδημία Αθηνών / Academy of Athens

Δέσποινά μου, τολμῶντι συγγίνωσκέ μοι·
Ἐπείγεται γὰρ ἐκδραμεῖν τῆς καρδίας
Τὸ ϖῦρ, ὁ καπνὸς, ἡ δριμύτης, ὁ βρόμος.

* CC. Τῇ βασιλέως ἀνεψιᾷ τῇ Συργιανίνῃ[1] ὑπὲρ οἴνου.

Οἶνος ϖαρ' ἡμῖν, ἀλλὰ νεκρὸς εὑρέθη,
Ψυχρᾷ τὸ θερμὸν ἐκτροπῇ κατασβέσας·
Οὐ φείδεται γὰρ τῶν καπήλων ὁ τρόπος
Τῶν συγχυτικῶν τῆς κλοπῆς κερασμάτων,
Οἷς ὁ γλυκασμὸς τῆς νοητῆς ἀμπέλου
Πικρὰν ἀτεχνῶς ἀντικίρνησι τρύγην.
Ἐγὼ μὲν οὖν τὸν οἶνον ἐγκρατῶς ϖίνω
Τὸν ὑδατώδη, τὸν δριμὺν, τὸν ὀξίνην,
Ὅταν ὁ καιρὸς τῆς τροφῆς ἐπιτρέπῃ,
Μὴ τῇ ϖαρολκῇ τὴν ψυχὴν ψὶξ ἁρπάσῃ,
Τῶν εἰσαγωγῶν τῆς ϖνοῆς ϖεφραγμένων.
Ὁ δὲ ϖρὸς ὀργὴν καὶ φθορὰν ὥσπερ βλέπων
Ἀλγεῖν με ϖοιεῖ καὶ σφαδάζειν καὶ τρέμειν,
Καὶ τῇ ϖνιγηρᾷ σκαρδαμύσσειν ἐγχύσει·
Καὶ γίνεται ϖῦρ καὶ χιὼν τἀναντία,
Τὴν γευσlικὴν αἴσθησιν εὐθὺς ἐκλύων.
Ἀλλ', ὦ σlαφυλὴ βασιλικῆς ἀμπέλου
* Καὶ κλῆμα καινὸν τῆς Θεοῦ Φυτουργίας,
Ὦ ῥᾳξ ὅλη ϖέπειρε καὶ ϖρὶν ϖερκάσαι
(Ἡ γὰρ Φυσικὴ τῆς Φυλῆς ἐρυθρότης
Γράφει σε καὶ μέλαιναν ἐκ τῶν ἀμφίων,
Κἂν εἰς τὸ λευκὸν ὀμφακίζῃς τοῦ χρόνου),
Σὺ τρέψον ἡμῖν εἰς γλυκὺν τὸν ὀξίνην,

[1] Cod. Esc. τῆς Συργιανῆς. Cod. Par. fol. 78 r° : Τῇ Συργιαννίνῃ τῇ βασ. ἀν. Cod. Vat. 176 v° : Εἰς τὴν ϰ' Συριωαννίναν. Cf. infr. ccxxxiii, ubi Συργιανίνῃ.

Ακαδημία Αθηνών / Academy of Athens

Ὃν εἰς θυμὸν δράκοντος[1] ἡ κρᾶσις τρέπει,
Καὶ δὸς τἀληθῆ τῷ Δαβὶδ πάντως λέγειν
Ὡς οἶνός ἐστιν εὐφροσύνη καρδίας[2],
Ἀλλ' οὐ μαρασμὸς καὶ φθορὰ καὶ πικρία.
Καὶ γὰρ ἀγαθὸν ἐκ θεοῦ βότρυν φέρεις,
Ὃν ἡ λιπαρὰ τῶν μαθημάτων δρόσος
Εἰς ἡδονὴν ἔντεχνον ἐξήνεγκέ σοι.

CCI. Εἰς τὸν μέγαν στρατοπεδάρχην.

Πεινῶ, στρατηγέ, καὶ φαγεῖν ἴσως θέλων
Πρὸς τὴν ἀμολγὴν τῆς χρυσῆς θηλῆς βλέπω·
Εἰ δ' ἀργυροῦν δήπουθεν ἐξοίσεις γάλα,
* Καὶ δεύτερος πλοῦς[3], ἀλλὰ μὴ μέλλε πλέον.

CCII. Εἰς τὸν αὐτόν.

Ὁρῶν με γυμνὸν ὁ χρυσοῦς εὐεργέτης
Οὐκ ἀπομετρεῖς τὰς λαβὰς τῶν ἀμφίων;
Καὶ τίς τὸ ῥιγοῦν θερμανεῖ μοι σαρκίον,
Ὦ ζῶν ἀτεχνῶς ζωτικῆς φῶς αἰθρίας;

CCIII. Εἰς τὸν αὐτὸν διὰ τοῦ Καρδάμη.

Ἡ δριμύτης δάκνει με τῆς ἀθυμίας,
Ἡ βραδύτης λυπεῖ με τῆς εὐποιΐας·
Ἡ σὴ δρόσος ποῦ; μὴ γὰρ ἡ φλὲψ ἐκρύβη;
Καὶ τίς πεπανεῖ τῆς ψυχῆς μου τὸ σῦφον[4];

CCIV. Εἰς τὸν αὐτὸν διὰ τοῦ Καπνομάλη.

Τί τοῦτο; καπνὸς ἐξ ἀποκρύφου μάλης

[1] Cf. cod. Flor. CXXXIII, 4.
[2] Respectu ad Psalm. CIII, 15.
[3] Cf. Boisson. *An. gr.* t. II, p. 445.
[4] Cod. τὸν σῦφον.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ κνίσσα δεινὴ τὴν ψυχήν μου συμπνίγει.
Πάκτωλέ[1] μου, τὰ ῥεῖθρα[2] τῆς χειρὸς δίδου,
Ὡς ἂν ὁ καπνὸς ἐκρυῇ τῆς ἀσθόλης.

CCV. Εἰς τὸν αὐτὸν διὰ τὸ σκιάδιον.

* Ἐκ τῆς κεφαλῆς τῆς ὑπερφυεστάτης,
Ἐν ᾗ τὰ πυκνὰ γίνεται βουλεύματα,
Λευκὴν ἐμοὶ καλύπτραν ὁ χρυσοῦς δίδου.
Δεῖ γάρ με πενθεῖν τὴν σφαγὴν τοῦ συγγόνου.

CCVI. Εἰς τὸν αὐτὸν ὥστε[3] πρὸς τὴν δύσιν ἐξελθόντα.

Ἡδὺς ἀνασχὼν ἀπὸ δυσμῶν ἐνθάδε
Φῶς ὀλβίων ἔδειξας ἡμῖν ἐλπίδων.
Νῦν δὲ, στρατηγὲ καὶ δρομεῦ καὶ φωσφόρε,
Τὸν ὄρθρον ἀφεὶς ἄχρι δύσμῶν ἐκτρέχεις.
Καὶ τίς πάλιν ἥλιος ἡμᾶς αὐγάσει
Τὸ τῆς λύπης ἄδηλον ἐκθλίψας νέφος[4];
Τίς δὲ χρυσαυγεῖς ἀφιείς μοι λαμπάδας,
Ἢ θάλψιν ἁβρὰν[5] ἐκ πυράγρας[6] ἀργύρου,
Τὸν τῆς τύχης δύσοιστον[7] ἐκτρίψει[8] πόνον;
Ἆρ' οὖν ὀφειλὴν οὐκ ὀφειλὴν ἐκτίσεις;
Καὶ πῶς ὀφειλῆς δυσπαθῶς[9] μὴ στυγνάσῃ
* Πρὸς τὴν ἀσυμπέραστον εὐελπιστίαν;

[1] Cf. cod. Paris. CCXVIII, 29.
[2] Cf. infra CCXIII, 121.
[3] Fort. ὅτε.
[4] Cf. cod. Flor. XCIX, 7.
[5] Cod. αὐράν.
[6] Cf. cod. Par. LVI, 8.
[7] Philes, *De anim.* 387, et cod. Fl. I, 508 : Δύσοιστον βάρος. *Ibid.* 567 : Καὶ κινδύνου δύσοιστον ὀδμὴν ἐσχάτου. Cf. cod. Par. LXVI, 2.
[8] Cod. ἐκτρίψοι.
[9] Hoc adverbio augenda lexica. Supra CLXIII, 18 : Κἂν ὑδερικῷ δυσπαθῶς τὸ σαρκίον.

Ακαδημία Αθηνών / Academy of Athens

CCVII. Τῷ Δομεσλίκῳ[1] τῶν ἀνατολικῶν Θεμάτων.

Συχνῶν λαγωῶν εὐπορῶν καὶ περδίκων
Μετάδος ἡμῖν τῆς τρυφῆς τῆς ἀφθόνου·
Καὶ γὰρ τὰ συῶν ἐσλυγήκαμεν κρέα,
Τὸν πλεῖσλον αὐτοῖς ἐσλιώμενοι χρόνον.
Εἰ δ' ἀγαναχτεῖς καὶ τρυφᾶν μόνον θέλεις,
Σὺ μὲν παρ' ἀγροῖς ἐμφοροῦ τῶν ἀγρίων,
Ἡμῖν δὲ καμφθεὶς τοὺς χρυσοῦς πέμπε βρόχους,
Ἐπεὶ κρεμασλὰς παναχῇ νήτλας βλέπω,
Καὶ χῆνας ἁδροὺς ἐν σφαγαῖς ἀνευθύνοις[2]·
Οὐδεὶς γὰρ ἡμῶν, πανσέβασλε, φείδεται.

CCVIII. Τῷ πρωτοκυνηγῷ[3].

Ὡς παντοδαπὸς τῶν φίλων εὐεργέτης
Πέμπε πρὸς ἡμᾶς καὶ κριθὰς ἱπποτρόφους,
Κυνηγετικῆς[4] τακτικῆς ἐπισλάτα·
Ὡς ἂν ἔχον τὸ κτῆνος ἀτρόμους πόδας
Ἄγῃ παρὰ σὲ τὸν φιλοῦντα συχνάκις.
* Καὶ γὰρ βάσις γόνατος, ἐντέρων τάσις
Καὶ βῆμα γοργὸν, δαψιλοῦς φάτνης χάρις·
Εἰ δ' οὐκ ἔχει δήπουθεν ἁδρὸν τὸ τρέφον,
Κἂν ἦ τις ἢ Κρὴς[5], ἢ πλερωτὸς τὴν φύσιν,
Ὡς τὸν[6] πάλαι Πήγασον ἐν μύθῳ βλέπεις[7].

[1] Τῷ θαυμασλῷ Δομεσλίκῳ cod. Par. fol. 84 v°, et cod. Flor. fol. 196.

[2] Sic Plautus in *Captivis* IV, sc. 3, 8 : Pernæ pendent indemnatæ.

[3] Πρωτοκυνηγός, *Primus venatorum*, nostris olim et nunc *Grand veneur* : Dignitas numero 41 in Palatio Cpol. ap. Codinum, *De Offic.* cap. II. Cf. Ducang. s. h. v.

[4] Cf. cod. Par. II, 6.

[5] Alluditur ad Creticos canes velocissimos. Cf. Xenoph. *Ven.* 10, 1. Senec. *Hipp.* 32 : Teneant acres lora Molossos, Et pugnaces tendant Cretes Fortia trito vincula collo. *Epigr. de Apro* : Creticus excutitur lunato dente rebellis.

[6] Cod. male τό pro τόν.

[7] Deest versus certe unus.

Ακαδημία Αθηνών / Academy of Athens

CCIX. Εἰς λέοντα ἐζωγραφημένον [1].

Ψυχὴν σλαθηρὰν εὐτυχῶν ὁ ζωγράφος
Ἔγραψε καὶ λέοντα μὴ δειλιάσας.
Καινὸν μὲν οὖν καὶ τοῦτο, ϖλὴν τόγε ϖλέον
Ὅτι ϖνοὴν τίθησι μικροῦ τῷ τύπῳ,
Τὸν Θῆρα κινῶν τῇ γραφῇ ϖεπηγμένον.

CCX. Ἕτεροι [2].

Ἂν οὐκ ἔχων [3] κίνησιν ἐν τύπῳ λέων
Πείθῃ [4] ϖλοεῖσθαι τοὺς ὁρῶντας ἀθρόον,
Τίς ἂν ϖνέων φαίνοιτο καὶ ζῶν τοῖς ϖέλας,
Ὅταν σφαδάζῃ καὶ ϖλατύνῃ τὸ σλόμα;
* Ἐρεύξεται [5] γάρ φησιν ἡ Γραφὴ λέων,
Καὶ τοὺς ϖαρόντας λήψεται τρόμος μέγας [6].

CCXI. Εἰς λόγον ϖρὸς τὸν ἅγιον Λουκιανὸν τὸν μάρτυρα [7].

Ἄνδρες γεωργοὶ τῶν καλῶν τῶν ἐν βίῳ
Ἐκ τῆς νοητῆς τῶν Φρενῶν [8] ἐπομβρίας
Τὰς τῆς ψυχῆς αὔλακας [9] ἀρδεύσατέ μοι
Καὶ τὸν λογικὸν ὑποδέξασθε σπόρον.
Σκορπίζεται γὰρ μυσλικῶς ταῖς καρδίαις,

[1] Iterum infra fol. 77 v°. Εἰς ἐζωγραφημένον ἐν τῇ γῇ λέοντα cod. Par. fol. 79 r° et cod. Flor. 36 v°. Cod. Vat. fol. 182 v° : Εἰς λέοντα ζῷον.

[2] Infra iterum fol. 77 v°. Εἰσλοαυτό cod. Par. fol. 79 v°, et cod. Fl. fol. 36 v°. Cod. Vat. 183 r°.

[3] ἔχω cod. Esc.

[4] ϖείθει cod. Esc. A.

[5] ἐρεύγεται cod. Esc. Cf. Amos. III, 8.

[6] μέγας τρόμος cod. Par.

[7] Αὐθωρὸν εἰς ἀνάγνωσιν cod. Par. fol. 245 r°.

[8] καλῶν pro Φρενῶν cod. Esc.

[9] Eadem metaphora apud Eustath. *Opusc.* p. 30, 64 : Καὶ τὴν ψυχικὴν αὔλακα νεώσας ὡς εἰς τρίπολον ἄρουραν. Cf. cod. Par. CXLIX, 18.

Ακαδημία Αθηνών / Academy of Athens

Λιπαίνεται δὲ τῇ δρόσῳ[1] τῆς χάριτος·
Καὶ γίνεται μὲν εὐφορώτατος σίάχυς,
Τρέφει δὲ τοὺς ἔχοντας ἀῤῥήτῳ ζύμῃ.
Σπείραιμι λοιπὸν, ἀλλὰ μὴ λίθων μέσον
(Καὶ γὰρ ἄνικμός ἐσιιν ἡ τούτων[2] φύσις
Ὅπου μένειν ἄκαρπον εἰκὸς τὸν σπόρον)
Μήτ' αὖ πάλιν εἰς χέρσον ἀκανθοτρόφον[3],
Ὅπου βάτοι πνίγουσι τὰς ὑπεκφύσεις[4]·
* Καὶ τὰς τρίβους δέδοικα τῶν ζῴων χάριν,
Μὴ συμπατηθῇ τῆς σπορᾶς ἡ πυκνότης,
Καὶ τοὺς ὑδατώδεις τε καὶ γλίσχρους τόπους,
Μήπως ὁ κόκκος ἐνσαπῇ τῷ βορβόρῳ.
Μόνην ἐπαινῶ τὴν καλὴν γῆν ἐνθάδε.
Καὶ νῦν ἐπ' αὐτῆς ἐνσκεδάζω[5] τὸν σπόρον
Ὁπήποτ' ἂν ᾖ τῶν προσεκτικωτέρων[6].
Ἕλληνες οὐκοῦν αἰσχυνέσθωσαν πάλιν,
Εἰ Λουκιανὸς ἄλλος ἡμῖν εὑρέθη
Τοῦ Λουκιανοῦ τοῦ παρ' αὐτοῖς βελτίων·
Ὁ μὲν γὰρ ἀφεὶς τὸν γελώμενον βίον[7],
Θυμηδίαν ἄῤῥευσιον[8] ἀντιλαμβάνει,
Καὶ ζῇ παρεσιὼς τῷ Θεῷ σὺν ἀγγέλοις.
Ὁ δὲ πλατὺς ἄντικρυς εὑρέθη γέλως
Καὶ παρασυρεὶς ταῖς τρυφαῖς καὶ τοῖς πότοις
Κεῖται λυθεὶς ἄκλαυσιος[9] εἰς πόνου τόπον[10].

[1] Cf. cod. Par. LVII, 13.

[2] τούτου cod. Esc. τούτων cod. Par. ex corr.

[3] Vox addenda lexicis.

[4] Cf. cod. Par. XLVII, 4.

[5] Cf. cod. Par. LXII, 69.

[6] Cf. cod. Flor. CXCVIII, 112.

[7] ὁ μὲν γὰρ ἐλθὼν εἰς ἐκουσίους πόνους cod. Par. ex correct.

[8] Philes, *De plantis*, 344 : Ὡς ἂν μένῃς ἄῤῥευσιον ἀνθρώποις ἔαρ.

[9] Id. *De animal.* 1411 : Δακρύων ἄκλαυσιον χύσιν.

[10] εἰς πῦρ δακρύων cod. Par. ex corr.

Ακαδημία Αθηνών / Academy of Athens

* CCXII. Πρὸς τὸν Δομέστικον τῶν ἀνατολικῶν Θεμάτων τὸν Ἀτζύμην[1].

Τὸν ἡλοημένον[2] με ταῖς ἁμαρτίαις,
Καὶ ϖαντὸς ἐνδύματος ἐξεπίσμένον[3],
Καὶ δακρύων κλύσμασιν ἐμπεφυρμένον,
Καὶ μυστικοῖς ἄνθραξιν ἐμπεφρυγμένον,
Καὶ βασκάνων στόμασι κατειργασμένον
Σίτῳ καθαρῷ δεξιούμενος δίδου,
Καὶ καρδίαν στήριζε[4], Δαβὶδ ὡς λέγει,
Καὶ τέρπε τὸν σὸν εὐπερίστατον Φίλον
Ὡς ἡδύς, ὡς ἔγκαρπος, ὡς ϖλωχοτρόφος,
Ὡς τοὺς Φίλους ἄχυρα μικροῦ δεικνύων
Οὓς ἥλιος νῦν οἶδε, ϖανσέβαστέ μου
Καὶ τῶν Θεμάτων τῆς ἑῴ Δομέστικε.

CCXIII. Τῷ ἀνεψιῷ τοῦ αὐτοκράτορος.

Τῷ μὲν τὰ κοινὰ μὴ σκοπεῖν τῶν ϖραγμάτων
Ἃ συχνάκις δίδωσιν ἡ ϖλάστις Φύσις
Ἐκ τῶν καθ' αὑτὴν εὐπορίστων ὀργάνων,
Ἔχοι τις ἂν δή τινα συγγνώμης λόγον·
Τὸ δ' εἰς τὰ καινὰ μὴ ϖαραυτίκα τρέχειν
* Ἃ δεῖ λογικῆς ἀξιοῦσθαι Φροντίδος,
Μὴ Φθὰς ὁ καιρὸς τὸ ξενίζον ἁρπάσῃ,
Οὐκ ἂν Φορητὸν οὐδ' ἀνεύθυνον μένοι.
Ποῖος γὰρ ἰδὼν ἀκριβῶς ἐν βιβλίῳ
Τὸν δεῖνα καὶ τὸν δεῖνα τοὺς ἀριστέας
Οὐχὶ ϖαρευθὺς ἐπλερώθη[5] τοῖς λόγοις,

[1] Τῷ Θαυμαστῷ ϖανσεβάστῳ codex Par. fol. 250 r°.
[2] ἠλεημένον cod. Esc.
[3] ἐξεπυσμένον cod. Esc.
[4] Psalm. CIII, 17.
[5] Cf. supra XCI, 25.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ πρὸς τὸν ἴσον ἦλθε τῷ ζήλῳ τρόπον,
Κἂν ὡς λαγωὸς[1] δυσχεραίνῃ τὸν βίον
Σκιὰν θεωρῶν καὶ σχεδὸν παραπνέων;
Πῶς οὖν σε, Νιρεῦ[2], μὴ κροτήσω τοῖς λόγοις,
Ὃς ὑπὸ τοῦτον ὡράθης τὸν ἥλιον
Κάλλιστος ἀνδρῶν ἐν σφαγαῖς ἀλλοτρίων;
Ἢ πῶς τὸν ἐχθρὸν οὐκ ἀνείρξω σοι χρόνον,
Ὃς βασκάνοις ὄμμασι τὰ κρείττω βλέπει;
Τῆς γὰρ ἑαυτῷ φθαρτικῆς ἀπληστίας.
Ἀναιρετικὴ τῶν λόγων ἡ δύναμις,
Ἢ τήνδε τὴν γῆν εὐπετῶς[3] διατρέχει,
Δεικνῦσα μικροῦ καὶ φθαρείσας τὰς φύσεις.
* Ἀλλ' εἰ μὲν ὑπέκυπτες ἢ τέχνης νόμοις
Ἢ μετρίαις δήπουθεν ἀρχαῖς πραγμάτων,
Ἦν ἂν ὁ παρὼν εὐχερὴς ἡμῖν λόγος·
Ἐπεὶ δὲ νικᾷς τεχνικὸν πάντα κρότον
Εἰ πατρίδος λέγει τις ἢ γένους κλέος,
Ἐκ τῶν φυσικῶν σεμνυνῶ σε φασμάτων[4],
Παρεὶς τὰ μικρὰ, μὴ τὰ μείζω φαυλίσω.
Πατρὶς μὲν οὖν σὴ πᾶσα πατρὶς Αὐσόνων,
Ἀνθ' ὧν καθαιρεῖς τὰς φυλὰς τῶν βαρβάρων,
Κλεινὲ στρατηγὲ, τῇ προκώπῳ[5] σου σπάθῃ.
Γένος δέ σοι πᾶς, εἴ τις ἐν μάχαις γίγας,
Εἷς ἀντὶ πολλῶν εὐδρομῶν πρὸς τὰ ξίφη
Καὶ νῶτα φυγῆς ταῖς βολαῖς μὴ δεικνύων.

[1] Proverbialis est leporum timiditas, de qua cf. *Thesaur.* t. V, col. 29 D, *s. v.* Λαγωός.

[2] Nireus, homo admodum formosus, de quo Hom. *Il.* B, 671.

[3] Psellus, cod. Par. 1182, fol. 81 r°: Εὐπ. εἶχε πρὸς τὴν μάθησιν.

[4] πραγμάτων et supra φασμάτων cod.

[5] προκόπῳ cod.

Εἰ μὴ γὰρ ἱδρὼς τῶν μελῶν[1] ἀπορῥέοι
Καὶ τραυμάτων αὔλακας[2] ἡ σὰρξ λαμβάνοι,
Τοὺς δεσποτικοὺς οὐκ ἐπαινεῖς μαργάρους,
Ἐφ' ὧν ὁ πατὴρ εὐτυχῶς ἤνεγκέ σε
Σοφῇ συναφθεὶς αὐσονάρχου συγγόνῳ·
* Ἐχρῆν γὰρ εὐθὺς ἐκ φυλῆς ὑπερτάτης
Τοσοῦτον ἡμῖν ωργανῶσθαι γεννάδαν[3].
Ὡς ἂν ἐρυθρὸς ἐκ τομῆς ἐναντίων
Καὶ βασιλικῶς πορφυρόχρους[4] τυγχάνεις[5].
Κάλλος γε μὴν σώματος ἀκμαῖον φέρων,
Ὦ χαρίτων κίρνησιν ἡ Φύσις χρόας,
Οὐχ ὡς ταὼς[6] γαυριᾷς ὁ ῥικνόπους[7],
Ὁρῶν ἐπ' αὐτὰς τῶν πτερῶν τὰς λαμπάδας,
Ἀλλ' ἀπατηλὴν τὴν βαφὴν ταύτην κρίνων
Ὡς ἀνθέων ὕπαρξιν εἰς ὥραν θέρους,
Κοσμεῖς ἀφανεῖ τὴν ψυχὴν εὐεξίᾳ
Καθ' ἣς ὁ ῥευσὶὸς οὐ φρυάξεται[8] χρόνος·
Φρενῶν δὲ μεσὶὴν εὐτυχεῖς τὴν καρδίαν,
Ἥρακλες Ἑρμῆ, καὶ σφριγᾷς πρὸς τὰς μάχας
Καὶ τοῖς πονηροῖς ἐξ ἀπόπλου συμπλέκῃ
Πρησὶῆρσιν[9] ὀργῆς τὴν καλὴν θήγων σπάθην,
Καὶ πρὶν μὲν ἐλθεῖν εἰς βελῶν περισὶάσεις,
* Ὁρᾷς ἱλαρὸν ὁπλικὸν χέων μέλι·
Τομῶς δὲ χωρῶν εἰς τὸ πῦρ[10] τοῦ κινδύνου,

[1] μέλλων cod.
[2] Cf. cod. Par. CXLIX, 18.
[3] Cod. ὠργανῶσθαι γεννάσαν.
[4] Meliten. 1893 : Καὶ βύσσαν πορφυρόχροον ἐκ λίθων καὶ μαργάρων. Id. 2474 : Τῶν μὲν γὰρ ῥόδων ἡ πληθὺς ἴσὶατο πορφυρόχρους.
[5] Leg. τυγχάνοις.
[6] σύ vel alia syllaba deest.
[7] ῥυκνόπους cod. Vox addenda lexicis.
[8] Φριάξεται cod.
[9] Cf. cod. Par. CXLIX, 52.
[10] Cod. Par. XXXI, 6 : Εἶδες τὸ πῦρ ἐκεῖνο τῆς ἁλησὶίας.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ βλέμμα γοργὸν καὶ φλογῶδες δεικνύεις
Καθάπερ ὀξὺς καὶ ϖολύσ1ροφος δράκων
Ὅταν ϖρὸς ἐλέφαντας Ἰνδοὺς[1] ἑρπύσῃ
Καὶ τὸν μαχιμώτατον αὐτῶν ἁρπάσῃ.
Μισεῖς δὲ μικροῦ τὰς κλοπὰς καὶ τοὺς λόχους
Οἳ γυμνὸν οὐκ ἔχουσιν ἐν μέσῳ ξίφος·
Τὴν γὰρ κατὰ ϖρόσωπον[2] ἠσπάσω μάχην,
Ἐν ᾗ καθαρῶς ἡ Φύσις γινώσκεται.
Πῶς, ὦ σ1ρατηγὲ, καὶ τὰ λοιπά σου Φράσω
Γλώσσας τε καὶ σ1όματα μὴ Φέρων δέκα
Καὶ χαλκέου κώδωνος ὀξυφωνίαν!
Πολλοῖς μὲν ἐχθροῖς τὴν σΦαγὴν ἐξειργάσω
Μαργῶσιν αὐτοῖς ϖροσβαλὼν κατὰ σ1όμα,
Πολλοῖς δὲ συχνὰς ἐξεπόρθησας ϖόλεις
Βαλὼν ἐπ' αὐτὰς τετραχῇ τέμνων[3] δόρυ,
Τὴν δὲ σ1ρατιὰν τακτικῶς διεξάγων
* Πειθοῖ λογισμῶν καὶ σ1ομοῖς[4] καὶ Θαῤῥύνεις,
Καὶ τὴν κατ' ἐχθρῶν ἐκδιδάσκεις ἀνδρίαν,
Ὡς ἂν ϖρὸ καιροῦ ζωγραΦῶσι[5] τὴν τύχην
Γυμνασ1ικῇ δήϖουθεν ὀξυχειρίᾳ[6]·
Τοιοῖσδε καλοῖς ἐντραΦεὶς ἐκ σϖαργάνων
Εἰς ἀνδρικὴν ἔΦθασας αὐτίκα σ1άσιν·
Φρονήσεως γὰρ ἀναμασ1εύσας γάλα[7]
Καὶ ϖραγμάτων ἄῤῥητον ἰσχὺν κερδάνας
Ἥρως ἀτεχνῶς καὶ χρυσοῦς ὤΦθης γίγας,
Τὸ σχῆμα τῆς γῆς εὐκλεῶς διατρέχων

[1] Philes, *De elephant.* v. 247.

[2] Cod. Flor. 1, 807 : Πρὸς τὴν κατὰ ϖρόσωπον ὁπλομαχίαν.

[3] Fort. τέμνον?

[4] Cod. σ1ομεῖς.

[5] Fort. ζωγραΦῶ σοι?

[6] Cf. cod. Flor. XCV, 54.

[7] Cf. cod. Par. XIII, 24.

Ακαδημία Αθηνών / Academy of Athens

Ὅσην ὁ λαμπρὸς οὐ ϖαρῆλθε ΦωσΦόρος.
Ποῖος γὰρ εἰς ὃν ἐσlρατήγησας τόπον,
Οὐκ εἶδε συχνοὺς ἐν σΦαγαῖς τοὺς βαρβάρους;
Ἦ ϖοῦ σε τῆς γῆς οὐχ ὁρᾷ ϖᾶς ὁπλίτην
Κοσμοῦντα ϖυκνῶς τοῖς λαΦύροις τὰς ϖόλεις,
Μᾶλλον δὲ τοῖς αἵμασι τῶν ἀλλοτρίων
Βασιλικῶς βάπλοντα μικροῦ τὴν κτίσιν,
* Ἵν' εἴ τις ἐχθρὸς αὐθαδῶς[1] ἐπιτρέχοι[2],
Τὸ κῦρος ἀθρῶν τῆς βαΦῆς ἀνατρέχοι·
Καὶ μὴ τυραννὶς λῃσlρικῆς ἀπλησlίας
Ἐνταῦθα χωρῇ ϖροσβολαῖς ϖολυτρόποις,
Οὗ δὴ βασιλεὺς ἐκ Θεοῦ κεχρισμένος
Τὰς εὐτόνους ϖήγνυσι τοῦ κράτους βάσεις,
Ὡς ἂν τὸ κοινὸν ἀσΦαλέσlερον μένοι;
Τίς, ὦ σlρατηγέ, τίς σπορεὺς ἔσπαρκέ σε;
Ποία δὲ νηδὺς ἐκ σπορᾶς ἤνεγκέ σε;
Ποῖος δὲ μασlὸς μητρικῶς[3] ἔθρεψέ σε;
Πόθεν ϖροελθὼν ὠλβιώθης[4] τὴν Φύσιν;
Ποίας ῥόδων χάριτας ἐνθεὶς ταῖς γνάθοις
Ἔαρ Φυσικὸν τῷ ϖροσώπῳ σε[5] γράΦει;
(Καὶ γὰρ ἐπ' αὐτὸ μυσlικῶς ἀνατρέχει
Τὸ τῆς ψυχῆς σου κάλλος ἀνθοῦν εἰς βάθος·)
Τίς τὴν ϖυρίνην γλῶτlαν ἐσlόμωσέ σοι,
Δι' ἧς τὸν ἐσμὸν[6] ϖυρπολεῖς τῶν βαρβάρων,
Ὅταν κατ' αὐτῶν συγκροτῶν ϖαροτρύνῃς
* Τοὺς ὑπὸ τὴν σὴν δεξιὰν τεταγμένους;

[1] Cod. Flor. 1, 377 : Μή ϖου τις ἐχθρὸς αὐθαδῶς ἐπιδράμῃ.
[2] ἐπιτρέχει et supra ἐπιτρέχοι cod.
[3] Cod. μητρικός.
[4] ὀλβιώθης cod.
[5] Fort. σου γράφει.
[6] Cod. Flor. CCIV, 79 : Δι' ἧς τὸν ἐσμὸν συσlελεῖς τῶν βαρβάρων. Cod. Par. CCVII, 9 : Σοβῶν τὸν ἐσμὸν τακτικῶς τῶν βαρβάρων.

Τίς τὸν καλὸν τράχηλον ἐκράτυνέ σοι,
Τένοντα πυκνὸν συμβαλὼν τοῖς σπονδύλοις,
Ὡς ἂν τὰ κοινὰ τοῦ στρατοῦ φέρῃς βάρη
Σοφῶς ἐνεγκὼν τὸν ζυγὸν τῶν πραγμάτων;
Τίς νῶτά σοι παρέσχε καὶ στέρνων πλάτος,
Ἐν οἷς προωθεῖς[1] ἐξελαύνων τὰ στίφη,
Ἂν ἦ τις αὐτοῖς δυσμαχοῦσα πυκνότης;
Τίς τὰς καλάς σου χεῖρας ἐξ ὤμων χέας
Ἀνασταμοῖ[2] τὰ ῥεῖθρα τῆς εὐποιΐας,
Ἂς τόξα χαλκᾶ καὶ σιδηρᾶς ἀγκύρας
Ἡ συστάδην ἔδειξεν ὁπλομαχία[3];
Τίς καὶ πτερωτοὺς ὀργανοῖ σου τοὺς πόδας,
Εἰ δυσβάτους δή τινας ἀμείβῃς τόπους,
Ἢ μᾶλλον εἰ χρὴ συμβαλόντας ἀθλίως
Δρόμῳ προχωρεῖν καὶ τροπῇ τοὺς βαρβάρους;
Εὐθὺς γὰρ αὐτοὺς ὥστε δείλους δορκάδας
Αἱρεῖς κυνικὸν ἐκμιμούμενος δρόμον,
Καθ' ὧν ὑλακτεῖς καὶ τὰ κύκλῳ σου βλέπεις,
Τὰ δυσμενῆ δήπουθεν ἐσθίων κρέα.
Τίς ἄρα Περσεὺς ἀνεβιβάσατό σε,
Πολλάκις εὐρὼν[4] εἰς τὸν ἵππον τῆς μάχης;
Χείρων δὲ τίς κένταυρος ἐκ λόχμης τρέχων
Καὶ παιδαγωγῶν εἰς λαγὼς καὶ παρδάλεις
Καὶ πάντα νεβρὸν ταῖς βολαῖς ταῖς εὐστόχοις
Θηροκτόνον[5] κάλλιστον εἰργάσατό σε;

[1] *De animal.* 1666 : Ταύτην προωθεῖ τὴν δυσαίσθητον Φύσιν.

[2] Cod. ἀνασταμεῖ. Cod. Flor. 1, 500 : Ἀνασταμοῖ τὰ ῥεῖθρα τῆς εὐσπλαγχνίας. Cod. Paris. (xi,) 95 : Καὶ βλύζε μοι τὰ ῥεῖθρα τῆς εὐποιΐας. Id. lix, 26 : Καὶ συνάγεις τὰ ῥεῖθρα τῆς εὐποιΐας. Supra ccIV, 3 : Τὰ ῥεῖθρα τῆς χειρός. Cf. Jo. Diac. ap. Band. *Catal.* I, p. 375, v. 83.

[3] Cf. cod. Flor. 1, 807.

[4] Fort. αἴρων?

[5] Cf. cod. Flor. ccxIV, 72.

γρ. χ, (πδμερ.)

Ποῖον δέ σοι ῥόπαλον ἐξ Ἡρακλέος
Τὰς ἐθνικὰς ἀνεῖλεν ὑδρογοργόνας[1];
Ποίαν λεοντῆν τῆς Φυῆς ἐνημμένης
Γυμνὸς πρὸς ἐχθρούς καὶ βελῶν ἔξω τρέχεις;
Οὕτω δὲ λαμπρὸς εὑρεθεὶς τοῖς πρακτέοις,
Ὡς ἂν ὁ καρπὸς προσφυὴς ᾖ τῷ κλάδῳ
Τῆς βασιλικῆς ἐμφορηθέντι δρόσου,
Φρονεῖς[2] ταπεινὰ καὶ σκοπεῖς τὸ συμφέρον,
Καὶ τὸν λογισμὸν τῆς ψυχῆς τὸν ἱππότην
* Εἰκῆ[3] προχωρεῖν οὐκ ἐᾷς ὁ γεννάδας·
Καὶ πωλοδαμνεῖς εὐφυῶς καὶ κοσμίως
Τὸ σχῆμα τηρῶν μὴ λαθὸν διεκπέσῃ[4]
Καὶ συντριβῇ τὸ σῶμα τῆς εὐδοξίας·
Καὶ γὰρ κατασπᾷς γαυριῶντα τὸν τύφον,
Καὶ τοὺς κενοὺς ἄνθρακας αὐτοῦ σβεννύεις
Τῶν ὀμμάτων ἕτοιμον ὑγρὸν ἐκθλίβων.
Ἀλλὰ γὰρ ἰδοὺ καὶ δικασλῆν σε βλέπω
Καὶ δημαγωγὸν καὶ κριτὴν ζυγοσλάτην,
Καὶ ῥητορικῆς αὐτοπύρσευτον[5] σλόμα·
Καὶ νοῦν σλιβαρὸν καὶ βραβευτὴν ἀγχίνουν·
Καὶ τὸ πρὸς ἐχθρούς ἠρεμεῖ τύρβασμά[6] σοι.
Ποῖος γὰρ ἂν Σόλων σε μὴ γνοὺς θαυμάσοι
Τὸν τῆς παρ' ἡμῖν Ἀτλικῆς νομογράφον;
Ποῖος δὲ σεμνὸς ἐκ Στοᾶς[7] ἰδὼν Πλάτων

[1] Vox addenda lexicis.
[2] Cod. *φονεῖς*.
[3] Cod. *εἰκεῖ*.
[4] Vid. infra CCLII, 9.
[5] Hac voce augenda lexica.
[6] Cod. Paris. V, 12 : *Ἐπὶ πλοῦ καὶ ῥοῆς τυρβασμάτων*. Id. LXXII, 6 : *Τυρβασμάτων λαίλαπος ἀντιπνευσάσης*. Et CXXXIX, 15 : *Ἐν μυχοῖς τυρβασμάτων*. Cod. Vat. XIII, 24 : *Ἐκ τῶν περιτλῶν τῆς ψυχῆς τυρβασμάτων*. Cf. cod. Coisl. 146, fol. 11 r°.
[7] Metonymiæne an ignorantiæ hoc tribuendum?

Ακαδημία Αθηνών / Academy of Athens

Οὐχὶ ϖαρευθὺς μετριάσει τοῖς νόμοις;
Ἢ τίς ϖαρελθὼν εὐφυὴς Δημοσθένης,
Εἴ ϖου σὺ τοῖς ϖράγμασι τὰς ψήφους δίδως,
* 165 Οὐ χαλεπανεῖ[1] ϖρὸς τὸ κάλλος τῶν λόγων,
Ὡς ϖρὸς τοσοῦτον ὄγκον ἐλλιπῶς ἔχων;
Καὶ γὰρ συναιρεῖς καὶ μερίζεις εὐσκόπως,
Καὶ τῶν ϖαρ' ἀμφοῖν ἀκροώμενος λόγων
Δοκεῖς Θεωρεῖν τὰς λαβὰς[2] τῶν ϖραγμάτων,
170 Καὶ τῶν ϖεριτlῶν ἐξελαύνων τὸν ζόφον[3]
Τοῖς οὐ ϖεριτlοῖς εὐγενίζεις[4] τὴν δίκην·
Ὡς ἂν μεταξὺ τὸ ϖροσῆκον ἁρπάσῃς
Τὴν τῶν δικασlῶν ἐξελὼν ὑποψίαν,
Καὶ μή τις ἐξῆς δυσμενὴς δικασπόλος
175 Εἰς λῆμμα[5] λαθὼν συγκαλύψῃ τὴν Θέμιν.
Ἰδεῖν δὲ μακρὰν ἀπὸ συμβόλου γρlφου[6]
Κατασlοχασlὴν ἀκριβοῦν εἰθισμένον·
Καὶ Λυγκέως[7] ἔμεινας αὐτοῦ βελτίων·
Νικᾷς δὲ Θυμὸν ἀκρατῶς ῥέοντά σοι
180 Καλῷ τὸ κακὸν εὐγενῶς ἀνατρέπων.
Θεοῦ δὲ χωρὶς οὐδ' ἀναπνεῖν ἂν Θέλοις·
Ὃ ϖρῶτον ἁπλῶς τῶν καλῶν ἔνεσlί σοι.
* Καὶ γὰρ ἐν αὐτῷ ϖανταχῇ γῆς κομπάσεις
Νικητικοὺς ἀγῶνας ἀνῃρημένος,
185 Ὡς ἂν ὁ μακρὸς καὶ ϖολύτροπος χρόνος
Ἄλλον σε Σαμψὼν εὐτυχήσῃ ϖρεσβύτην,

[1] Cod. χαλεπαινεῖ.

[2] Conf. cod. Flor. XLIII, 13, et CCIX, 23.

[3] Cod. ϖόθον et in marg. ζόφον. Cf. cod. Par. CCVII, 88.

[4] Cf. cod. Par. XIV, 41.

[5] Cod. λῆμα.

[6] Versus unus deesse videtur, ut ex constructione prorsus turbata colligitur.

[7] Cod. Λιγγέως. Id. cod. Flor. I, 483: Κἂν ὡς ὁ Λυγκεὺς (cod. Λυγγεὺς) καὶ τὰ μακράν ϖου βλέποι.

Ακαδημία Αθηνών / Academy of Athens

Ὃς τὴν ϖολιὰν τῶν γερόντων αἰσχύνῃ,
Τοῖς φιλτάτοις ϖαίδευμα σαυτὸν εἰσφέρων
Καὶ ϖρὸς τὸ κοινὸν τὴν τιμὴν ἀπευθύνων·
Ἐτύγχανες γὰρ ἐκ τριχὸς ϖρώτης γέρων,
Δεικνὺς ϖαρευθὺς ἐντελῆ σου τὴν Φύσιν,
Καὶ ϖαραγυμνῶν [1] τῶν Φρενῶν τὸ ϖᾶν βάθος
Ἐν τοῖς ϖαραφθέγμασι τῶν ψελλισμάτων [2],
Καὶ τοῖς ϖρογυμνάσμασι τῶν ἀθυρμάτων·
Τὸ δὲ ϖρομηθὲς [3] ἀκριβῶς ϖρὸς τοὺς Φίλους,
Ὁ δὲ ϖλατυσμὸς τῆς ψυχῆς ϖρὸς τὰς δόσεις,
Ὁ δὲ γλυκασμὸς τῶν ἐπὶ ταύταις λόγων,
Ἐν οἷς ἀτεχνῶς ἀσλείζῃ ϖρὸς χάριν·
Σήμαντρα δή σοι ταῦτα Φιλοσλοργίας [4],
* Ἄνερ μεγαλόδωρε [5] καὶ ϖλωχοτρόφε.
Τίς ἄρα τὸν σὸν οὐκ ἐθαύμασε τρόπον,
Κἂν ᾖ ϖονηρὸς, κἂν δυσαίσθητος [6] μένοι,
Κἂν βάσκανον ϖῦρ τὴν ψυχὴν τούτου Φλέγῃ
Παραῤῥίπισθὲν ἐκ τιμῆς ἀλλοτρίας;
Τίς ἡλίου ϖρόσλαμψιν [7] εἰς μεσημβρίαν
Χειρὸς ταπεινῷ συσκιάσει δακτύλῳ;
Τίς μετρίᾳ κύλικι Θαλάτλης χύσιν,
Τίς ἀέρος δύναμιν ὀσλράκου σκέπῃ,
Τίς Φύλλα Φυτῶν ἐξ ἑνὸς βαλαντίου,
Τίς ψάμμον ὑγρᾶς ἐν μιᾷ ϖροκολπίδι [8],
Τίς καὶ σὲ τὸν κάλλισλον ἀνθρώπων Φθόνος

[1] Metaphor. Infra CCXVI, 6 : Καὶ ϖαραγυμνοῖς τὴν σλομωθεῖσαν σπάθην. Cod. Flor. XLI, 9 : Καὶ ϖαραγυμνῶ τῆς ψυχῆς μου τὸν ϖόθον.

[2] Cod. Par. CCXVIII, 9.

[3] Cod. ϖρομηθεύς.

[4] Conf. cod. Flor. CXLIV, 7.

[5] Cf. cod. Par. 1, 13.

[6] Cod. Par. LVIII, 51 : Κἂν δυσαίσθητος μένω. Cf. et XCIII, 6.

[7] Cf. cod. Flor. CXXIV, 18.

[8] Vox addenda lexicis.

Ακαδημία Αθηνών / Academy of Athens

Κρύψει τοσοῦτον ὄντα Φαυλίσας τάχα;
Ἄλλοις μὲν οὖν ἄχαρις ὁ δρομεὺς χρόνος
Οἷς κέρδος οὐδὲν ἁπλανῶν[1] βίος φέρει,
Πλουτοῦσι καὶ τρυφῶσι καὶ γαυρουμένοις·
Ἡ σὴ δὲ καινὴ καὶ δυσεύρετος Φύσις,
Ἐπὶ τὸ κοινῇ συντελοῦν δεδειγμένη,
* Τὴν ϖαραγωγὴν βελτιοῖ τῶν ϖραγμάτων.
Ἀνθίσλαται δὲ τῇ μετάρσει τοῦ χρόνου
Τῶν σῶν ἀγαθῶν ἡ ϖροκόπλουσα χάρις[2].
Ὅλως γὰρ οὐδέν ἐσλιν ἀνθρώποις μέγα
Καὶ κρεῖτλον ἁπλῶς τῶν κατὰ Φύσιν λόγων,
Ὃ μὴ κατορθοῦν ὡς τὸ ῥᾷσλον ἰσχύεις·
Ὦ νοῦς ἀποχρῶν εἰς τὸ δεῖξαι τὴν Φύσιν
Ἣν εἶχεν Ἀδὰμ ἐκ Θεοῦ ϖεπλασμένος
Πρὸ τῆς ϖονηρᾶς ἐκτροπῆς τῆς ἐν ξύλῳ!
Ὦ καρδίας ἄπειρον εἰς ϖάντα ϖλάτος,
Ὃ ξύμπαν ἁπλῶς ἀρετῆς εἶδος Φέρει,
Τὰ τῶν ϖαλαιῶν συγκαλύψαν ϖρακτέα!
Τίς ἦν Ἀχιλλεὺς ϖρὸς τοσοῦτον ὁπλίτην;
Τίς ἦν Ὀδυσσεὺς ϖρὸς τοσοῦτον ἀγχίνουν;
Ὅμηρε Θανὼν καὶ σιγῶν καταισχύνου·
Καινὸν γὰρ οὐδὲν εἰς τὸ μέλλον εἰργάσω,
* Μυρμιδόνας δή τινας ἡμῖν ἐκΦράσας
Ἐφ' οἷς Ἀχιλλεὺς τακτικῶς ἐγαυρία·
Ναὶ κρύπλε σαυτὸν εἰς μυχοὺς γῆς ἐσχάτους
Τῆς σῆς καταγνοὺς συγγραΦῆς ἀχρησλίαν·
Ὁ γὰρ ϖαρ' ἡμῖν τοῦ σλρατοῦ ϖρωτοσλάτης
Ὁ λαμπρὸς Ἀνδρόνικος, ὁ χρυσοῦς γίγας,

[1] Leg. ὁ ϖλανῶν. Cf. infra CCLI, 1. — [2] Cod. χάρις et supra σλάσις.

Ὁ νοῦς ὁ ϖυκνὸς, ἡ Θεόσδοτος[1] χάρις,
Τὸ Θαῦμα τῆς γῆς, ὁ σΦαγεὺς τῶν βαρβάρων,
Παρῆλθε τοὺς σοὺς ἀκριβῶς ἀρισλέας.
Ἀλλ', ὦ σlρατηγὲ δεξιῶν ἔργων Φύσις,
Χρυσαῖς ἔδει σlήλαις σε κοσμεῖν τὸν μέγαν
Ἕως ϖόλου κάτωθεν ἡρμέναις τρίτου,
Καὶ ϖᾶσαν ἁπλῶς ἐκδιδάξαι τὴν κτίσιν
Ὡς ἐκ βρέΦους[2] ἔδειξας ἀνδραγαθίας.
Ἥρακλες ἀπρόσιτε, Θερμὲ γῆς Ἄρες,
Ἀλλ' οὐκ ἐπαινεῖς τὸν χρυσὸν ϖρὸ τῶν λόγων,
Ἐν οἷς σε Φιλῆς εὐπραγοῦντα σεμνύνει·
Ποίας γὰρ ἡμῖν συμΦορὰς ἀποκρύΦους
* Οὐχ ὡς μαχητὰς ἐκδιώκεις αὐθάδεις,
Ῥιπlῶν ἐπ' αὐτοὺς τὰ χρυσόσμηκτα[3] ξίΦη;
Τlνας δὲ ϖικροὺς καὶ δριμεῖς αὖθις ϖόνους
Ὁ σὸς γλυκασμὸς οὐκ ἀΦίσlησι Φθάνων;
Πλὴν ζῆθι νικῶν εὐτυχῶς τοὺς βαρβάρους
Καὶ χαῖρε λαμπρῶς καὶ κροτοῦ καὶ Φαιδρύνου,
Γέροντας ἀθρῶν εὐκλεεῖς τοὺς Φιλτάτους,
Καὶ τέρπε τοὺς σοὺς τοῖς καλοῖς ἔργοις Φίλους,
Καὶ τῶν λόγων τὸ δῶρον ἀσμένως δέχου.

CCXIV. Εἰς σπάθην τοῦ αὐταδέλΦου[4] τοῦ αὐτοκράτορος.

Θεοῦ μὲν ἰσχὺς τὴν ἐμὴν τείνει σπάθην,
Ἐγὼ δ' ὑπουργῶ ϖρὸς τὸν ἐν μάχαις ϖόνον.
Στερῤῥὸς γὰρ οὐδεὶς, οὐδὲ Θαρσῶν ὁπλίτης,
Εἰ μὴ κατ' ἐχθρῶν ἡ Θεοῦ Φθάνοι σπάθη.

[1] Cod. Par. LXI, 175 : Εἰς Θεόσδοτον χάριν.

[2] Cf. cod. Flor. I, 346.

[3] Cod. χρυσόσμικτα. Vox addenda lexicis.

[4] Cf. infra CCXXXIV.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

CCXV. Ὅμοιοι.

Τομὸν κατ' ἐχθρῶν δυσσεβῶν ὅπλον φέρων
* Ἔχοιμι τὴν ἄνωθεν ἰσχὺν ἐν μάχαις·
Χωρὶς γὰρ αὐτῆς, οὐδὲ τὸ ξίφος, ξίφος,
Ἀλλ' ἄχθος ἀργὸν εἰς ϖερίσϛασιν φόβου.

CCXVI. Ὅμοιοι.

Ἐζωσμένος μέν εἰμι ῥομφαίαν τάχα,
Θεοῦ δὲ χωρὶς εὐτυχεῖν οὐκ ἰσχύω·
Ναρκᾷ γὰρ ἡ χεὶρ· εἰ δὲ ϖαρὼν Θαῤῥύνοι,
Οἱ δυσμενεῖς οἴχεσθε, Σαμψὼν ἐνθάδε.

CCXVII. Πρὸς τὸν Δομέσϛικον τὸν Ἀτζύμην.

Τί τοῦτο ναρκᾷς[1]; ἀλλὰ μὴν οὔπω ψύχος,
Οὐ μὰ τὸ τῆς ἐμῆς σε[2] καρδίας ἔαρ,
Ὃ τῷ ϖαρατρέχοντι μὴ ῥεύσαις[3] χρόνῳ·
Πλὴν ἄλας ἡμῖν καὶ κριθὰς ἔχων δίδου.

CCXVIII. Τῷ μεγάλῳ σϛρατοπεδάρχῃ διὰ κριθήν.

Πρὸ τοῦ Θέρους ἄμοχθον εἰ δώσεις Θέρος,
Πυρούς ϖαρασχὼν καὶ κριθάς μοι τῷ ξένῳ,
* Καὶ βαρβάρων ἄμοχθον ἐργάσῃ Θέρος,
Περσεῦ, Θερισϛὰ δυσμενοῦς ϖανσπερμίας.

CCXIX. Ἐπίγραμμα εἰς[4] τὸν ναὸν ὃν ᾠκοδόμησεν ἡ τοῦ ϖρωτοσϛράτορος[5] σύμβιος, ἀποθανόντι τῷ ἀνδρὶ αὐτῆς.

Ἡ μὲν διὰ σοῦ ϖᾶσα τῶν ὄντων Φύσις

[1] Cod. ναρκᾷ.

[2] Fort. γε pro σε? Nam ἱκνοῦμαι sive ἱκετεύω, ut alias, hic suppleri non potest, ob negationem in principio versus.

[3] Leg. ῥεύσαι.

[4] Εἰς τὸν ζωσϛῆρα τοῦ ἐπ' αὐτῷ οἰκοδομηθέντος ναοῦ cod. Par. 12 v°.

[5] Martha uxor erat protostratoris Michaelis Glabæ. Vid. infra, ccxxiii, titulum ex cod. Flor.

Ακαδημία Αθηνών / Academy of Athens

Οὐ δύναται χωρεῖν σε τὴν ϖρώτην Φύσιν·
Πληροῖς γὰρ αὐτὴν, ἀλλὰ καὶ ϖλείων μένεις [1],
Θεοῦ Λόγε ζῶν, καὶ δρακὶ τὸ ϖᾶν Φέρων,
Κἂν σὰρξ ἀληθὴς εὑρεθεὶς ϖεριγράφῃ,
Ψυχαῖς δὲ ϖισταῖς μυστικῶς ἐνιδρύῃ [2],
Μονὴν [3] σεαυτῷ ϖηγνύων ἀθάνατον.
Οὐκοῦν δέχου τὸν οἶκον ὃν τέτευχά σοι
Δεικνύντα σαφῶς τῆς ψυχῆς μου τὴν σχέσιν·
Τὸν σύζυγον δὲ Φεῦ τελευτήσαντά μοι
Καὶ τῆς χοϊκῆς ἀπαναστάντα [4] στέγης,
* Οἴκισον εἰς ἄφθαρτον αὐτὸς ϖαστάδα·
Κἀνταῦθα τηρῶν τὴν σορὸν τοῦ λειψάνου,
Μή τις ἐνεχθῇ συντριβὴ τοῖς ὀστέοις.
Πρωτοστράτορ, καὶ ταῦτα σὴν δήπου χάριν
Ἡ σύζυγος ϖρὶν, ἀλλὰ νῦν Μάρθα [5] γράφει.

CCXX. Εἰς τρεῖς μάρτυρας ἐκ ϖροσώπου τινὸς Τζιμισχῆ.

Ἐγὼ μὲν ὑμᾶς τῆς ψυχῆς γράψας μέσον
Καὶ νῦν μεταξὺ τῆς στοᾶς ταύτης γράφω·
Ὑμεῖς δέ με γράφοιτε τῶν ζώντων μέσον,
Φησὶ Τζιμισχῆς τῇ τριάδι τῶν τύπων.

CCXXI. Τῷ μεγάλῳ στρατοπεδάρχῃ.

Οὐρανὲ βροντῶν ἐκ νεφῶν ϑεοδρόσων [6],
Αὐχμὸν ϖονηρὸν ἐξ ἀναργύρου ϖυίγους
Ἢ λῦσον ἡμῖν, τὸν χρυσοῦν ὄμβρον [7] χέας,

[1] μένοις cod. Esc.
[2] ἐνιδρύνῃ cod. Esc.
[3] μόνον cod. Esc.
[4] Cod. Flor. xcv, 93.
[5] Infra cxxiii, 23.
[6] Cf. supra clxxxiv. 1.
[7] Cod. Flor. 1, 94 : Ἀργυροῦς ὄμβρους χέων.

Ακαδημία Αθηνών / Academy of Athens

Ἢ δεῖξον ἀμβλύν· οὐ βραχὺς γὰρ ὁ χρόνος·
Ἢ δὸς τὸν ἀτμὸν δαψιλῆ τῶν ἐλπίδων,
* Ὡς ἂν[1] τὸ λυποῦν εὐμενεῖ[2] σβέσῃ δρόσῳ.

CCXXII. Εἰς κάνδηλαν ἀφιερωθεῖσαν τῇ Θεομήτορι.

Ἄσβεσλε λαμπὰς, ἀργυροῦν λύχνον δέχου·
Χρυσῆ γὰρ εἶ σὺ, καὶ τὸ φῶς τὸ σὸν μέγα,
Δι' οὗ τὸ βαθὺ τῆς ἀρᾶς ἤρθη σκότος,
Φωτισλικὴν[3] χέαντος ἀνθρώποις χάριν.
Καὶ λῦσον ἁγνὴ τῆς ψυχῆς μου τὸν ζόφον
Πηγήν σε φωτὸς εὐτυχοῦντος[4] ἐν βίῳ·
Φοβεῖ γὰρ ἡ νὺξ τῶν παθῶν με, παρθένε,
Τὴν μυσλικὴν εἴργουσα λαμπάδα βλέπειν.
Τὸ γοῦν σλέαρ φέρουσα τῆς εὐσπλαγχνίας
Τερασλίων ἔλλαμψιν ὑπάναπλέ[5] μοι,
Καὶ γνώσεως φῶς ταῖς ἐμαῖς δίδου τρίβοις.

CCXXIII. Ἐκ[6] προσώπου τῆς πρωτοσλρατορίσσης, εἰς τὸν κοσμήτην τοῦ ναοῦ ὃν ᾠκοδόμησεν ἐπὶ θανόντι τῷ ἀνδρὶ αὐτῆς.

* Ἄνερ τὸ φῶς, τὸ πνεῦμα, τὸ πρόσφθεγμά μου·
Καὶ τοῦτό σοι τὸ δῶρον ἐκ τῆς συζύγου.
Σὺ μὲν γὰρ ὡς ἄγρυπνος ἐν μάχαις λέων
Ὑπνοῖς[7] ὑπελθὼν ἀντὶ λόχμης τὸν τάφον.
Ἐγὼ δέ σοι τέτευχα πετραίαν σλέγην,

[1] Fort. ὃς ἄν.
[2] Cod. εὐμενῆ.
[3] Eustath. *Opusc.* p. 258, 87 : Βασιλικῷ καὶ φωτισλικῷ χρίσματι.
[4] Prius erat ἐντυχοῦντος.
[5] Cod. Par. CXCIV, 4.
[6] Ἐπιτύμβια εἰς τὸν πρωτοσλράτορα τὸν Γλαβᾶν, ὡς ἀπὸ τῆς αὐτοῦ γυναικός cod. Mon. fol. 102. Εἰς τὸν πρωτοσλράτορον (sic) τὸν Γλαβᾶν ὡς ἀπὸ τῆς αὐτοῦ γυναικὸς ἐπιτύμβιοι cod. Flor. 224 v°, versus XXII, si recte numeravit Bandini.
[7] Cod. Esc. ὕπνος.

Ακαδημία Αθηνών / Academy of Athens

Μὴ πάλιν εὑρὼν ὁ στρατός σε συγχέῃ,
Κἂν δεῦρο τὸν χοῦν ἐκτινάξας ἐκρύβης,
Ἢ τοῦ πάχους ῥεύσαντος ἡρπάγης ἄνω,
Πᾶν ὅπλον ἀφεὶς ἐκκρεμὲς τῷ πατλάλῳ[1].
Τὰς γὰρ ἐπὶ γῆς ἐβδελύξω πασπάδας,
Ἐν εὐτελεῖ τρίβωνι φυγὼν τὸν βίον,
Καὶ πρὸς νοητοὺς ἀντετάξω σατράπας
Στερρὰν μετενδὺς ἐκ θεοῦ παντευχίαν.
Ὡς ὄστρεον γοῦν[2] ὀργανῶ σοι τὸν τάφον
Ἢ κόχλον, ἢ κάλυκα κεντρώδους βάτου,
Μάργαρέ μου, πορφύρα, γῆς ἄλλης ῥόδον·
Εἰ καὶ τρυγηθὲν ἐκπιέζῃ τοῖς λίθοις,
* Ὡς καὶ σταλαγμοὺς προξενεῖν μοι δακρύων·
Αὐτὸς δὲ καὶ ζῶν, καὶ θεὸν ζῶντα βλέπων,
Ὡς νοῦς καθαρὸς τῶν παθῶν τῶν ἐξ ὕλης,
Τὸν σὸν πάλιν θάλαμον εὐτρέπιζέ μοι.
Ἡ σύζυγος πρὶν ταῦτά σοι Μάρθα[3] γράφει,
Πρωτοστράτορ κάλλιστε καὶ τεθαμμένων[4].

τεθαμμένῳ Kurtz, BNJ 1, 54

CCXXIV. Αὐθωρὸν εἰς τὸν λόγον τὸν εἰς τὸν ἅγιον Κορνήλιον[5].

Θεοῦ Λόγον πάσχοντα σαρκικῶς βλέπων
Κορνήλιος πρὶν μυστικῶς ἐδυσφόρει·
Κἂν γὰρ ὁ σεισμὸς βάθρον ἦν τούτῳ ξένον,
Οὗ τῆς ψυχῆς ἔπηξεν εὐθὺς τὰς βάσεις·
Ἀλλ' οὖν δεδοικὼς τοὺς θρασεῖς ἐκαρτέρει·
Ἐς ὕστερον δὲ γίνεται μάρτυς μέγας,
Θεὸν καθαρῶς τὸν παθόντα δεικνύων

[1] Hom. *Od.* Θ, 67.
[2] Cod. Esc. *οὖν*.
[3] Cf. supra CXIX, 16.
[4] Cod. Mon. *τεθαμμένε*.
[5] De S. Cornelio conf. Fabric. X, p. 213.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γῆς ἑκατὸν ἀπολιπὼν ὁπλίτας,
* Τῶν ἀγγέλων σύνεσλι ταῖς μυριάσι·
Καθὼς ὁ ϖαρὼν ἐκδιδάξει νῦν λόγος,
Ὃν ἐξανασλὰς εὐλόγησον, δέσποτα.

CCXXV. Εἰς τὸν ἅγιον Νικήταν ἱππότην τρέχοντα.

Βαλὼν τὸν ἐχθρὸν τῶν ψυχῶν ὁ γεννάδας
Πρὸς τὰς ἀμοιβὰς εὐτρεπὴς ἤδη τρέχει·
Διψᾷ γὰρ ἐλθεῖν ἐκ ϖυρός τε καὶ ξίφους
Οὗ τέρπεται ζῶν ὁ σλρατὸς τῶν μαρτύρων.

CCXXVI. Εἰς[1] τὸν μέγαν Γεώργιον ὡπλισμένον καθήμενον ϖρὸ τῆς ϖόλεως, καὶ τὴν σπάθην ἡμίγυμνον[2] ἕλκοντα.

Τῆς μαρτυρικῆς συμπλοκῆς ϖεπαυμένης,
Ἐν ᾗ τὸν ἐχθρὸν τῶν ψυχῶν κατειργάσω,
Ἐπὶ σχολῆς ἔμφροντις εὑρέθης ϖάλιν.
* Ὡς γὰρ Φύλαξ ἄγρυπνος ὡπλίσθης, μάκαρ,
Καὶ νῦν ἐπ' αὐτῆς τῆς καθέδρας Φαιδρύνῃ,
Καὶ ϖαραγυμνοῖς[3] τὴν σλομωθεῖσαν σπάθην
Θαρσῶν κατ' ἐχθρῶν ἐξ ἀπόπλου[4] δυσμάχων[5].

CCXXVII. Εἰς ναὸν τοῦ σωτῆρος Χρισλοῦ.

Ἀνάκτορον δὴ τοῦ Θεοῦ τοῦτο, ξένε·
Καὶ σὺ ϖροελθεῖν ϖρὶν καθαρθῆναι Θέλεις;

[1] Hoc epigramma iterum infra fol. 85 v°.

[2] Eustath. *Opusc.* p. 187, 58 : Ὡς ἐὰν μὴ κατάΦρακτός τις ἦν, ἀλλὰ ψιλὸς, ἢ καὶ ἡμίγυμνος. Id. 268, 82 : Πολλοῖς δὲ καὶ ἡμιγύμνοις ἔτι τὸ κακὸν τοῦτο Θηρίον ἐνεΦύετο. Leo Philos. cod. Par. 2075, fol. 408 v° : Αὐχμῶν καὶ ῥυπόων (non mutanda forma homerica) καὶ ἡμίγυμνος καὶ ἀλείτης (leg. ἀλήτης). Conf. Joann. Euchaït. 77.

[3] Cf. supra CCXIII, 192.

[4] Cod. A. ἐξαπόπλου.

[5] Cf. cod. Par. IX, 38.

Γνῶθι σεαυτὸν[1], μὴ ϖροβῇς ἀναξίως·
Ὁ γὰρ ἐν αὐτῷ καὶ ψυχῶν βάθος βλέπει.

CCXXVIII. Εἰς ἀνώφλιον[2] ἐκ μαρμάρου ῥαγέντος, καὶ σιδήρῳ δεθέντος.

Σταυρούμενος μὲν σαρκικῶς ὁ δεσπότης
Ἐῤῥήγνυ διχῇ τοῦ ναοῦ ϖρὶν τὴν σλέγην.
Τυπούμενος δὲ κατὰ τὴν νέαν χάριν
Τὰ τοῦ δόμου τμήματα συνδεῖ τοῖς λίθοις.

* CCXXIX. Τῷ διαφερόντως ὑπερφυεῖ κυρ. Ἰσαάκ.

Σὺ μὲν διαπλεῖς τὸν βυθὸν τῶν ϖραγμάτων
Σοφῶς[3] κυβερνῶν τῆς ψυχῆς σου τὸ σκάφος.
Τῶν ϖράξεων γὰρ εὐτυχεῖς τὰς ἀγκύρας
Καὶ ταῖς ἀγωγαῖς τῆς ῥοῆς ἀντιτρέχεις.
Πτερούμενος δὲ τῶν Φρενῶν τοῖς ἱσλίοις[4],
Ὅταν λόγον[5] ζέφυρον ἡ γλῶτλα ϖνέῃ,
Τοὺς τῶν φίλων κλύδωνας ὠθεῖς ἐκ μέσου
Καὶ τέρψεων φῶς αἰθριάζων[6] ἐγχέεις,
Τὰ ψυχρὰ καὶ δάκνοντα φαυλίζων ϖάθη.
Ἐγὼ δὲ τῷ ϖλῷ συσχεθεὶς τῶν Φροντίδων,
Ὡς τῆς ψυχικῆς ἐκλυθείσης ϖορθμίδος,
Καὶ τὰς ἀγαθὰς ἐκροφήσας ἐλπίδας
Εἰς ϖραγμάτων λαίλαπας[7] ἀντισυσλρόφους[8],
Πρὸς τὸν κυβερνήτην σε τὸν μέγαν βλέπω.

[1] De illo dicto vide Fabric. ad S. Empir. p. 424 et quæ attulit Boisson. ad Procli *Hymnos* p. 22 et in *Anecd. gr.* I, p. 127.

[2] Cod. ἀνώφλυον.

[3] Idem versus supra CLXXXII, 4.

[4] Cf. cod. Par. LIX, 59.

[5] Leg. λόγων. Cod. Flor. XLIII, 11: Τόδε ξένον ζέφυρον ἐμπνεύσας λόγων. Cod. Par. LIX, 33 et CLVII, 5, ubi ζέφυρον ἐλπίδων.

[6] Fort. αἰθριάζον.

[7] Cod. λέλαπας. Cf. cod. Fl. CXI, 60.

[8] Cf. cod. Flor. II, 21.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γὰρ ὁ λιμὴν[1] τῶν ἐμῶν ἐφολκίδων
Ἐπαγγελιῶν ἐκκενοῖ μοι ϖροσχύσεις[2],
Καὶ συγχυτικοῖς ἐκταράττει με ψόφοις.
Ἔμπνευσον, ὦ ζέφυρε κοινῆς αἰθρίας,
* Καὶ λῦσον ἡμῖν τὴν ἐν ἠπείρῳ ζάλην,
Ὡς νοῦς καθαρὸς καὶ Θεόσδοτος[3] φύσις·
Σὺ γὰρ ἀτεχνῶς ἀντὶ ϖάντων ἀρκέσας,
Ὅσους ὁ μακρὸς ἐξ Ἀδὰμ εἶδε χρόνος,
Ἔδειξας ἥνπερ ἔσχε τιμὴν ἡ ϖλάσις
Πρὶν τὸν καθ' ἡμῶν εἰσβαλεῖν ἄφνω φθόνον.

CCXXX. Τῇ βασιλέως ἀνεψιᾷ τῇ Καντακουζηνῇ[4].

Οὐδέν τι καινὸν, οὐ[5] τρυγὼν, οὐ χρησιότης,
Εἴπερ τὰ μητρὸς καὶ τὰ συγγόνου δράσεις
Πρὸς ἄνδρα κοινὸν, εἴγε δεῖ λέγειν, φίλον·
Οὐκοῦν σεαυτὴν ϖροσφυῆ τούτοις δίδου·
Καὶ δεῖξον αὐτοὺς μὴ ϖαρόντας ἐνθάδε,
Τὸν ἀργυροῦν ἔρανον εἰσφέρουσά μοι·
Ποῖον γὰρ ἁπλῶς οὐκ ἐσέμνυνας γένος;
Ὦ σωφροσύνης ὄλβε, χαρίτων ϑίβη,
Φρονήσεως ἄγαλμα[6] λαμπρὸν ἐκ βρέφους,
Δικαιοσύνης κῆπε, λειμὼν[7] ἀνδρίας.

[1] Fort. ὁ ϖοιμήν. Æsch. *Suppl.* 780: Ναῶν ϖοιμένες. Cf. *Thesaurum*, t. VI, col. 1320 A. De hac confus. vid. supra CLXXXIX, 1.

[2] Metaphor. supra CXCI, 65 : Τῶν σῶν ἐφ' ἡμᾶς δωρεῶν τῇ ϖροσχύσει. Id. CXLVII, 7 : Τῶν μαρτυρικῶν αἱμάτων τῇ ϖροσχύσει. Male cod. Escur. ϖροχύσει.

[3] Cf. cod. Par. VI, 31.

[4] Cod. Κατακουζηνῇ.

[5] Pro οὐ — οὔ quivis exspectabit ὦ — ὦ. Haud dubie lapsus est librarius.

[6] Eunapius (p. 21) Socratem vocavit ϖεριπατοῦν ἄγαλμα σοφίας. Conf. ibi nota p. 206.

[7] Conf. cod. Flor. CXXXIV, 10.

Ακαδημία Αθηνών / Academy of Athens

* CCXXXI. Ἐκ[1] προσώπου τοῦ Ῥαδηνοῦ εἰς τὸν ναὸν, ὃν ἐθεμελίωσε μὲν ὁ πατὴρ αὐτοῦ, ἐξεπλήρωσε δὲ αὐτός.

Τοῦτον, θεατὰ, τὸν σεβάσμιον δόμον,
Ὃν ἄγγελοι κυκλοῦσιν ὡς θεοῦ θρόνον,
Ὁ μὲν πατὴρ κάτωθεν ἐσλήριξέ μοι,
Τὸν τῆς ψυχῆς δήπουθεν ἀκμαῖον πόθον,
Ὡς εἰς κιβωτὸν ἐμβαλών τινα τρόπιν[2],
Ὡς ἂν μεταξὺ τῆς ῥοῆς[3] τῶν πραγμάτων,
Τῆς τοῦ βίου λαίλαπος[4] ἀγριουμένης,
Ἀφ' ἑσλίας ἔχοιμι τὴν σωτηρίαν.
Ἐγὼ δὲ πατρὸς εὐσεβῆ σλέρξας πόνον,
Ὃν καὶ προελθεῖν οὐκ ἀφῆκεν ὁ χρόνος,
Ἐκεῖνον εὐθὺς ἐκτεμὼν[5] τῆς ἐλπίδος,
Εἰς τοῦτο δὴ τὸ σχῆμα κατεσλησάμην,
Ὡς ἂν ὁ πατὴρ ἐλλιπὲς μηδὲν φέρῃ,
Πληροῦντος αὐτῷ τὸν σκοπὸν τοῦ φιλτάτου.
Καὶ νῦν ἔχω τὸν οἶκον ἀσφαλῆ σκέπην
* Εἰς ἐκγόνων ὕπαρξιν, εἰς λύσιν πόνων[6].
Ἐπεὶ πρὸς αὐτὸν τὸν θεάνθρωπον Λόγον
Τὸ πᾶν ἔχω σπούδασμα λαμπρῶς ἱδρύσας.

CCXXXII. Τῷ μεγάλῳ σλρατοπεδάρχῃ.

Εἰ συνασιτεῖ[7] καὶ τὰ βοσκήματά μοι,

[1] Εἰς τὸν ζωσλῆρα τοῦ ναοῦ τοῦ Ῥαδηνοῦ cod. Par. 13 r°. Fort. idem Rhadenus de quo Theodor. Hyrtacen. *Not. des mss.* t. VI, p. 3.

[2] Cod. Esc. τρόπον.

[3] Conf. supra CLXIX, 19 et cod. Flor. LXXIX, 2.

[4] Cod. Paris. LXX, 4 : Τῆς τοῦ βίου λαίλαπος εὐθὺς ληξάσης. Cf. cod. Flor. CXI, 60.

[5] Aliter Joann. Chrys. *Opp.* t. I, p. 2 C : Μηδὲ τὰς χρησλὰς ἐλπίδας ἐκκόψῃς. *Ibid.* p. 3 A : Ἵνα ἐκκόψῃ τὴν ἐλπίδα τὴν πρὸς τὸν Θεόν.

[6] Cf. cod. Flor. XVII, 5.

[7] Vox addenda lexicis.

Ακαδημία Αθηνών / Academy of Athens

Νινευίτης σός εἰμι, καὶ μὴ θαυμάσῃς·
Πλὴν, ὦ στρατηγὲ, καὶ ψυχὰς κτηνῶν τρέφε·
Τὸν γὰρ Φιλῆν ἔθρεψεν ἡ σὴ χρηστότης.

CCXXXIII. Τῇ βασιλέως ἀνεψιᾷ τῇ Συργιανίνῃ, διὰ τὸν οἶνον[1].

Τὴν ἄμπελον θεοῦ σε τὴν πολυχοτρόφον
Τὸ γλεῦκος αἰτῶ καὶ πιεῖν θᾶττον θέλω·
Τὰς γὰρ στάφυλας εὐτυχεῖς τῶν πρακτέων,
Αἳ τὴν τρύγην ἔχουσιν εἰς πάντα χρόνον.

CCXXXIV. Τῷ[2] αὐταδέλφῳ τοῦ αὐτοκράτορος εἰς τὴν Μονεμβασίαν ἀπαίροντι.

Εἰ μὲν παρὼν ἔθαλπες ἡμᾶς, Φωσφόρε,
Τί χρῆν ἐπαιτεῖν[3] καὶ στολὴν ὑφασμένην;
* Ἐπεὶ δὲ κινεῖς τὴν πυρὰν πρὸς ἑσπέραν,
Τῇ γε ζέσει θάλψον με τῶν σῶν ἀμφίων.

CCXXXV. Τῷ Δομεστίκῳ τῶν σχολῶν[4] τῷ Λάσκαρι Κομνηνῷ.

Ἡ χώρα τῆς σῆς καλλικάρπου[5] καρδίας
Ὅταν φιλικὴν ὑποδέξηται δρόσον[6],
Ἣν οἱ λόγοι βλύζουσι τῆς εὐστοργίας,
Πυροὺς γεωργεῖ καὶ κριθὰς ἱπποτρόφους,
Καὶ κλήματος δὲ μὴ προσόντος ἀμπέλου,

[1] Cf. supra cc.

[2] Cod. Par. fol. 204 v° : Τῷ δεσπότῃ κυρῷ Κωνσταντίνῳ.

[3] Cod. Esc. ἀπαιτεῖν.

[4] Δομέστικος τῶν σχολῶν, *Domesticus scholarum* seu militiæ Palatinæ præfectus : de qua dignitate confer. Ducang. *Gloss.* v. Δομέστικος, col. 320.

[5] Strabon. XVI, p. 755 : Ὄρη γεώλοφα καὶ καλλίκαρπα. Id. p. 767; p. 809 : Ἐλαιόφυτός τε γὰρ μόνος ἐστὶ μεγάλοις καὶ τελείοις δένδρεσι καὶ καλικάρποις (leg. καλλικάρποις).

[6] Cod. Flor. 1, 210 : Τὸ πῦρ τόδε σβέννυσιν εὐνοίας δρόσῳ. Cod. Paris. I, 79 : Τὴν δρόσον τῆς εὐσπλαγχνίας.

Ακαδημία Αθηνών / Academy of Athens

Οἶνον χύδην κίρνησι τοῖς εὐνουσλέροις.
Καὶ ϖάμφορον[1] γῆν τὴν ψυχήν σου δεικνύεις,
Τὸν Νεῖλον αὐχῶν[2] τῶν φρενῶν τῶν ὀλβίων·
Οὐ γὰρ ἔχει ϑλίβουσαν ἡ βλάσλη κνίδην,
Κλεινὲ σλρατηγὲ τῶν σχολῶν Δομέσλικε.

CCXXXVI. Πρὸς τὸν ϖανευτυχέσλατον[3] δεσπότην κυρ. Κωνσλαντῖνον[4].

Κύων ἐγὼ σὸς, καὶ γλυκὺς σὺ δεσπότης·
* Οὐκοῦν ὑλακτῶ, καὶ φαγεῖν ζητῶ κρέα[5].
Λεοντόθυμε[6] σκύμνε, τὸν κύνα τρέφε·
Θρέμματα γὰρ ϑηρᾶν σέ φασι δυσμόθεν[7].

CCXXXVII. Εἰς[8] τὰς ἐν τοῖς βασιλείοις εἰκόνας τῶν ἀρετῶν.

Ἂν χρωματουργῇς τὸν βασιλέως τρόπον,
Τί δὴ μόνον τέλλαρας ἀρετὰς γράφεις;
Εἰ δ' οὐκ ἐφικτὸν καὶ τὰς ἐκ τούτων γράφειν,
Τί τοῦτον αὐτὸν ἀντὶ ϖασῶν οὐ γράφεις;
Κἂν οὐδὲ τοῦτον ἀκριβῶς ἔχῃς[9] γράφειν,
Κενοὺς[10] τύπους νόμιζε, τεχνίτα, γράφειν.

[1] Strabon. XVI, p. 755 : Διαῤῥεῖται δὲ ϖοταμοῖς ἄρδουσι χώραν εὐδαίμονά τε καὶ ϖάμφορον. Id. XVII, p. 826 : Μεγαλόδενδρός τε καὶ ϖολύδενδρος ὑπερβαλλόντως ἐσλὶ, καὶ ϖάμφορος.

[2] Infra CCXLVII, 10 : Τὴν φύσιν αὐχῶν ἀντὶ τῆς εὐτεχνίας.

[3] Catal. mss. biblioth. Coisl. p. 105 : Τοῦ τε ϖανευτυχεσλάτου σεβασλοκράτορος. Conf. quoque *Libr. pontific.* p. 759 A.

[4] Editum ad calcem Proœmii Arsenii in carmen Philæ *De eleph.* sed ἀνεπίγραφον.

[5] Arsen. βρῶμα.

[6] Ars. ἄναξ λεοντόθυμε.

[7] Ars. male σε βλέπω βαρβάρων. Voce δυσμόθεν utitur Tzetzes, *Allegor. Il.* Θ, 166 : Οὓς ἆθλους ἀπεργάζεται, τρέχων οἰκείους δρόμους Δυσμόθε ϖρὸς ἀνατολὰς, τῆς σφαίρας ἐναντίως. Jo. Diac. ap. Bandin. *Catal.* t. I, p. 375 v. 154 : Ἥλιος ὅτι χαροπὸς δυσμόθεν ἀντανίσχεις.

[8] Cod. Par. 67 v° et cod. Fl. 112 : Εἰς τὰς ἐν τοῖς ἀνακτόροις ἀρετάς.

[9] Cod. Par. ἔχοις.

[10] Cod. Esc. καινούς.

Ακαδημία Αθηνών / Academy of Athens

CCXXXVIII. Ἕτεροι[1].

Ἐρᾷ βασιλεὺς, νυμφαγωγεῖ ζωγράφος·
Ἰδοὺ καλαὶ τὴν ὥραν, ἰδοὺ παρθένοι.
Αἱ παρθένοι τέσσαρες, εἷς ὁ νυμφίος.
Ὁ γάμος ἁγνὸς, εὐκλεεῖς αἱ παστάδες.

CCXXXIX. Ἕτεροι[2].

Οὐκ ἦν Θεμιτὸν ἀρετὰς εἴ που γράφεις[3]
* Μὴ καὶ τὸν αὐτάναχτα πρὸς ταύταις γράφειν.
Πλὴν ὡς ὑφεσίως ἀρετῆς οὗτος τύπος
Τὰς ἐμφάσεις παρῆλθεν, ὧ χεὶρ ζωγράφου.

CCXL. Ἕτεροι[4].

Οὐχ ὡς ἀλείπλας τῷ κρατοῦντι τοὺς τύπους
Ἔγραψεν εἰς μίμησιν ὁ σκιαγράφος·
Ἀλλ' ἵνα πᾶς ἄνθρωπος ἐντεῦθεν μάθοι
Ὅπως βασιλεὺς πρακτικῶς τούτους γράφει.

CCXLI. Εἰς[5] τὴν Φρόνησιν δεικνῦσαν τὴν ἑαυτῆς κεφαλὴν τῷ δακτύλῳ.

Τί δὴ, κόρη Φρόνησις, ἐξ εἰκασίας[6]
Αὐτὴ[7] σεαυτὴν δεικνύεις τῷ δακτύλῳ;
Δεῖξον τὸν αὐτάναχτα τῆς Ῥωμαΐδος,
Ὃς τὴν κεφαλὴν ὄργανον σὸν δεικνύει.

CCXLII. Ἕτεροι[8] εἰς τὴν αὐτήν.

Ἔδειξεν ἡ Φρόνησις ἀπὸ δακτύλου
Σοφῆς κεφαλῆς αὐτοδίδακτον[9] χάριν.

[1] Cod. Par. 67 v° : Εἰσλοαυτό.
[2] Cod. Par. 68 v° : Εἰσλοαυτό.
[3] γράφοις cod. Par.
[4] Cod. Par. 68 r° : Εἰσλοαυτό.
[5] Cod. Flor. 126 : Εἰς τὴν ἐν τοῖς ἀνακτόροις ἐζωγραφημένην Φρόνησιν.
[6] Cod. Flor. ἐξεικασίας.
[7] Cod. Esc. αὐτὴν sic.
[8] Sine titulo cod. Par. 194 v°.
[9] Constant. Diacon. apud Mai, *Spicileg. Roman.* t. X, p. 138 : Ἐπ' αὐτοδίδακτον τέχνην τὴν ὠμότητα τρέπονται.

Ακαδημία Αθηνών / Academy of Athens

CCXLIII. Εἰς[1] εἰκόνα τῆς Ἀνδρίας.

* Τὸ κατὰ ϖαθῶν τῆς ψυχῆς Θάρσος γράφων
Τὴν Ἀνδρίαν ὥπλισεν ὁ σκιαγράφος.

CCXLIV. Τῆς Δικαιοσύνης[2].

Οὐρανίας ϖλάσλιγγος εἰκόνα βλέπων
Τὰ ϖρακτέα σλάθμιζε τοῦ βίου, ξένε.

CCXLV. Τῆς Σωφροσύνης[3].

Καὶ βλέμμα σεμνὸν καὶ συνολκὴ[4] κρασπέδου
Τῇ Σωφροσύνῃ κόσμος, οὐ σλέφος μόνον.

CCXLVI. Εἰς εἰκόνα τοῦ βίου[5].

Ἡ γλυκύτης ἄνωθεν, ἡ φθορὰ κάτω·
Τί[6] δὴ μάτην κέχηνας, ἀνθρώπου Φύσις;
Σκόπει σεαυτὴν, μὴ τὸ νῦν γλεῦκος μόνον,
Μή ϖως ὁ μῦς κάτωθεν ἑσλῶς ἐν γνόφῳ
Ῥιζοτρυγήσῃ[7] τῆς ϖνοῆς τὸ δενδρίον,
Καὶ κατενεχθῇς εἰς δρακόντειον σλόμα,
Καὶ δαπανηθῇς, καὶ ῥυῇς ϖαρ' ἐλπίδας[8].
Τὸν[9] γὰρ ἄνω βλέποντα ϖικρότης μόνον,
Οὐχ ἡδύτης ἔδειξεν οὐρανοσκόπον.

Adverbium *αὐτοδιδάκτως* apud Marinum Procl. 4.

[1] Cod. Par. 194 v° : *Εἰς τὰς ἐν τοῖς βασιλείοις εἰκόνας τῶν ἀρετῶν.*

[2] Sine titulo cod. Par. 194 v°.

[3] Sine titulo cod. Par. 194 v°.

[4] Cod. Esc. *συνοχή.*

[5] Cod. Par. 231 r° : *Εἰς τὴν εἰκ.* Cf. titulum infra CCXLVIII, ubi hoc epigramma explicatur.

[6] Hic versus infra CCL, 1.

[7] Cod. Escur. *ῥιζοτραγήσῃ.* Vox addenda lexicis.

[8] Cod. Par. *ϖαρ' ἐλπίδα.*

[9] Hi duo versus 8 et 9 desunt in cod. Esc.

Ακαδημία Αθηνών / Academy of Athens

CCXLVII. Ἐκ[1] προσώπου τινὸς ἰατροῦ πρὸς τὸν μέγαν Λογαριασήν[2].

* Τοῖς μὲν κακῶς πάσχουσιν ἐξ ἀῤῥωσίας
Ἡμεῖς ἰατροὶ καὶ σκοποῦμεν τὰς νόσους,
Καὶ δυνάμεις κιρνῶμεν αὐταῖς φαρμάκων·
Καὶ τοὺς περιτίους ἐξορίζομεν πόνους·
* Ἡμεῖς δὲ φεῦ πάσχοντες ἐξ ἀσιτίας
Καὶ γαστρὸς οὐ σιέγοντες ἀῤῥήτους πόνους,
Ὁρῶμεν εἰς σὲ τὸν σοφὸν παθοκτόνον[3].
Τοῖς γοῦν ἰατροῖς εὑρεθεὶς σωτὴρ μέγας
Τὸ σιτοφυὲς ἀντιφάρμακον δίδου,
Τὴν φύσιν αὐχῶν ἀντὶ τῆς εὐτεχνίας[4].

* CCXLVIII. Εἰς[5] τὴν εἰκόνα τοῦ βίου ἥτις εἶχε δένδρον· ἐν ᾧ ἦν ἄνθρωπος χαίνων ἄνω, καὶ μέλι ἄνωθεν ἐπισπώμενος, κάτωθεν δὲ ὑπὸ μυῶν τὰς βάσεις τρυγώμενος.

Τὸν τύπον ἰδὼν τῆς σκιᾶς[6] τῶν πραγμάτων,
Ἄνθρωπε, διδάχθητι λανθάνον[7] τέλος.
Σὺ μὲν γὰρ ἑσιὼς ἡδονῆς τρυγᾷς μέλι[8]·
Σοῦ δὲ φθορεὺς κέχηνε τῇ πιώσει δράκων.

[1] Cod. Par. fol. 239 r°.

[2] Fort. Cocalas qui anno 1327 Magnus Logariastes erat. Conf. Cantacuz. I, 48. De hac dignitate vid. Ducang. *Glossar. med. græc.* s. v. Λογαριασιής. De eod. cf. cod. Par. CCXVII.

[3] Cod. Flor. XXIX, 21 : Ὁ χρυσοῦς παθοκτόνος. Cod. Par. 250, fol. 97 r° : Ἡ παθοκτόνος νησιεία. Cod. Par. 1062, fol. 124 r° : Ἡμεῖς οὐκ ἐδιδάχθημεν σωματοκτόνοι, ἀλλὰ παθοκτόνοι. German. Cpol. cod. Coisl. 278, fol. 200 v° : Οὐδὲ γὰρ ἀνθρωποκτονίαν διδάσκομεν, ἀλλὰ παθοκτονίαν ὑποτιθέμεθα. Conf. Theod. Stud. p. 497 C, et *Græc. Orth.* Quir. t. I, p. 240.

[4] C. Esc. αὐτὴν ἀντ' ἐπισιήμης ἔχων.

[5] Cod. Par. 193 v° : Εἰς τὸν ἐζωγραφημένον βίον.

[6] Cod. Flor. II, 5 : Δουλεύομεν γὰρ τῇ σκιᾷ τῶν πραγμάτων.

[7] Cod. Esc. λανθάνων et supra λανθάνον.

[8] Cf. Cod. Par. LVI, 54.

Ακαδημία Αθηνών / Academy of Athens

CCXLIX. Εἰς τὸ αὐτό[1].

Ἀφελὶς πρὸς ὑγρὸν ἡδονῆς χαίνειν[2] μέλι,
Τὸ τῆς φθορᾶς ἔκκλινον ὀψὲ γοῦν κέρας,
Μή πως ὑπ' αὐτοῦ λανθανόντως[3] ἐμπέσῃς
Ταῖς τοῦ κάτω δράκοντος ἐμφλόγοις γνάθοις·
Σὺ μὲν γὰρ ὦ τὰν οὐδ' ἐπαισθάνῃ τάχα·
Ζωῆς δὲ τῆς σῆς ἐκδαπανᾷ τὰς βάσεις
Ἡ τοῦ χρόνου κίνησις, ἧς τύπος τάδε.

CCL. Εἰς τὸ αὐτό[4].

* Τί δὴ μάτην κέχηνας, ἀνθρώπου Φύσις[5],
Τρυγῶσα πικρᾶς ἡδονῆς θέλγου μέλι;
Ὁ θάνατος γὰρ ὡς θρασὺς θὴρ ἐγγίσας,
Βαλεῖν ἀπειλεῖ, σὺ δ' ἀναισθήτως ἔχεις.

CCLI. Εἰς τὸ αὐτό[6].

Τὸ μὲν μέλι θέλγει με τοῦ πλάνου βίου,
Λυπεῖ δὲ τοῦ ζῆν ἡ τρυγωμένη βάσις.
Τὸν γὰρ κάτω δράκοντα μηδόλως βλέπων,
Τὸ τῆς φθορᾶς ἕτοιμον οὐ φρίττεις κέρας.
Οὐκοῦν μάτην, ἄνθρωπε, καὶ ζῇς καὶ πνέεις
Ἐσίως μεταξὺ λανθανόντων κινδύνων.

CCLII. Εἰς τὸ αὐτό[7].

Ζωῆς τὸ φυτὸν ἡδονῆς βλύζον μέλι

[1] Cod. Par. 193 v°.
[2] In cod. Esc. prius erat τρυγᾶς. Cf. cod. Par. LVI, 54.
[3] Cod. Esc. λανθανόντος.
[4] Cod. Par. 193 v°.
[5] Hic versus supra CCXLVI, 2.
[6] Cod. Par. 194 r°.
[7] Cod. Par. 194 r°.

Ακαδημία Αθηνών / Academy of Athens

Θέλγει, θεατά, τὴν Φιλήδονον [1] φύσιν.
Ἀλλὰ τρυγᾷ τὸ δένδρον ὁ φθορεὺς χρόνος,
Καὶ τῆς παρολκῆς ἑσλιᾷ τὰ θηρία.
Μὴ σύ γε χανδὸν πρὸς τὸ νῦν μέλι βλέπῃς [2].
Ὁ θάνατος γὰρ ὁ φθορεὺς τῶν πραγμάτων
Τὸ πικρὸν ἐξέτεινε τοῦ τέλους κέρας,
* Πτῶσιν δὲ τὴν σὴν ἄλλος ἐκζητεῖ δράκων.
Στήριζε σαυτὸν, μὴ λαθὼν διεκπέσῃς [3].
Δεῖ γὰρ σκοπεῖν τὰ βάθρα τῆς σωτηρίας.

CCLIII. Εἰς [4] εἰκόνα Δομεσλίκου τῶν ἀνατολικῶν θεμάτων.

Τῆς φύσεως τὸ θαῦμα τῆς ἀνθρωπίνης
Ἐνταῦθα σιγῶν οὐ θορυβοῦν ἐγράφη·
Τὸ γὰρ ἑαυτοῦ δῶρον αἰδοῖ προσφέρει
Τὴν τοῦ θεοῦ, βέλτισλε, μητέρα βλέπον.

CCLIV. Ἐκ [5] προσώπου τινὸς πρὸς τὴν θεομήτορα προσάγοντος αὐτῇ ἀναθήματα.

* Ἐκ τῶν πρὸς ἡμᾶς δωρεῶν σου, παρθένε,
Τὸ νῦν παρ' ἡμῶν εὐμενῶς [6] δῶρον δέχου,
Κἂν ᾖ ταπεινὸν πρὸς τὸ σὸν μέγα κλέος·
Ἀλλ' οἶδας αὐτὴ δεξιοῦσθαι τὸν πόθον.

CCLV. Εἰς [7] τὸ γενέσιον τῆς ὑπεραγίας θεοτόκου.

Πολυτελὲς τὸ σχῆμα τῶν γενεθλίων.

[1] Cod. Par. LXVIII, 2.
[2] βλέποις cod. Par.
[3] Supra CCXIII, 149. Vid. Eust. *De Thessal.* p. 370, et *Spicil. Roman.* ed. Maio, t. V, p. 330.
[4] Cod. Par. 170 r° : Εἰς τὴν σλήλην τοῦ Δομεσλίκου. Fort. Michael Atzymes. Cf. CLXXVIII, 4.
[5] Cod. Par. 170 r° : Εἰσλοαυτό.
[6] Cf. cod. Par. CCXXI, 15.
[7] Cod. Par. 170 v° : Εἰς εἰκόνα τοῦ γενεθλίου τῆς θεομήτορος.

Ακαδημία Αθηνών / Academy of Athens

Ἡ γὰρ βασιλὶς τοῦ βροτῶν γένους βρέφος,
Ὃ[1] σλεῖρα καὶ γραῦς, εὐτυχεῖ ϖαρ' ἐλπίδα.
Πλὴν ὥσπερ αἰδοῖ τῆς λεχοῦς καὶ τοῦ βρέφους
Οὐδεὶς θορυβεῖ, μὴ τὸ θαῦμα συγχέῃ·
Ἀλλ' οὐδὲ τουτὶ κλαυθμυρίζει τὸ βρέφος,
Κἂν εἰς ὕλην ἄψυχον ἡ τέχνη ϖνέῃ·
Δεξάμενον γὰρ τὴν χαρὰν τῶν ἀγγέλων
Ἐλευθερώσει τὰς γονὰς τῆς Φύσεως·
Ὥσλε βλέπων θαύμαζε καὶ σίγα, ξένε.

* CCLVI. Τῷ ϖατριάρχῃ κυρῷ Νίφωνι ὅτε ὑπέσχετο βοῦν δώσειν αὐτῷ.

Ἔτι σιωπῶ, βοῦν[2] ἐπὶ γλώτλης Φέρων.
Ὅταν γε μὴν ἴδοιμι τὸν σὸν ἀρότην,
Μηκήσομαι[3] δὴ καὶ κροτήσω τὴν χάριν,
Ὡς βοῦς ἐπιγνοὺς εὐμενῆ τὸν δεσπότην.

CCLVII. Τῷ Δομεσλίκῳ τῷ Ἀτζύμῃ.

Ἐμοὶ κριθῆς δεῖ, καὶ τὸ θαῤῥεῖν οὐκ ἔχων
Πρὸς ἄλλον ἁπλῶς ὁντινοῦν τῶν ὀλβίων,
Πρὸς τὴν ἀρίσλην εἶδον ἣν ἔχεις Φύσιν.
Ἆρ' οὖν τὸ ϖισλὸν αἰσχύνεις τῆς ἐλπίδος;

CCLVIII. Τῷ ϖαρακοιμωμένῳ[4] κυρ. Ἰωάννῃ τῷ Χούμνῳ.

Ἆρ' οὐκέτι κέκμηκεν, ὦ ξένη Φύσις,
Ἐκεῖνος ὁ ϖλῶξ ὁ δρομεὺς ἐν τοῖς σλίχοις[5];

[1] Pro ὅ fort. ὡς.

[2] Notum proverbium Βοῦς ἐπὶ γλώττης. Conf. Zenob. II, 70, ibique interpretes.

[3] Leg. μυκήσομαι. Nam μηκᾶσθαι proprium est capris, ut μυκᾶσθαι bovum.

[4] Cod. ϖαρακειμωμένῳ. Filius iste Chumni, dictus Joannes, cubicularius fuit τῆς μεγάλης σφενδόνης. Cf. Boisson. *Anecd. nov.* p. 5.

[5] An pro σλοίχοις? Vid. Xenoph. *Cyneg.* VI, 10.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ μὴν ἐγὼ δέδοικα μὴ συνεσχέθη,
Καὶ βρῶσιν αὐτὸν ἡ κύων εἰργάσατο.

CCLIX. Εἰς[1] τὸν Χρισὸν ἐκ προσώπου Μακαρίου τοῦ ζωγράφου.

Σὺ μὲν διέπλασας[2] με χερσὶν ἰδίαις
Τῇ κατὰ σαυτὸν ὡραΐσας εἰκόνι·
Ἐγὼ δ' ὅλην ἤμειψα τὴν εὐκοσμίαν,
Θεοῦ Λόγε ζῶν, εἰς παθῶν ἀκοσμίαν.
Πλὴν δεῦρο χειρὶ ζωγραφῶ σου τὸν τύπον,
Ὅπως ἀναπλάτοις με καὶ κρείττω γράφοις
Ἐν τοῖς ἄνω πίναξι τῆς ἀφθαρσίας.
Σὸς λάτρις οἰκτρὸς ταῦτ' ἔφη Μακάριος.

CCLX. Εἰς τὸν ἐπιτάφιον[3].

Ἄνω μὲν ἀγγέλων σε πενθοῦσι σπίφη·
Κάτω δὲ δακρύουσι γυναῖκες, Λόγε,
Κἂν οὐκ ἔχῃ[4] θόρυβον ἡ θρηνῳδία·
Ἄνδρες δὲ κηδεύουσιν αἰδοῖ καὶ τρόμῳ·
Τάφος δέ σου τὸ σῶμα καινὸς λαμβάνει.

* CCLXI. Ἐκ προσώπου τοῦ μεγάλου Δημητρίου εἰς τὴν ἑαυτοῦ εἰκόνα.

Μὴ θαυμάσῃς, ἄνθρωπε, λευκόν με βλέπων·
Ἐκπλύνομαι γὰρ εἰς τὰ ῥεῖθρα τῶν μύρων,
Εἰμὶ δὲ φαιδρὸς τὸν Σατὰν καταισχύνας
Καὶ τῆς ἀμοιβῆς μὴ σπερηθεὶς τῶν πόνων.

CCLXII. Εἰς τὸν αὐτόν.

Ἔοικεν ἑσπὼς εὐσπαλὴς ὁ γενναδας

[1] Cod. Flor. 129 : Εἰς εἰκόνα τοῦ σωτῆρος Χρισοῦ.
[2] Cod. Esc. διαπλάσας.
[3] Cod. Flor. 172 : Decastichon. Cod. Esc. quinque tantum versus, ut hic.
[4] Cod. ἔχει.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τὴν ψυχικὴν ζωγραφεῖν εὐανδρίαν
Καὶ πρὸς τὸν ἐχθρὸν ἐμβριμώμενος λέγειν·
« Μὴ τάχα Σατὰν προσβαλεῖν αὖθις θέλεις; »

CCLXIII. Εἰς τὸν αὐτόν.

Ἀναμένων δή τινα καθάπερ μάχην
Ὁ γενναδας πάρεσλιν ἑσλὼς ἀτρέμας·
Εἰ[1] μὴ γὰρ ἄδηλον ἐχθρὸν ἐσκόπει,
Γίγαντος ἂν ἔφευγεν ἐντεῦθεν τρόπον.

* CCLXIV. Εἰς τὸν αὐτόν.

Ὁ γενναδας πάρεσλιν εἰς μάχην βλέπων·
Τί δῆτα Σατὰν εἰ σφριγᾷς μὴ συμπλέκῃ;
Δέδοικα, φησὶ, τοῦ θεοῦ τὸν ὁπλίτην·
Ἡ πεῖρα γὰρ καὶ τοῦτον ἐγνώρισέ μοι.

CCLXV. Εἰς τὸν αὐτόν.

Κοιλὰς μὲν ἦν ἄντικρυς ἡ θνητὴ Φύσις,
Οἵα ταπεινὴ καὶ βραχὺν ζῶσα χρόνον.
Μαραίνεται γὰρ εὐτελοῦς χλόης δίκην,
Ὅταν ὁ χειμὼν[2] τῆς τελευτῆς εἰσβάλῃ.
Δημήτριος δὲ μυσλικὸν φανεὶς ῥόδον
Καὶ τῶν ἀκανθῶν τῆς ἀρᾶς βρύον μέσον,
Λογχεύεται μὲν, ἐκκενοῖ δὲ ῥοῦν μύρων
Ἀνασλομωθὲν[3] εἰς βαλανείου ζέσιν.
Ὢ[4] μαρτύρων ἔαρος, ὡ ῥόδου ξένου,

[1] Deest syllaba. Leg. Εἰ μὴ γὰρ εἰς ἄδηλον.

[2] Noster, p. 58, ed. Wernsd. : Ὁ χειμὼν τῆς νόσου. Cf. cod. Flor. ci, 41.

[3] Videntur igitur habuisse et τὸ ῥοῦν et ὁ ῥοῦς.

[4] Hic versus et sequentes in cod. Par. fol. 171 r°.

Ὃ καὶ τρυγηθὲν καὶ ϖιεσθὲν οὐ φθίνει!
Καὶ γὰρ ἄνωθέν ἐσΊι τὰς ῥίζας Φέρον
Καὶ ζῇ τεθηλὸς, καὶ τροπῆς κρεῖσσον μένει,
* Τὴν τοῦ τάφου κάλυκα λιπαῖνον μύροις[1].

* CCLXVI. Εἰς τὸν αὐτὸν (Γεώργιον) ἐκ λίθου ϖεποιημένον.

Τῶν ἀγαθῶν ἔρημον ἐσχηκὼς βίον,
Εὗρόν σε Μωσῆν τοῦ Θεοῦ τὸν ὁπλίτην.
Διψῶν δὲ τὴν σὴν ἀπὸ τῶν μύρων χάριν
ΤερασΊίων ϖρόχυσιν ἐκ ϖέτρας ϖίνω.

CCLXVII. Εἰς τὸν αὐτὸν γεγλυμμένον εἰς ἀμίαντον.

Εἰς λίθον ἁγνὸν μάρτυς ἑσΊὼς ὁπλίτης
Πρὸς δυσμενεῖς ὅπλιζε[2] καὶ σΊήριζέ με·
Εἰς γὰρ τὸν ἀκρόγωνον ἐξέσθης λίθον
* Τοῖς μαρτυρικοῖς ἐγκοπεῦσι γεννάδας.

CCLXVIII. Εἰς τὸν αὐτὸν ἐζωγραφημένον.

Θαρσῶν κατ' ἐχθρῶν καὶ σφαδάζων ὁπλίτης
Τὸ τῶν γνάθων ἔρευθος ἀκμαῖον Φέρει·
Τὸ γὰρ ἀτεχνῶς ὠχριᾶν ϖρὸ τῆς μάχης
Ἀνανδρίας ἔνδειξις, οὐκ εὐανδρίας.

CCLXIX. Εἰς[3] ἐγκόλπιον ἐν ᾧ ἦν ὁ μέγας Δημήτριος, τοῦ δεσπότου κυροῦ Δημητρίου[4].

Χρυσοῦν σε νεκρὸν εἰς χρυσῆν Φέρων Θίβην
Χρυσῆν ἀτεχνῶς εὐτυχεῖ μύρων χύσιν,

[1] Cod. Par. μύρῳ ex corr.
[2] ὥπλιζε cod.
[3] Cod. Paris. 188 v° : Εἰς ἐγκόλπιον τοῦ δεσπότου, τὸν μέγαν Δημήτριον,
[4] Demetrius Palæologus, Despota, de quo Ducang. *Famil. Byz.* p. 236.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Ὡς ἂν καθαιρῇ τῶν πaθῶν τοὺς κανθάρους [1]
Ὁμώνυμος σὸς [2] δεσπότης, Δημήτριε.

CCLXX. Εἰς τὸ αὐτό [3].

Τῷ δεσπότῃ τὰ σλέρνα, Θετλαλῶν πόλις·
Δημήτριον γὰρ εἰς χρυσοῦν φέρει τάφον
Ζωηφόρον βλύζοντα μυρίπνουν [4] χύσιν.
* Ὁμώνυμος δ' οὖν ἐσλι Παλαιολόγος.

CCLXXI. Εἰς τὸ αὐτό [5].

Χρυσῆ κιβωτὸς, ἀλλὰ μὴ [6] μύρα βρύει·
Δημήτριος γὰρ ὁ χρυσοῦς μάρτυς μέσον,
Ὃς τὴν χάριν δίδωσι δαψιλεσλέραν
Παλαιολόγῳ δεσπότῃ Δημητρίῳ.

CCLXXII. Εἰς [7] τὸν αὐτὸν τὸν [8] νυτλόμενον ἐν τῷ λοετρῷ.

Ἰδοὺ τὸ λουτρὸν, πλῆρες ἐσλὶν αἱμάτων·
Καὶ γὰρ ἐν αὐτῷ μαρτυρικῶς ἐσφάγης,
Νυγεὶς ὅλον τὸ σῶμα τοῖς ἀκοντίοις·
Χρισλοῦ βαλανεῦ, καὶ ψυχῶν σμῆχε σπίλους.

CCLXXIII. Εἰς [9] τὸν αὐτὸν μέγαν Δημήτριον.

Ἄγρυπνος ὁ πρόμαχος, ἡ πόλις νίκα
Πρὸ συμπλοκῆς ἔπαθλα. Τί δὴ τὸ ξένον;

[1] Cf. cod. Flor. LX, 3.
[2] Cod. Esc. *τις* pro *σός*.
[3] Id. cod. Par. 188 v°. Mox *Θετλαλῶν πόλις* pro *Θεσσαλονίκη*. Conf. Stephan. Byzant. s. h. v.
[4] Cf. cod. Flor. LXV, 64.
[5] Sine titulo cod. Par. 189 r°.
[6] *ἀλλὰ σ' μύρα sic* cod, Paris. Unde leg. *ἀλλὰ καὶ μύρα*.
[7] Cod. Par. 195 r° : *Εἰς τὴν ἐν τῷ λουτρῷ σφαγὴν τοῦ μεγάλου Δημητρίου*.
[8] Dele *τόν*.
[9] Cod. Par. 195 r° : *Εἰς Θεσσαλονίκην*.

Θεὸς στρατηγεῖ καὶ προβάλλει τὰς νίκας,
* Καὶ σὺ βλέπων, ἄνθρωπε, θαυμάζεις μάτην.

CCLXXIV. Εἰς[1] τὴν μυροδόχον κιβωτὸν τοῦ μεγάλου Δημητρίου, ἐν ᾗ ἵσταντο ἑκατέρωθεν οἱ ἅγιοι ἀνάργυροι.

Ἐχρῆν ἰατροὺς, εὐμενεῖς ἀναργύρους,
Πρὸς τοὺς ἀγωγοὺς συνδραμεῖν τοῦ Φαρμάκου.
Νῦν οὖν περιθυροῦσι[2] τὸν μυροβλύτην,
Πᾶσι πρυτανεύοντες ἄφθονον χάριν.

CCLXXV. Εἰς[3] τὸ παχὺ μύρον τοῦ μεγάλου Δημητρίου.

Ἅιμα καινὸν μαρτυρικοῖς ὀστέοις
Ἡ τῶν μύρων ἄντικρυς εὑρέθη δρόσος·
Ἰεζεκιὴλ εἰ προφητεύεις[4] πάλιν,
Καὶ σάρκας αὐτοῖς[5] ἐκπνοῆς ὅρα ξένης.

CCLXXVI. Εἰς[6] τὸ κιβώτιον, ἔνθα ἵσταντο μάρτυρες Φύλακες.

* Πρὸ τῶν θυρῶν Φύλακας ὁπλίτας βλέπων,
Ἔγγιζε, πιστὲ, μὴ κτυπῶν ἀλλὰ τρέμων·
Ἑστήκασι γὰρ ὡς Χερουβὶμ[7] ἐνθάδε,
Καὶ τὴν Ἐδὲμ φρουροῦσι τῶν τερασπίων.

CCLXXVII. Εἰς[8] τὸν αὐτὸν ἱσταμένον εἰς τὸ κιβώτιον.

Δημήτριε ζῇς, ἀλλὰ σιγᾷς ἐνθάδε

[1] Cod. Par. fol. 195 v°: Εἰς τοὺς ἐν τῇ κιβωτῷ ἀναργύρους.

[2] Cod. Esc. προθυροῦσι.

[3] Cod. Par. fol. 195 v°: Εἰς τὰ σαρκώδη μύρα τοῦ μάρτυρος.

[4] προφητεύεις cod. Par. in quo prius erat προφητεύοις. In cod. Escur. προφητεύεις et supra οις.

[5] Fort. εἴποις.

[6] Cod, Paris. fol. 195 v°: Εἰς τοὺς ἱσταμένους περὶ τὴν κιβωτὸν μάρτυρας.

[7] Cf. Boisson. *An. gr.* t. V, p. 489.

[8] πρὸς et supra εἰς in cod. Εἰς εἰκόνα τοῦ μεγάλου Δημητρίου codex Paris. fol. 196 r°; cod. Flor. fol. 223 v°, sine titulo.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Τοῖς μαρτυρικοῖς ἐκλυθεὶς ἴσως πόνοις·
Ἰσλάμενος δ' οὖν ἐκτάδην πρὸ τῆς θίβης
Δοκεῖς καλεῖν τὴν κτίσιν εἰς μύρων χύσιν.

CCLXXVIII. Εἰς[1] τὸν αὐτὸν ὅτε διὰ προσευχῆς ἐθανάτωσε τὸν σκορπίον.

Τὸν τῆς Φυλακῆς ὑποδὺς δεῦρο γυόφου,
Ὡς πρὶν ὁ Μωσῆς τὸν θεὸν, μάκαρ, βλέπεις,
Δεξάμενος δὲ τῆς χάριτος τὰς πλάκας
Εὐχῇ θανατοῖς δρασλικῇ τὸν σκορπίον.

* CCLXXIX. Εἰς[2] τὴν προτροπὴν Νέσλορος.

Νέσλορ, τὸν ἐχθρὸν εἰ παρεσλῶτα βλέπεις[3],
Τὸν ὄγκον αὐτῷ τῶν μελῶν μὴ θαυμάσῃς·
Τοῖς γὰρ ταπεινοῖς ὁ βραβεὺς ἐπιβλέπων
Αἱρεῖ δι' αὐτῶν εὐχερῶς τοὺς αὐθάδεις.

CCLXXX. Ἕτεροι[4].

Ναὶ[5] σφάτλε, ναὶ φόνευε, ναὶ θλίβε τρύχων
Μὴ τὸν παλαισλὴν τὸν θρασὺν, Νέσλορ, μόνον,
Ἀλλὰ σὺν αὐτῷ καὶ τὸ τῆς πλάνης κράτος.
Ὁ γὰρ βαρὺς τύραννος ἐῤῥάγη βλέπων.

* CCLXXXI. Εἰς τὸν μέγαν Δημήτριον[6] ἐν λίθῳ πεποιημένον[7] φλέβας ἐρυθρὰς ἔχοντι.

Ἐρυθροβαφὴς[8] ἐκ σφαγῆς ὁ σὸς φάρυγξ,

[1] Cod. Par. fol. 196 r°: Εἰς τὴν Φυλακὴν τοῦ μάρτυρος.

[2] Cod. Par. 196 r°: Εἰς τ. εὐλογίαν N.

[3] βλέποις cod. Par.

[4] Cod. Par. fol. 196 r°: Εἰς τὴν παλαίστραν Νέστορος.

[5] Cod. Escur. καί et supra ναί.

[6] Cod. Esc. Δομέστικον pro Δημήτριον, male.

[7] Cod. Par. 73 r°: πεπ. λευκῷ ἔχοντι καὶ φλέβας ἐρυθράς.

[8] Cf. cod. Par. XLIV, 22.

Ἐρυθροβαφὲς καὶ τὸ τῆς σπάθης σἰόμα·
Καὶ γὰρ σφαγεὶς ἔσφαξας[1] αὐτὸς τὴν ϖλάνην,
Ὦ Θῦμα καινὸν, ὦ σφαγεῦ ζῶν ἐν λίθῳ.

CCLXXXII. Εἰς[2] τὸν μέγαν Γεώργιον.

* Ὁ μάρτυς ὠχρὸς; οὐκ ἐρυθρὸς ἐγράφη·
Ἡ γὰρ ζέσις ἔῤῥευσεν ἐκ τῶν αἱμάτων·
Ἐχρῆν δὲ Χρισἰοῦ ζωγραφεῖν τοῦτον τύπον,
Ὃς αἵματος ϖλὴν Θῦμα σεπὶὸν εὑρέθη.

CCLXXXIII. Πρὸς[3] τὸν μέγαν Γεώργιον εἰς καθιέρωσιν τοῦ ναοῦ αὐτοῦ.

Πρὸς οὓς μὲν ὑπήνεγκας, ὦ μάρτυς, ϖόνους
Κἂν ἐξ ὑπερτίμων σε κοσμῇ τις λίθων,
Αὔταρκες οὐδὲν οὐδαμῶς ἂν εἰσφέροι.
Ἂν δὲ σκοπῇς τὸ φίλτρον ὡς ὁ δεσπότης,
Ὃς[4] λαμβάνει καὶ μύρα ϖορνικὸν Φόρον,
Χήρας τε λεπὶὰ, καὶ δορᾶς αἰγῶν τρίχας,
Καὶ τήνδε κοινὴν οὖσαν οἴσεις τὴν ὕλην.
Οὐκοῦν ἀμοιβὰς τὰς ϖρεπούσας ἀντίδος
Ναόν με ϖοιῶν τῶν Θεοῦ χαρισμάτων
Εὔνους τομίας ταῦτα ϖεπαγωμένος[5].

CCLXXXIV. Εἰς ἐγκόλπιον διαφόρων[6] ἁγίων.

Θεοῦ νεφέλη δεῦρο καὶ λίθου[7] γνόφος
* Καὶ τρεῖς ἔτι σίφωνες εἰς ὄμβρων χύσιν

[1] ἔσφαγξας sic cod. Esc.

[2] Εἰς τὸν αὐτόν cod. Par. 73 r° id est εἰς τὸν μέγ. Δημήτριον, ad quem hoc epigramma pertinere videtur.

[3] Cod. P. 227 r°: Εἰς τ. μ. Γεώργιον.

[4] Hi duo vs. 5 et 6 supra CLIX, 10.

[5] Fortasse ϖεπλακωμένος «incrusté dans le mur»?

[6] διαφ. ἁγ. desunt in cod. Paris. fol. 235 r°.

[7] Fortasse lapidis in sepulcro Domini. Sed cf. sequens ep. v. 1.

Ὁ Μυρέων πρόεδρος, ὁ Ζαχαρίου
Σὺν τῷ νικητῇ πανταχοῦ Γεωργίῳ.
Ἕλκουσι γάρ μοι ῥεῖθρα[1] μακροθυμίας[2]
Ἐκ τῶν θαλασσῶν τοῦ θεοῦ τῶν ἀφθόνων.

CCLXXXV. Εἰς[3] τὸν προφήτην Δανιὴλ καὶ τὸν μέγαν Δημήτριον καὶ τὸν ἀρχιστράτηγον εἰς δαιμονόλιθον[4] πεποιημένον.

Πέτρᾳ σκεπασθεὶς καὶ λιθοχρόῳ[5] γνόφῳ
Καὶ κατὰ Μωσῆν τὸν Θεὸν δεῦρο βλέπων
Αἰρῶ στρατιὰν μυστικῆς τυραννίδος·
Τὸν γὰρ Δανιὴλ ἅμα τῷ Δημητρίῳ
Πλάκας νοητὰς, τὸν δὲ νοῦν τὸν ὁπλίτην,
Σαφῶς Ἰησοῦν[6] εὐτυχῶ στεφανίτην.

CCLXXXVI. Ὅμοιοι[7].

Εἰ Χριστὸς ἀκρόγωνος ἐκλήθη λίθος,
* Καὶ σφενδόνην τὸ σχῆμα τοῦ λίθου βλέπω[8]
Εἴργω τὸν ἐχθρόν· ἂν δὲ καὶ προσεγγίσῃ,
Νοῦς καὶ βλέπων καὶ μάρτυς, ἄλλοι τρεῖς λίθοι,
Κἀγὼ δι' αὐτῶν ὡς Δαβὶδ ὡπλισμένος
Ὁρῶ Γολιὰθ τὸν Σατὰν ἐσφαγμένον.

CCLXXXVII. Εἰς[9] τοὺς ἁγίους μάρτυρας Θεοδώρους.

Γράψας ἐγὼ τὸ πρῶτον ἐν τῇ καρδίᾳ

[1] Cf. cod. Flor. LXV, 17.

[2] German. Cpol. cod. Coisl. 278, fol. 183 v°: Νόμοις ἐμφύτου μακροθυμίας.

[3] Cod. Par. f. 234 v°: Εἰς ἐγκόλπιον.

[4] Hac voce augenda lexica. Cf. cod. Par. XVI.

[5] Hoc exemplo, ni metrum obstaret, confirmaretur lectio Tzetz. *Posth.* 272 ubi Jacobs. corrigebat μιλτόχροος. Vide *Thesaurum*, s. v. Λιθόχροος.

[6] Cod. Esc. Ἰνῶ.

[7] Cod. Par. 235 r° : Εἰς ἐγκόλπιον.

[8] Leg. βλέπων.

[9] Cod. Par. fol. 183 v° : Ἐκ προσώπου τινὸς, εἰς εἰκόνας μαρτυρικάς. Cod. Flor. 83, sine μάρτυρας.

Ακαδημία Αθηνών / Academy of Athens

Νοῦν [1] χρωματουργῶ τοῦ θεοῦ τοὺς ὁπλίτας,
Ἵν' οὓς ἔχει νοῦς καὶ κατ' αἴσθησιν βλέπω,
Σαρκός τε καὶ νοῦ ζωγραφῶν ὑπερμάχους.
Ὁ σύνθετος γοῦν τοῦ χρυσαργύρου Φόρος
Διπλοῦν ἀγαθὸν ἐξ ὑμῶν γένοιτό μοι.

CCLXXXVIII. Εἰς τοὺς ἁγίους τρεῖς μάρτυρας ἱππότας ἀλλήλοις διομιλουμένους [2].

Οἱ μάρτυρες νικῶσι τὴν κοινὴν Φύσιν,
Ὑπὲρ Φύσιν δήπουθεν ἠγωνισμένοι.
* Καὶ γὰρ κατ' ἐχθρῶν τακτικῶς ὡπλισμένοι
Κινοῦσι μικροῦ πνευσλιῶντας τοὺς τύπους·
Πλὴν ἀψοφητὶ συλλαλοῦσιν ἐνθάδε,
Μή πού τις αὐτοὺς δυσμενὴς γνοὺς ἐκφύγῃ.
Κἂν δεῖγμα θυμοῦ τοῖς προσώποις μὴ [3] βλέπῃς,
Τὴν συμπλοκὴν θαῤῥοῦσι, καὶ μὴ θαυμάσῃς.
Σκόπει, θεατά, καὶ τὸ τῶν ἵππων τάχος,
Οὓς δῆθεν ἄβρους ἡ σοφὴ τέχνη γράφει.
Αἱ γὰρ ἐναλλὰξ τῶν ποδῶν ὑπερβάσεις [4]
Μισοῦσι [5] τὴν γῆν, μὴ χεθῇ τούτοις κόνις.
Πεπήγασι δὲ πρὸς τὸν εἱρμὸν [6] τῶν λόγων,

[1] Pro *νοῦν* leg. *νῦν*.

[2] Cod. *διομιλλουμένους*. In cod. Flor. fol. 299.

[3] Cod. *μή* et supra *οὐ*.

[4] Strab. p. 632 : *Τὴν ὑπέρβασιν τὴν ἐκ τῆς Ποντικῆς θαλάττης ἐπὶ τὴν Ἰσσικήν*. Id. p. 666 : *Δι' ὧν ὑπέρβασίς ἐστιν εἰς τὴν Μιλυάδα*. Id. p. 682 et 759.

[5] Versus 12 et seq. in cod. Paris. fol. 264 r°, ubi initium deest.

[6] Unde vox composita ap. Theod. Stud. cod. Par. 1197, fol. 35 r° : *Σκέψαι μοι καὶ τἄλλα εἱρμολογίᾳ ἀρίστῃ ἀλληγορούμενα*. Vox addenda Thesauro. Adde et alia ejusmodi composita : *Γλωσσολογία*, Procop. *In Prov.* ap. Mai, *Class. Auct.* t. IX, p. 82. — *Εὐφημολογία*, Theod. Stud. cod. Par. 891, fol. 155 v°. — *Κοντολογία*, Anon. cod. Par. 1632, fol. 24 r°. — *Κρισιολογία*, Anon. cod. Par. 2506, fol. 1 v°. Alia sunt in *λογέω*

Ακαδημία Αθηνών / Academy of Athens

Μή ϖως ἔχοι[1] θόρυβον ἡ διάσλασις·
Ἐχρῆν γὰρ αὐτοὺς εἰς τὸν αἰθέρα τρέχειν[2]
Οὓς ἱππόται τρέφουσιν οὐρανοδρόμοι.

desinentia quibus etiam ditari possunt lexica : Ἀκτινολογέω, Anon. *In Psalm.* cod. Par. 371 A, fol. 328 v° : Οὐκοῦν ἀκούωμεν αὐτοῦ χαριτογλωτλοῦντος ἢ ἀκτινολογοῦντος. Jo. Zonar. cod. Coisl. 219, fol. 408 r°. — Ἐφευρεσιλογέω, Anon. cod. Par. 2750 A, fol. 96 r°. —. Θρηνολογέω, Anon. cod. Paris. 400, fol. 20 v°. — Προακριβολογέω, cod. Par. 877, fol. 266 r°. — Συνιερολογέω, German. Cp. cod. Coisl. 278, fol. 203 r°. — Τραχυλογέω, Theod. Stud. cod. Par. 891, fol. 257 r°.

[1] Cod. Par. ἔχει.

[2] Alio sensu Pisides, *De vanit. vitæ*, 233 : Καὶ τὸν αἰθέρα τρέχεις. Boeckh, *Corpus Inscr.* n° 2647, 3 : Βῆ γάρ μοι ψυχὴ ἐς αἰθέρα καὶ Διὸς αὐλάς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

MANUELIS PHILÆ

CARMINA.

II.

CODEX FLORENTINUS.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

CODEX FLORENTINUS.

I.

Τὸ[1] μὲν ϖαρὸν σπούδασμα τῷ βίῳ ϖρέπον
Προκείσεται γὰρ τοῖς ἀγαθοῖς τὴν Φύσιν
Θαυμασὸν ἀρχέτυπον ἀνδρὸς ὀλβίου.
Φιλῆς δὲ μετρεῖν οὐρανοῦ ϖλάτος Θέλων
Ἆρ' οὐκ ἂν εἰς ἔγκλημα λειφθείη[2] Θράσους;
Πλὴν εἰ σχέσις ϖέπεικε τολμηροὺς λόγους,
Σοφὸς δικασλὴς οὐ κρινεῖ τοῦτο Θράσους.

Ἠθοποιία δραματικὴ ϖονηθεῖσα τῷ Φιλῇ *καὶ ἐγκωμίων ὑπόθεσιν ἔχουσα τῷ λαμπροτάτῳ μεγάλῳ* Δομεσλίκῳ, *τῷ* Χαριτωνύμῳ *Φημὶ* Καντακουζήνῳ. *Εἰσὶ μέντοι τὰ ϖρόσωπα* Νοῦς *καὶ* Φιλῆς, *ϖρολογίζει δὲ* Φιλῆς.

Φιλῆς. Παιδευτὰ Νοῦ, ϖρόελθε τῆς Βυζαντίδος·
Ὀξὺς γὰρ εἶ σὺ καὶ ϖλερῶν δίχα τρέχεις,
Καὶ ῥεῦμα νικᾷς καὶ ϖνοῆς κούφην χύσιν[3]
Καὶ ϖυρὸς ἀκμάζοντος ἐν χορτῷ φλόγα.
Καὶ γνοὺς ὁποῦ γῆς ὁ δρομεὺς ἐμὸς γίγας,
Ἐκεῖθεν ἡμῖν εὐσλαλὴς ϖαλινδρόμει·
Καὶ γὰρ ὅπως[4] ἂν ὁ χρυσοῦς ἔχοι, Φράσεις.

Νοῦς. Ἄπειμι[5], ϖλὴν ϖάρειμι, καὶ μὴ Θαυμάσῃς,

[1] In cod. Mon. fol. 25. Edid. Wernsd. p. 130 quem confer. Proœmium edidit Fabric. *Bibl. gr.* t. VII, p. 710, vet. ed.

[2] Wernsd. Fort. ληφθείη.

[3] Cf. cod. Par. X, 37.

[4] ὅπως deest in cod. Flor. Primam et ultimam ἑβδομάδα edidit Bandini qui in notis : Claudicat versus; cui propterea vox addita quædam est in margine, quæ tamen evanuit.

[5] W. ἄνειμι — Θαυμάζῃς. Vid. vs. 12 et 14. Theod. Hyrtac. *Epist.* 47 : Ἐγὼ καὶ ἀπὼν, ϖάρειμι· καὶ ϖαρὼν, ἐγγύς εἰμι· καὶ ϖόῤῥωθεν, ἐγγυτέρω.

Εἰ μὴ ϖαρετρίβη τις ἐν μέσῳ χρόνος·
Ποῦ γὰρ ἐπιπρόσθησις[1] εἰργούσης ὕλης
Εἰς Φύσιν ἁπλῆν καὶ σχολῆς ὑπερτέραν;
Μᾶλλον δὲ καὶ Φεύγω σε καὶ ξύνειμί σοι,
Δοκῶν ἐρευνᾶν καὶ τὰ Γαδείρων ϖέρα[2],
Τὸν αὐτὸν, ὃν ϖάρειμι, καὶ Φεύγω χρόνον.

Φιλῆς. Οὐκοῦν ἄγε, γνώριζε, καὶ μή μοι Φθόνει,
Σύνοικε Φυγὰς, ἀξιοῦντι μανθάνειν·
Ὁ γὰρ μεταξὺ τῆς ἀπουσίας χρόνος
Ἤνεγκεν ἡμᾶς εἰς κενὰς ὑποψίας·
Καὶ σὺ δ' ἐπ' αὐτοῦ τοῦ[3] καθεύδειν ἔσθ' ὅτε
Τὸν ϖαντοδαπὸν εὐΦυῶς ἐζωγράΦεις·
Οὕσπερ τέως ἔτερπες ἀλγύνων[4] ϖάλιν.

Νοῦς. Σύγχαιρέ μοι, βέλτισΤε, διδάσκοντί σε·
Καὶ γὰρ ὁ λαμπρὸς καὶ μέγας ΔομέσΤικος
Νῦν ἱππότης ἥδισΤος[5] εἰς Θήραν τρέχει,
Τομῶς ϖροχωρῶν εἰς τὰ τῆς λόχμης βάθη·
Ἃ δ' ἂν ὑπερκύΠλοντα[6] Θηρία βλέποι
Βολαῖς ἀναιρεῖ τοξικαῖς ϖαραυτίκα,
Πᾶν ἐγγύθεν δύσμαχον αἰχμῇ συμπνίγων.

Φιλῆς. Πόθεν δὲ τοῦτ' ἤσκησεν ὁ ϖρέσβυς νέος,
Μήπω διδαχθεὶς, εἴπερ οὐ Φαῦλον[7] τόδε·

[1] ἐπιπρόσθεσις cod. Flor. Ποῦ γὰρ ἐσΤὶ ϖρόσθεσις Wernsd. qui corrigit οὐ γάρ, contra metrum servans ἐσΤὶ ϖρόσθεσις. Conf. infra CVII, 30.

[2] W. ϖέραν.

[3] τοῦ om. in W. qui varias et inutiles proposuit conjecturas.

[4] Cod. Flor. ἀλγείνων.

[5] Cod. Flor. μέγισΤος.

[6] W. ὑπεκκόΠλοντα. Occasione data, lexicis adde ἐμπαρακύΠλω, ex German. Cpol. cod. Coisl. 278, fol. 146 r°: ἘμπαρακύΠλων ταῖς βίβλοις. — ἘξανακύΠλω, Eustath. *Opusc.* p. 26, 29: Ἐξανακύψαντα καὶ εἰς ἀντίπαλον ϖροχωρήσαντα. — ὙπερανακύΠλω, Nicet. Chon. cod. Par. 1234, fol. 394 v°.

[7] οὐ ψαύει W. qui in notis: Scribere licebit: εἴπερ οὐ ψεῦδος τόδε, vel potius εἰ ϖεριψαύει τόδε.

Ἔτι γὰρ ἐν μείρακος ἀκμάζει χρόνῳ,
Καὶ παιδαγωγὸν τοξικῆς ἐπιστάτην
Οὐκ ἔστιν εὑρεῖν εἰς τὸ νῦν ἅπαν γένος.
Ἡ νευρὰ [1] γὰρ πόῤῥωθεν ἡμῖν ἐῤῥάγη
Καὶ χρὴ καθ' ἡμῶν εὐστοχεῖν τοὺς κινδύνους.

Νοῦς. Τὴν εὑρετικὴν τῶνδε τῶν ἔργων Φύσιν
Κατ' οὐδὲν ἐλλείπουσαν ἐκ βρέφους ἔχων,
Εἰς ταῦτα δεινὸς αὐτομαθὴς [2] εὑρέθη,
Καὶ τοῦ χρόνου, βέλτιστε, πολλῷ βελτίων·
Γυμνάζεται γὰρ ὥσπερ ἐν θήρᾳ σκύλαξ
Καὶ δείκνυται παῖς πρεσβυτῶν παιδοτρίβης
Σπουδῇ [3] κατορθοῦν εὐγενῶς εἰθισμένος.

Φιλῆς. Τὸ δὲ σθεναρὸν εἰς παλαμναίας μάχας
Πῶς ἐστὶν αὐτῷ καὶ πρὸ τῆς ἡλικίας;
Ἔχεις Φυσικοῖς τοῦτο δεικνύναι λόγοις,
Ἢ θαυματουργεῖν ἀξιοῖς καὶ τὴν Φύσιν;
Σύναγε σαυτὸν, ἀγνοοῦντά με βλέπων·
Ἥκιστα γὰρ ἂν ταῦτα δυναίμην κρίνειν,
Εἰ μὴ σὺ διδάσκοις [4] με τὰς πεύσεις λύων.

Νοῦς. Ὅταν ὁ πατὴρ εὐσθενὴς ᾖ τὴν Φύσιν,
Καὶ μηδὲν [5] εἰς ἔκλυσιν ἡ μήτηρ φέροι,
Μηδ' ἀσθένος δύναμις ἀμφοῖν ἀντέχοι [6],
Τοιοῦτον εὐθὺς ὀργανοῖ καὶ τὸ βρέφος
Τῆς σπερματικῆς [7] ἐμβολῆς ἡ θερμότης.

[1] Videtur alludi ad Genes. XLIX, 23. W.

[2] Cf. infra CXXXI, 127 et cod. Esc. CLXXIII, 54. Cod. Par. XLVII, 33 : Ὡς αὐτομαθοῦς εἰς τὰ κῶλα τεχνίτου.

[3] σπόνδῃ W. qui recte corrigebat σπουδῇ.

[4] Cod. Flor. διδάσκεις, et supra διδάσκοις. W. διδάσκεις με καὶ πεύσεις.

[5] W. μηδέ et in notis : Fort. μηδέν. Recte.

[6] V. cl. Boiss. *An. gr.* t. II, p. 92 corrigit φέρῃ et ἀντέχῃ.

[7] W. σπερματίδος.

Ακαδημία Αθηνών / Academy of Athens

Μή σού τις αὐτῶν [1] ἠλογηκὼς γογγύσῃ
Καὶ λοιπὸν οὐκ ἔμμισθος ἡ σρᾶξις μένοι.

Φιλῆς. Τοῦτ' ἔσλιν αὐτῷ Φυσικῶς ἔχον [2] σάθος
Καὶ τοῦδε χωρὶς [3] οὐδ' ἀναπνεῖν ἰσχύει,
Μᾶλλον δὲ τὸ σνεῖν οὐδ' ἀμυδρόν τι κρίνει.
Ζῇ γὰρ ἐν αὐτῷ τῷ [4] καλῶς δρᾶν τοὺς ξένους,
Ὡς ἰχθὺς ἂν ὕδατος ἀφθόνως σίνοι·
Πλὴν φιλονεικεῖ [5] σανταχοῦ γῆς λανθάνειν,
Τὸν ἐξετασλὴν τῶν ἀπορρήτων βλέπων.

Νοῦς. Ἀλλ' ἰαταταὶ νῦν ὁμιλεῖ τοῖς φίλοις
Καὶ δημιουργεῖ τοὺς ὑπὲρ Φύσιν λόγους
Ὁ τῶν Φυσικῶν συλλογισλὴς [6] αἰτίων·
Σοφῶν δέ τις ὅμιλος [7] ἑσλῶτες σέριξ
Πρὸς τοὺς λόγους χαίνουσι τῶν ἄλλων σλέον·
Πεπήγασι δ' οὖν ὥσπερ εἰς λίθων [8] Φύσιν
Μετὰ φρίκης βλέποντες ἀλλήλους μόνον.

Φιλῆς. Ὦ τίς τοσοῦτον εἶδε γηγενὲς [9] τέρας;
Ποῖος δὲ νοῦς γόνιμος ἀρκέσει τάχα
Τοσοῦτον [10] ἐσμὸν συλλαβεῖν χαρισμάτων;
Ὦ Φύσις, ὦ νοῦς, ὦ μέγας Δομέσλικος·
Οὗ [11] μῶμος οὐδεὶς τῇ Φυῇ σροσετρίβη·

[1] W. αὐχῶν.

[2] ἔχων W. qui corrigit ἔχον aut αὐτός.

[3] χάρις W. qui legit χάριν.

[4] W. τό. Contra metrum.

[5] Φιλονεικεῖν — λανθάνον W. qui veram lectionem divinavit.

[6] Hanc vocem exhibet Thesaurus Paris. sed sine exemplo.

[7] ὅμιλος cum plurali, ut ἐσμός, de quo cf. cod. Par. 11, 6. Infra v. 453 : Ὡς ὄχλος νέων Ἐν συσλολῇ Φοιτῶντες ἐς διδασκάλου. Idem xxx, 24, ὅρμαθός cum plurali.

[8] Proverbialem hanc locutionem, ad Niobes fatum respicientem, illustravit Wernsd. ad Himerium, *Eclog.* xxxi, 10, ut ipse monet.

[9] Fort. γηγενής W. cum τίς hanc vocem copulans.

[10] Cf. supra v. 60.

[11] οὗ W. qui : Fort. οὗ.

Μὴ τὴν ἀγαθὴν τοῦ ϖροπάτορος Φύσιν,
Ἥτις ϖοτ' ἦν, δείκνυσιν ἀνθρώπων μόνος;
Νοῦς. Ἀ ἀ ϖάλιν, βέλτισ|ε, μανθάνων κρότει·
Φήμης ϖοθὲν [1] γάρ τινος ἐκφοιτησάσης,
Ὡς βαρβάρων σ|ράτευμα κυκᾷ τὴν Θράκην,
Ὅπλοις βρύων ἔξεισιν εἰς ϖράξεις νέας,
Μέσον δὲ τῆς φάλαγγος ἑσ|ὼς ἀτρέμας [2],
Ὡσεὶ λέων ἕτοιμος εἰς θήραν βρύχει
Καὶ τοὺς ἐπιτρέχοντας αἱρεῖ τῇ σπάθῃ.
Φιλῆς. Ναὶ φράζε καὶ ϖῶς τῶν βελῶν ἀπηλλάγη;
Μᾶλλον δὲ ϖῶς ἔπλησε τὴν χώραν σκύλων,
Λαβὼν ἀπ' αὐτῶν οὐδὲ ϖυγμαῖον μέρος;
Τοὺς γὰρ μαχητὰς ὀλβιῶν [3] ἀφ' ἑσ|ίας
Κέρδους νόθου ϖρόσληψιν οὐ θέλει [4] βλέπειν.
Δέδοικα δ' οὖν μή ϖού τι γενναῖον βέλος
Τὴν τῶν ὅπλων ἤλεγξεν εὐαρμοσ|ίαν.
Νοῦς. Θάῤῥει· τί γὰρ ὕποπ|ον εἰς τὸν γεννάδαν [5];
Τί δ' οὐκ ἀσινὲς ϖρὸς Φορυτὸν κινδύνων;
Ὅταν ὁ κοινὸς τόνδε κοσμῇ δεσπότης [6]
Ὅπλοις [7] νοητοῖς καὶ ψυχῆς εὐανδρίᾳ,
Καὶ τοὺς ἐπεισρέοντας ἐχθροὺς ἐκθλίβοι [8],
Πᾶν ἀχρόνως εὔθηκτον [9] ἀμβλύνων βέλος,
Καὶ τοῦτον [10] ὡς ϖῦρ ἐκ νεφῶν ἐπιβρέχοι.

[1] γὰρ ϖόθεν W. Contra metrum.

[2] ἀτρέμως W.

[3] W. ὀλβίων. Forma verbi ὀλβιόω addenda lexicis. Infra IX, 7 : Εἰ δ' ὑπὲρ αὐτοὺς ὠλβιώθης τοὺς λόγους.

[4] οὐ θέλων W. qui proponit οὐ θέμις.

[5] Cod. γεννάδα et supra αν.

[6] δεσπότην et εὐανδρίας W. qui veram suspicatus est lectionem.

[7] ὅπλον sensu metaphorico illustravit v. cl. Boiss. *Not. des ms.* t. XI, p. 17, et *Anecd. gr.* t. III, p. 38.

[8] Cod. Flor. ἐκθλίβει.

[9] *De animal.* 984 : Τεθηγμένου βέλους. Pisid. *Hexaem.* 783 : Θήγει δὲ ϖικρὰ καὶ τὰ τοῦ τύφου βέλη.

[10] Fort. τούτοις W. Contra metrum. Verbum ἐπιβρέχω sensu activo usurpa-

Φιλῆς. Πολλὰς ἐγὼ χάριτας εἰδὼς τυγχάνω
Καὶ τῶνδέ σοι, Νοῦ[1], τῶν κατὰ γνώμην λόγων.
Βακχεύομαι γὰρ τῷ κατ' αὐτοὺς γαργάλῳ,
Παρόντα μικροῦ τὸν σλεφανίτην βλέπων.
Ἀλλὰ[2] πάλιν μάνθανε καὶ γνώριζέ μοι·
Λόγος γὰρ ἡδὺς ἄχρις ὀσλῶν[3] εἰσρέων
Ἀποκρύφων σθέννυσι καμίνους πόνων.

Νοῦς. Βαβαὶ πάλιν ἔξεισιν εἰς ἄλλην μάχην
Καὶ, τῶν Τριβαλλῶν[4] εἰσπεσόντων ἀθρόον[5],
Αὐτὸς παρ' αὐτοὺς εὐαριθμήτους[6] ἄγει.
Πρώτη δὲ τὰς φάλαγγας ὁρμῇ συγχέει
Πρησλῆρος ὀφθεὶς αἰθεροδρόμου τρόπον,
Λύει δὲ τὰ σφίγματα τῆς ὁμαιχμίας[7],
Τὸ σλερῤῥὸν εἰς σύναρσιν ἐντείνων δόρυ.

Φιλῆς. Ἡ δ' ὄψις[8] αὐτῷ πῶς ἐπανθεῖ καὶ βρύει;

Ναὶ ζωγράφει, βέλτισλε, τὸν γίγαντά μοι.
Γυμνασλικὸς γάρ ἐσλιν, ὧν εἶδον, πλέον
Καὶ τοῖς πόνοις ἔνεσλιν οὐ φαῦλον[9] δέος,
Ὅταν ὁ συχνὸς τοῖς ἀρισλεῦσι χρόνος
Τῆς πιμελῆς τὸ πλεῖσλον ὡς πῦρ ἐκθλίβῃ[10],
Τὸ τῶν γνάθων ἔρευθος ἀμβλὺ δεικνύων.

Νοῦς. Εἶδες χλιδῶν ἔαρος ἐν βάτῳ ῥόδον

vit Philes, ut in hoc Ezech. XXXVIII, 22 : Καὶ πῦρ καὶ θεῖον βρέξω ἐπ' αὐτόν. Huc apprime facit quod citat Wernsd. pergens : «Vix enim placere potest, quod jam dicitur, *deus depluisse heroem*, uti Livianus Jupiter ranas.» Infra versu 566 : Θεῖον κατ' αὐτῶν ἀκρατῶς ἐπιβρέχει. Ibid. XCIX, 15 : Πῦρ ἐπιβρέχεις.

[1] W. νῦν pro νοῦ.

[2] Fort. ἄλλα W.

[3] W. ὠτῶν.

[4] W. Τριβαλῶν.

[5] ἀθρόει W. qui : Leg. ἀθρόον.

[6] Cf. cod. Par. XIV, 422.

[7] Scilicet Triballi adjunxerant sibi Scythas. W. Cf. cod. Flor. LXVIII, 6.

[8] ὄφις W. qui : Leg. ὄψις.

[9] W. ἄφαυλον pro οὐ φαῦλον.

[10] W. καὶ πῦρ ἐκθλίβοι.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ κρίνον ἀνθοῦν; ταῦτα κἀνταῦθα σκόπει·
Τὸ γὰρ ἐρυθρὸν εἰς τὸ λευκὸν ἐῤῥύη
Καὶ πᾶν τὸ λευκὸν ἔσχεν ἀρκοῦν τὸ ζέον,
Καί τις πάλιν ἄφρασ1ος ἡμέρου χρόα
Χεῖται παρ' ἀμφοῖν, καὶ δοκεῖ Φῶς ἄλλό τι
Πρὸς ἀσ1ραπῆς ἔλλαμψιν ἀμιλλώμενον.

Φιλῆς. Ἡ δ' ἕξις[1] αὐτῷ καὶ τὸ τῇ κράσει πρέπον
Πῶς δ' εἶ[2] ποτ' εἰσί; ταῦτα γὰρ μᾶλλον Φίλα
Τοῖς εὐσ1όχως[3] κρίνουσι τὸν σ1εφανίτην.
Γένοιτό μοι δὲ πάντα μανθάνειν τάδε
Πρὸς ἡδονὴν καὶ τέρψιν, εἰ Φράζειν θέλεις.
Γένοιτο καὶ σοὶ δεξιῶς λέγειν τάδε,
Καὶ μηδὲν ἀντίδοξον εἰς μέσον Φέρειν.

Νοῦς. Πάντ' ἐσ1ὶν αὐτῷ, ὡς[4] κατ' εὐχὴν ἡ τύχη.
Τοῦ σώματος γὰρ εὐσθενοῦς δεδειγμένου,
Πάντα προχωρεῖ καὶ καταλλήλως ἔχει·
Καὶ πρὸς τὰ συμπλώματα λαμπρῶς ἀντέχει,
Ταχυδρόμου[5] γίγαντος ἐμΦαίνων τόνον.
Φεύγει δὲ[6] τὸν βλάπλουτα τὴν ἕξιν κόρον
Παγκρατιασ1οῦ ζῶν ὁ γενναδας βίον.

Φιλῆς. Ἂν[7] οὐκ ἐπαχθὲς, καὶ τὰ λοιπά μοι Φράσον·
Τῆς γὰρ ψυχῆς τὸ κάλλος ἀθρῆσαι[8] θέλω,
Τῶν σωματικῶν ἐμΦορηθεὶς Φασμάτων,

[1] ἡ δέξις — κράζει W. qui recte legebat ἡ δ' ἕξις — κράσει. Supra v. 167 W. κεῖται pro χεῖται.

[2] Fort. δή pro δ' εἶ W.

[3] Conf. *De eleph.* 290. German. Cpol. cod. Coisl. 278, fol. 225 v°: Εὐσ1όχως τῆς διανοίας ὑμῶν κατετοξασάμεθα. Adv. εὐσ1οχωτάτως ap. Meliten. 359.

[4] Pro ὡς leg. καί. In Wernsd. κατ' εὐχὴν γὰρ ἡ τύχη sine ὡς.

[5] Cf. infra CCXLIV, 26.

[6] W. γάρ pro δέ, metro obstante.

[7] Ἄρ' οὐκ W. qui : Fort. ἄν.

[8] Cod. Flor. ἀθρῆσαι et supra ἀθροῖσαι. De hac confusione cf. Boisson. *An. gr.* t. I, p. 450.

Ἂν αὐτὸς, ὦ βέλτισ᾽ε, καὶ τοῦτο γράφοις,
Τὸ χρῶμα κιρνῶν τῶν σοφῶν εἰκασμάτων.
Εἰ γὰρ ἐναργῶς ἱσ᾽ορεῖν τοῦτον θέλοις,
Λύσιππος οὐδὲν οὐδ᾽ Ἀπελλῆς ἐνθάδε.

Νοῦς. Θεὸς μὲν αὐτῷ βάθρον ἐσ᾽ὶ τοῦ βίου·
Λόγος δ᾽ ἀληθὴς, κόσμος εὐθὺς ἐκ βρέφους·
Ὅρκον δὲ μισεῖ καὶ γονεῖς φρίτ᾽ει[1] βλέπων
Καὶ σωφροσύνῃ καὶ θέμιδι τέρπεται.
Κτᾶται δ᾽ ὅσα χρὴ, πωλὴν ἀποκτᾶται πάλιν,
Φίλους τρέφων πένητας, ἀθρόους ξένους,
Καὶ τοὺς ὑπ᾽ αὐτὸν δυσπραγοῦντας ὁπλίτας.

Φιλῆς. Τέρας λέγεις ἄνθρωπον εἰς τὸ νῦν γένος.
Πλὴν ταῦθ᾽ ὁ λαμπρὸς εὐτυχεῖ τὰ πρακτέα,
Καὶ τὸν τοσοῦτον ὄλβον ἀθροίσας μόνος,
Ἀφιλόκομπός[2] ἐσ᾽ι καὶ πρᾷος φύσει·
Ὡς γὰρ δανεισ᾽ὴν τὸν δεδωκότα[3] τρέμει
Καὶ πᾶν ὅσον δίδωσιν ἡγεῖται χρέος·
Ὢ θαῦμα νικῶν[4] τεχνικὸν πάντα κρότον.

Νοῦς. Ἀλλὰ σκόπει, βέλτισ᾽ε, καὶ τἄλλα ξένα
Δι᾽ ὧν ἀτεχνῶς[5] τόνδε κοσμεῖ τὸν βίον.
Τὸ γὰρ θυμικὸν ὥσπερ ἐκτὸς λαμβάνων,
Ὅταν μὲν εἰς ἄμυναν ἐχθρῶν ἐκτρέχοι[6],
Καὶ πῦρ κατ᾽ αὐτῶν ἀντιπιπ᾽όντων πνέει·
Ὅταν δὲ τῶν[7] παίδων τις ἐξαμαρτάνῃ,
Τὸ πῦρ τόδε σβέννυσιν εὐνοίας δρόσῳ[8].

[1] φριττᾷ W. qui : Scribe φρίτ᾽ει.

[2] In Pachymer. 71 : Τὸ ἀφιλόκομπον. Cf. infra ccxv, 195.

[3] δεδακότα W. qui corrigit δεδωκότα.

[4] Cod. Flor. νικόν et supra νικῶν.

[5] W. ἀτέχνως.

[6] W. ἐκτρέχει.

[7] Ὅταν δὲ παίδων τις W. qui proposuit τις τί, aut παιδίων τις ἐξ. Illud male ob hiatum.

[8] Cf. cod. Esc. CCXXXV, 2.

Ακαδημία Αθηνών / Academy of Athens

Φιλῆς. Καὶ τοῦτο κοινὸν, ἀλλὰ τῇ Φύσει πρέπον,
Εἰ τῇ Φύσει ξύνεσιν[1], ὃ Φράζεις, πάθος.
Ὁ δ' οὐχ[2] ὑπείκει τοῖς νόμοις τῆς Φύσεως·
Ἀλλ' ἔστι παντὸς ἐγκρατέστερος πάθους,
Τῆς Φύσεως τὴν ἔξιν εὐλαβουμένης.
Τίς οὖν τὸν ἄνδρα τόνδε κοσμήσει λόγος,
Κἂν ἐκ παλαιᾶς Ἀτικῆς ὑπερβλύσῃ;
Νοῦς. Ἔτι δ' ἔχων ἔμφυτον εὑρέθη[3] μόνος
Τὸ μακαριστὸν ὁ στεφανίτης τόδε·
Ἃ γὰρ ἐπ' αὐτὸν συγκομίζει βιβλία
Τὸ ποικίλον σύνταγμα τῶν στρατευμάτων,
Αὐτὸς καθ' αὑτὸν εὐφυῶς διατρέχει,
Καὶ πᾶσιν ἁπλῶς τὰς περιστάσεις λύει,
Νέκταρ λόγων ἔμμουσον[4] αὐτοῖς ἐγχέων.
Φιλῆς. Τί τις ἂν εἰς ἔπαινον ἁρμόζον λέγοι;
Σίγα, Πλάτων, Σώκρατες, αἰσχύνου λέγων,
Δημοσθένους ἔπαρσις, εἰς χοῦν ἐκτρέπου.
Πᾶς γὰρ σοφιστὴς, πᾶς δὲ πυρίπνους[5] γράφων
Ἢ γλαῦξ τίς ἐστιν εἰς νομὰς φιλεσπέρους[6],
Ἢ καὶ κολοιὸς ἐκμελὴς, ἢ βάτραχος,
Δοκῶν τι σεμνὸν τοῖς παροῦσιν εἰσφέρειν.
Νοῦς. Καὶ τοῦτο δ' αὐτοῦ· πάντα γὰρ πράῳς φέρει,
Ὡς[7] ἂν τὸ πᾶν βάρβαρον ἐκπέμποι[8] ξίφη,

[1] W. σύνεσιν.

[2] W. οὐκ ἐπείκει.

[3] W. εὑρεθῇ.

[4] ἔκμουσον W. qui in notis : Leg. ἔμμουσον αὖθις. V. cl. Boiss. *An. nov.* p. 153 corrigebat ἔμμουσον αὐτοῖς ἐκχέων. Νέκταρ ἐπισπένδω ap. Boeckh. *Inscr.* n° 3398. Pari metaphora infra CXXXI, 79 : Τῆς ἀρετῆς τὸ νέκταρ.

[5] Conf. infra XCIX, 18. Fort. γραφεύς W.

[6] Infra v. 619 : Φρουροὺς καθιστᾷ καὶ σκοποὺς φιλεσπέρους. *De animal.* 468 : Αἰμύλον ἢ γλαυξ ἢ φιλέσπερος φύσει. Id. v. 733 : Τὴν φιλέσπερον. Vide infra CCVI, 96.

[7] Fort ἅ aut ὅσ' ἂν W. Hoc recte.

[8] W. ἐκπέμπει.

Καὶ νηπίων ὅμιλον ἀδρανεσ⸗άτων
Τὰς δυσμενεῖς Φάλαγγας ἡγεῖται βλέπων·
Ὅλῃ[1] δὲ χειρὶ συμπλοκῆς ἄχθη σ⸗έγειν
Ὁ[2] τρισαρισ⸗εὺς οὐκ ἀνεκτόν τι κρίνων,
Ἄκροις μόνοις, ὅ φασι, νικᾷ δακτύλοις[3].

Φιλῆς. Μὴ ϖροβλέπων, Ὅμηρε, τὸν γίγαντά μου,
Τὸν σόν ϖοτε ζῶν ἐκρότεις Ἀχιλλέα;
Καὶ μὴν ὁ μὲν συνῆγε τοὺς Μυρμιδόνας[4],
Στράτευμα συχνὸν, καὶ σχεδὸν κρεῖσσον μάχης,
Καὶ τὸν Φίλον Πάτροκλον ἐγγὺς ἦν ἔχων·
Ὁ δ' αὐτίκα ϖρόεισιν εἰς ϖλείσ⸗ους μόνος,
Κἂν τοὺς Φίλους ϖόῤῥωθεν ὀκνοῦντας βλέποι.

Νοῦς. Παπαὶ, ϖαπαὶ, κτυπεῖ[5] με τεθρίππου δρόμος
Ἐξευγμένου ϖλέρυξιν οὐρανοσ⸗όλοις[6].
Πλὴν μὴ ϖρὸς αὐτὸν ἐκταραχθεὶς[7] τὸν ψόφον,
Συνῆκα γὰρ ὅς ἐσ⸗ι καὶ χάριν τίνος.
Βούλει μαθεῖν, βέλτισ⸗ε; καὶ τάδε Φράσω.
Τῶν ἀρετῶν ὁ δίφρος[8] ἐνθάδε τρέχει,
Τὸν ἄνδρα τιμῶν καὶ κροτεῖν τοῦτον θέλων.

Αἱ Ἀρεταί. Τί τοῦτο, Νοῦ; τί τοῦτο, Φιλῆ, τὸ θράσος;
Ἦρ' οὐκ ἐπαισθάνεσθε τῆς ἀβουλίας;
Ἆρά τι καὶ δοκεῖτε γενναῖον λέγειν,
Ἄνδρα κροτεῖν τοσοῦτον ἐσπουδακότες;

[1] W. in notis: «Verba mendosa facile corrigentur: Ἅπαντα γὰρ ϖρᾴως φέρει, ὅσ' ἂν τὸ ϖᾶν βάρβαρον ἐκπέμπει, ξίφη — ὅλῃ τῇ χειρὶ συμπλοκῆς ἄχθη σ⸗έγειν· ὁ τρισαρισ⸗εὺς κ. τ. λ.» Verba ὅλῃ τῇ χειρί vitiant metrum.

[2] W. ὦ pro ὁ.

[3] De hac formula vide Boisson. ad Pachymer. p. 115 et 326.

[4] Cod. Flor. Μυρμηδόνας.

[5] Vide v. 302.

[6] οὐρανοῦ σ⸗όλοις W. qui: Leg. οὐρανοσ⸗όλοις.

[7] Leg. ἐκταραχθῆς W.

[8] Vide infra LXXXVI, 4.

Ὢ τῆς ὑφ' ὑμᾶς[1] εἰσρεούσης αἰσχύνης·
Ἐκ γὰρ ἀγεννῶν[2] καὶ χαμερπῶν καυθάρων,
Τίς αἰγυπιὸς[3] εὐπρεπεῖς ἕξει κρότους;
Φιλῆς. Ἴσασι τοῦτο πάντες, οὐχ ὑμεῖς μόνον,
Ἡμεῖς δὲ, κἂν δοκῶμεν[4] ἐξαμαρτάνειν
Τούτους τάχα πλέκοντες[5] αὐτῷ τοὺς κρότους·
Ἀλλὰ φέρει καὶ τήνδε τὴν παροινίαν,
Σοφῶς ἐπαινῶν τὴν πρὸ τῶν λόγων σχέσιν.
Ὡς φῶς γὰρ ὑμνῶν τὸν Θεὸν καὶ δεσπότην
Τρανῶς[6] ὁ Δαυὶδ[7] συγκαλεῖ καὶ τὸ σκότος.
Νοῦς. Ἐπεί περ ἡμᾶς ἐνδεεῖς εἰκὸς μένειν·
Αἱρεῖ γὰρ αὐτὸς ὡς[8] ἀρίστευς τοὺς λόγους·
Ὑμεῖς κροτεῖτε τοῦτον, ἁγναὶ παρθένοι.
Ὁρῶ γὰρ ὑμᾶς εὐσταλεῖς καὶ κοσμίας
Ἄνωθεν εἰς γῆν τακτικῶς ἀφιγμένας.
Πλέξατε γοῦν στέφανον αὐτῷ χαρίτων,
Ἐκ τῶν παρ' ὑμῖν οὐρανοδρόσων[9] ῥόδων.

[1] ἐφ' ἡμᾶς W. qui corrigit ὑμᾶς.

[2] Cod. Flor. ἀγενῶν.

[3] W. αἰγυπλιός. Contra metrum. Vide cod. Par. CCXLI, 10.

[4] W. καὶ δοκοῦμεν.

[5] Conf. infra CXXXI, 85.

[6] Adverbium τρανοτέρως, quo carent lexica, in *Menolog.* Christoph. Patric. cod. Par. 1578, fol. 64 v°.

[7] Respici videtur ad Psalm. XVIII, 9, 11. W.

[8] Fort. ὁ W. Male.

[9] Infra v. 703 : Ἠθῶν δὲ λωτὸν οὐρανοδρόσον (leg. οὐρανόδροσον) φύει. Hac voce ditari possunt lexica, quibus addam alia ejusmodi composita: Οὐρανοβλέπλης, Chrysippus Hierosol. cod. Par. 513, fol. 103 v° : Ὁ τῶν θείων ὁραμάτων ὑπουργὸς ὁ οὐρ. θυσιοφωσφόρος (add. lexx.). — Οὐρανόβρυτος, cf. infra App. XIII, 1. — Οὐρανόγραπλος, *Græc. Orth.* Quirin. I, p. 264. — Οὐρανοδύναμος, Anon. cod. Par. 985, fol. 299 v° : Οὐρανοδύναμε Ἰησοῦ. — Οὐρανόπεμπλος, German. Cpol. cod. Coisl. 278, fol. 203 r° : Χρόνιον ἡμῖν ἥκεις τὸ θεῖον χρῆμα καὶ οὐρανόπεμπλον. — Οὐρανοπολίτευτος, Theod. Stud. cod. Paris. 891, fol. 261 r° : Καὶ τοιοῦτον βίον ἐπανηρημένοι πολυθαύμαστον καὶ οὐρανοπολίτευτον. — Οὐρανοπορέω, Cosmas ad Greg. Naz. p. 6 : Τὸ μετὰ τῆς καλλιε-

Ακαδημία Αθηνών / Academy of Athens

Φρόνησις. Ἐγὼ τὸν ἄνδρα τοῦτον ἐκ πρώτης χυόης[1]
Ὦκησα λαμπρῶς, ἀντὶ καινῆς πασλάδος.
Καὶ[2] τοὺς ἐμαυτῆς δεῦρο συλλέγω τόκους,
Καὶ τήνδε κοσμῶ τὴν ἐμὲ σχοῦσαν Φύσιν,
Ἔργων μεγάλων πέπλον ἱσλουργήσασα[3].
Πάντας γὰρ οὓς δείκνυσιν ὁ χρόνος ῥέων,
Σκηνὰς πενιχρὰς ἐν πανηγύρει[4] βλέπω.

Ἀνδρεία. Ἐγὼ δ' ἀπ' ἀρχῆς[5] ὀργανῶ καὶ συνδέω
Καὶ παιδαγωγῶ καὶ καταψῶ καὶ τρέφω,
Κρυπλῆς ἀμολγῆς τόνδε πηγνῦσα[6] ζέσει.
Ξύνειμι δ' αὐτῷ κἂν ἐπ' ἐχθροὺς ἐκτρέχοι,
Κἂν ἄρκτον αἱρεῖν τὸν θυμὸν παροξύνοι,
Κἂν εἰς μονιὸν τὴν βολὴν ἀκοντίσοι,
Κἂν ἄλλο τι δρᾶν ὁ στεφανίτης θέλοι.

Δικαιοσύνη. Ἐγὼ δὲ ῥυθμίζουσα τὴν τούτου Φύσιν
Ἀποκρύφου πλάσιγγος εὐαρμοστίᾳ
Ἀπληστίας ἄγευστον αὐτὸν δεικνύω.
Τὸ γὰρ περιττὸν εὐγενῶς ἀποπλύων,
Ζῇ μάλα σεμνῶς τοῖς ἀναγκαίοις μόνοις,

πείας ταῖς θείαις καὶ οὐρανίαις εὐνοίας οὐρανοπορεῖν συγγινόμενον. — Οὐρανοχάλκευτος, German. Constantinopol. l. l. fol. 24 v°: Ὁ μέγιστος ἐν προφήταις καὶ βασιλεῦσι Δαβὶδ, ἀξιόπιστος ὁδηγὸς καὶ στήλη τῆς μετανοίας οὐρανοχάλκευτος. Id. fol. 59 r°: Οὐρανοχάλκευτα ξίφη. — Οὐρανόφθαστος, Jo. Damasc. t. II, p. 836 B: Χαίροις ἡ οὐρανόφθαστος κλίμαξ.

[1] Cf. infra LIX, 7.

[2] Eis pro καί W. qui corrigebat καὶ τούς aut εἰς ὅν.

[3] Confer. cod. Flor. CXXV, 15.

[4] Videndum anne legi debeat, ἐν παροράσει *cum despicientia video*, i. e. παροράω πάντας; an vero hoc ἐν πανηγύρει sit intelligendum, *cum fastidioso joco et ludibrio*, seu intueor cæteros per contemtum. W. Minime; respicit ad σκηνὰς θεωρικὰς in festis πανηγύρεσιν erigi solitas.

[5] ἀπαρχῆς cod. Flor. et W.

[6] Cod. Florent. πηγνεῖσα et supra πηγνῦσα. «Locutio videtur capta esse ex Iob. X, 10.» W.

Καὶ τῇ ψυχῇ δίδωσι τὸ κρεῖττον μέρος,
Σοφῶς ταπεινῶν τὴν Φορὰν τοῦ μετρίου[1].
Σωφρο- 295 Ἐγὼ δὲ νυμφευθεῖσα τῷ στεφανίτῃ
σύνη. Μένω παρ' αὐτῷ δυσχερῶν[2] ὑπερτέρα·
Τῷ γὰρ χαλινῷ τῆς μεγαλοφυΐας[3]
Ἡνιοχεῖ[4] τὸ σῶμα τῷ χρόνῳ[5] βρέμον·
Φεύγων δὲ τὸ πρόσκομμα τῶν φιληδόνων
300 Ἀκωλύτως πρόεισιν εἰς ἄλλας[6] τρίβους
Ἀρᾶς ἀκανθῶν καὶ φθορᾶς ὑπερτέρας[7].

Νοῦς. Βαβαὶ, πάλιν ἄλλος με ταράττει κτύπος[8]·
Ἰδοὺ γὰρ ἐσμὸς παρθενικὸς εἰσρέει.
Συνῆκα δή[9] καὶ τοῦτον ὃς δὴ καὶ πόθεν·
305 Ὁ γὰρ μελισσῶν[10] τῶν ἐν αὐτῷ χαρίτων,
Τῷ τρισαριστεῖ καὶ στρατηγικωτάτῳ,
Φοιτᾷ πρὸς ἡμᾶς ἐξ Ἐδέμ τινος νέας,
Ἀκηράτων στέφανον ἀνθέων Φέρων.

Ἀλήθεια. Ἐμοὶ φίλος παῖς ἐκ τριχὸς πρωτοχρόνου[11]
310 Καὶ βάθρον ἑστὼς ὁ δρομεὺς οὗτος γίγας.
Εἰ μὴ γὰρ αὐτὸς τοὺς ἐμοὺς εἶργε δρόμους,
Ὡς Θρηικίου[12] χάρακα τὴν γλῶτταν Φέρων,
Ἔρημον ἂν ᾤκησα τὴν μακαρίαν,

[1] Vide notam Wernsd. qui plura tentat.

[2] δυσχερῶς W. qui nihil intellexit ob versum 301 omissum. Infra versus 679 : Δυσχερῶν ἐλευθέραν.

[3] Cf. infra xcv, 26.

[4] Linus ap. Stob. v, 22 : Ἡν (νηδὺν) ἐπιθυμία ἡνιοχεῖ μάργοισι χαλινοῖς.

[5] Fort. χόρτῳ vel κρότῳ W. Male.

[6] ἄλλους W. qui proposuit ἄλλας vel ἀγνάς.

[7] Hic versus deest in W. qui in aqua hærebat.

[8] Cf. v. 246.

[9] W. δ' οὖν pro δή.

[10] Cod. Flor. et W. μελισσῶν. Recepi correctionem editoris.

[11] πρωτοκρόνου W. qui recte corrigit πρωτοχρόνου. Cf. infra lix, 7.

[12] Cod. Flor. Θριγγίου. De frequenti γγ et γκ permutatione cf. Boisson. *An. gr.* t. I, p. 231.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ νῦν με λυποῦν ἐκφυγοῦσα πᾶν γένος,
Ὡς σπρουθὸς, ἂν δάκνῃ τις ἑρπύσας ὄφις.
Μνήμη. Ἐγὼ δὲ μὴ σπέγουσα τοὺς μνησικάκους,
Ἴσχουσιν ἂν [1] θάνατον αἱ τούτων τρίβοι,
Εἰς αὐτὸν ἐσκήνωσα τὸν σπεφανίτην,
Ὃς μνημονικός [2] ἐστι τῶν ἄλλων πλέον.
Χρῆται δέ μοι κάλλιστα δεικνὺς τὴν Φύσιν,
Ὡς ἐστι μεστὴ τῶν καλῶν τῶν ἐμφύτων,
Πηγνῦσα τὸν νοῦν τῇ βάσει τῆς κράσεως.
Ἐλεημοσύνη. Ἐμοῦ δέ τις ἔμπροσθεν αὐτοῦ βελτίων;
Ἔχει γὰρ ὡς νύμφην με καὶ σύνεστί μοι,
Καὶ ζῶ παρ' αὐτῷ καὶ τρυφῶ τῷ νυμφίῳ.
Τηρεῖν δέ μου τὸ κάλλος ἀκραιφνὲς [3] θέλων
Εἰς τοὺς ἀποκρύφους με θαλάμους ἄγει
Καὶ ζηλότυπός [4] ἐστι καὶ νήφει [5] βλέπων·
Δέδοικε γὰρ μή τίς με συλήσας λάθῃ.
Πραότης. Ἐγὼ δέ σοι τί; μὴ γὰρ οὐκ ἐπιπρέπω [6];
Καὶ μὴν τὸ πᾶν πρόσωπον αὐτῷ φαιδρύνον [7]
Καὶ τῆς ῥινὸς τὸ σχῆμα δεικνῦσα θρόνον,
Ἐντεῦθεν αὐτοῦ ζωγραφῶ τὴν καρδίαν.
Εἰκὸς γὰρ αὐτῆς τὰς ἐναργεῖς ἐμφάσεις

[1] W. ἴσχουσι γάρ. Ex Proverb. XII, 28.

[2] Infra CXXX, 35.

[3] W. ἀκραιφνόν. Heliodor. III, 4, p. 133 : Ἀκραιφνὲς κάλλος.

[4] Anon. in Psalm. cod. Par. 371 A, fol. 169 r° : Ἀγαθὴ γὰρ ἦν ἡ ζηλοτύπησις αὕτη. Hanc vocem Ζηλοτύπησις ignorant lexica, quibus accedant Ζηλοτυποειδής, Origen. cod. Coisl. 17, fol. 96 r° : Ὡς τὰς μὲν εἶναι οἰκονομίας θυμοειδεῖς, τὰς δὲ ζηλοτυποειδεῖς. Et Ζηλοπαθής, Theod. Stud. cod. Par. 891, fol. 83 r° : Μηδεὶς γελωτοποιὸς, μηδεὶς ζηλοπαθής.

[5] νιφεῖ W. qui in notis : F. νήφει aut νεύει.

[6] Cod. Flor. ἐπιτρέπω et supra ἐπιπρέπω. W. ἐπιτρέπω.

[7] W. φαιδρύνω.

Εἰς τὰς παρειὰς εὐπρεπῶς ἀνατρέχειν.
Ἆρ' οὖν ἔχεις κρίνειν με σαυτῆς δευτέραν;
Ἀγχίνοια. Πάρειμι κἀγὼ τῶν γε πολλῶν βελτίων·
Κοσμῶ γὰρ αὐτὸν ὥσπερ ἁπλῶς οὐδένα,
Καὶ δείκνυμαι φῶς εἰς τὸ τῆς μνήμης βάθος,
Καὶ γίνομαι πῦρ εἰς τὸ τῆς λήθης βάρος,
Καὶ δαπανῶ τὸν ὄκνον ὡς κούφην ὕλην.
Πρόειμι δ' εὐθὺς, ἀλλ' ὑποστρέφω πάλιν,
Πληροῦσα τὸν νοῦν, μὴ κενὸς δήπου δράμῃ.
Εὐθύτης. Εἰ φίλος ἐστὶν ἄλλος αὐτὸς, ὡς λόγος,
Ἐγὼ μὲν αὐτὸς οὑτοσὶ δ' ἐγὼ πάλιν·
Φιλῶ γὰρ αὐτὸν, ὡς ἐμαυτὴν, ἐκ βρέφους.
Κἄν τις ἔροιτό τινα, τίς ὅδε, ξένε;
Ἐρεῖ παρευθὺς, ὡς ἀμιγὴς εὐθύτης.
Ἅπαντα γὰρ πόρρωθεν ἐκκλίνων δόλον,
Τρέχει πεποιθὼς, οὗπερ οὐκ εἴργει σκόλοψ.
Ἐγκράτεια. Κἀγὼ μετ'[1] αὐτοῦ πάντα κοσμῶ τὸν βίον·
Ὅταν γὰρ εἰς χρήματα καὶ κάλλη βλέπῃ
Καὶ τῶν τραπεζῶν τὴν ἀπειροκαλίαν,
Καὶ τὸν περιττὸν τῆς κενῆς δόξης τύφον[2],
Πάρειμι συστέλλουσα τὴν ἀμετρίαν
Καὶ τοῦ κόρου δείκνυμι τὴν ἀκοσμίαν,
Ἄνθρωπος εἶ, λέγουσα τῷ στεφανίτῃ.
Ταπείνωσις. Ἐγὼ δ' ἐπ' αὐτῆς ἐμβριθῶς τῆς καρδίας
Ἕλκω τὸν ἄνδρα τοῦτον ὑψόθεν[3] κάτω·
Καὶ πείθεται δὴ[4] τὸν Θεὸν δεῦρο βλέπων
Θνητοῦ γένους πρόσληψιν ἡμφιεσμένον.

[1] Fort. μέν W.
[2] Infra II, 60 : Ὁ τῆς δόξης τύφος.
[3] Cod. Flor. ὑπόψεν.
[4] W. δέ. De eadem confusione cf. Boisson. *An. gr.* t. I. p. 450.

Μισεῖ γὰρ ἀθρῶν τοῦ ϖονηροῦ τὸν Θρόνον [1],
Ὃν ἐκ νεφῶν ἔῤῥιψεν ἀσϒραπῆς δίκην
Ἔπαρσις οἰκτρὰ μέχρι μυχῶν ἐσχάτων.

Φιλῆς. Ὦ Νοῦ, ϖάλιν ϖρόελθε καὶ δίδασκέ με,
Μᾶλλον δὲ τὴν αἴσθησιν ἐγκαίνιζέ μοι.
Καὶ γὰρ ὁ σεμνὸς ὁρμαθὸς τῶν ϖαρθένων,
Οἷς εὐσϒόχως εἴρηκεν, ἐξέπληξέ με.
Σὺ δ' ἐξ ὑπαρχῆς ἄλλον ἁρμόζου [2] κρότον
Καὶ τὸν ϖολυθρύλλητον ἐξέταζέ μοι
Ποῦ δή ϖοτ' [3] ἐσϒὶν, ἀλλὰ καὶ ϖῶς ἄρ' ἔχει;

Νοῦς. Νῦν βασιλεῖ σύνεσϒι, καὶ μόνος μόνῳ
Σοφῶς ὁμιλεῖ· τῷδε γὰρ τούτου δίχα
Κοινωνὸς οὐδεὶς ἐσϒι τῶν ἀποκρύφων·
Εἰσὶ δ', ἃ Φασὶν, ὁπλιτικαὶ Φροντίδες
Καὶ ϖοικίλα σκέμματα [4] τῆς Θρᾴκης χάριν,
Μή ϖού τις ἐχθρὸς αὐϑαδῶς ἐπιδράμῃ,
Λαθὼν τὸν ἐσμὸν τῶν ϖαρ' ἡμῖν ταγμάτων.

Φιλῆς. Ἆρ' οὐκ ἀγαθὸν καὶ καθεύδειν ἔσθ' ὅτε
Καὶ τοὺς ὑπερβάλλοντας ἀμβλύνειν ϖόνους;
Ἆρ' οὐκ ἔτι κέκμηκεν ἡ τούτου Φύσις;
Ἐσϒὶ γὰρ ἢ σίδηρος, ἢ δρῦς, ἢ λίθος,
Ὅταν ἑκὼν τὸ σῶμα ϒυμνάζειν Θέλοι,
Ἢ καὶ τροφῆς ἄϒευσϒον ἡ ϖεῖρα κρίνοι [5]

Νοῦς. Ἄσαρκος οὐκ ὢν, ἑσϒιᾷ μὲν τὴν Φύσιν,
Πλὴν ὡς λοϒικὸς τοῦ ϖεριτϒοῦ βελτίων,

[1] W. τρόπον.
[2] ἅρμοζε W. qui in notis : Ms. ἁρμόζου.
[3] Ποῦ δήπος ἐσϒίν W. qui corrigit ϖοῦ δή ϖοτ'.
[4] Cod. Flor. σκάμματα.
[5] W. κρίνει.
[6] Fort. ὡς pro τόν W.
[7] ἄϒευσϒον W.
[8] Cf. cod. Flor. CLXII, 20.

Ακαδημία Αθηνών / Academy of Athens

Ὑπνοῖ[1] δ' ἀμυδρὸν, ὥστε κἀμὲ λανθάνειν.
Τοῦ γὰρ κόρου πέφευγε τὴν ἀμετρίαν,
Ὃς[2] ὕβρεως μέν ἐστι πατὴρ, ὡς λόγος,
Νόσους δὲ γεννᾷ καὶ σθεναροὺς ἐκλύει
Καὶ τῷ βίῳ κίρνησι τὰς περισπάσεις.

Φιλῆς. Ὦ θάμβος ὀφθὲν εἰς τὸ δεῦρο τοῦ χρόνου!
Πῶς εἰς τοσαύτην ἦλθεν ἀκμὴν ἡ Φύσις,
Ὡς ἐξενεγκεῖν εἰς τὸ νῦν τοῦτον γένος;
Ὡς ἥλιος γὰρ ἐν βαθεῖ νεφῶν ζόφῳ,
Καὶ ψυχρότης ὕδατος εἰς τῆξιν[3] θέρους,
Ἢ καὶ ῥόδον βρύουσα χειμῶνος[4] δρόσος,
Ὁ πανταδαπὸς οὗτος ἡμῖν εὑρέθη.

Νοῦς. Ἐκ τῆς Μυσῶν ἥκουσί τινες ἐνθάδε,
Καὶ τοῦτον ἱστοροῦντες ὡς θαῦμα ξένον,
Εἶτα παλινοστοῦσιν[5] εἰς τὴν πατρίδα,
Καὶ γίνεται τοῖς πᾶσιν εἷς οὗτος λόγος
Καὶ κοινὸν ἐντρύφημα τῶν ἀλλοτρίων·
Τὰς γὰρ παρ' ἐχθρῶν μαρτυρουμένας Φύσεις
Μόλις ὁ πᾶς δείκνυσι τῷ γένει χρόνος.

Φιλῆς. Καὶ τοῦτο δή πως ἀντὶ πάντων ἓν μέγα.
Πλὴν καὶ σὲ[6], Νοῦ βέλτιστε, θαμβεῖ τὸ ξένον·
Ὡς τις[7] γὰρ ἐμβρόντητος ἀλγεῖς καὶ στένεις,
Καὶ τοὺς πρὸς ἡμᾶς οὐκ ἀπαρτίζεις λόγους.
Εἰ δ' αὐτὸς ὢν ἄτρεστος ἠσχύνθης τάχα,

[1] W. ὑπνεῖ.

[2] ὡς W. qui corrigens ὅς, addit: Respicitur vero ad proverbiale effatum Theognidis *Sentent.* vs. 154: Τίκτει τοι κόρος ὕβριν.

[3] W. θῆξιν.

[4] Fort. λειμῶνος W. Male.

[5] πάλιν ἱστοροῦσιν W. qui recte proposuit παλινοστοῦσιν.

[6] σὺ — θαμβεῖς τὸν ξένον W. qui τόν mutabat in τό.

[7] Cod. Flor. ὅστις.

Ακαδημία Αθηνών / Academy of Athens

Τί σείσεται σὰρξ ἂν τὸ νῦν τέρας βλέπῃ,
Καὶ σρὸς τοσοῦτον ὄγκον ἡ τέχνη τρέχῃ [1].

Νοῦς. Σύμφημι· καὶ τὴν ἧτταν οὐ κρύπτειν θέλω·
Σεμνύνομαι γὰρ ὡς σοθεινῷ τῷ σάθει,
Τὸν ἄνδρα τιμῶν καὶ δοκῶν οὐδὲν λέγειν·
Συστέλλομαι δ' οὖν ὡς ἐν Εὐρίπου [2] ζάλῃ,
Τὸν τῶν λόγων ἴλιγγον οὐκέτι στέγων·
Τῆς σῆς [3] δὲ Φειδοῖ γνωστικῆς δειλανδρίας
Τὴν τῶν κρότων σύναρσιν εἰσφέρων τρέμω [4].

Φιλῆς. Ἂν εἰς μέγαν κίνδυνον, ὡς ἔφης, τρέχῃς,
Τί μὴ διαδρὰς [5] ἐν μυχοῖς γῆς εἰσδύνεις;
Ἀλλ' ὡς δικαστὴς ἐμβριθὴς ἐπὶ θρόνου
Τοῖς τῶν κρότων λήμμασι τὰς ψήφους [6] τίθῃς;
Ἢ καὶ σοφιστοῦ τινὸς οἰδοῦντος τρόπον,
Ὀφρῦς ἀνασπᾷς καὶ λαρυγγίζεις μάτην,
Ἐπεὶ [7] τὸ νικᾶν ὁ στεφανίτης [8] ἔχει.

Νοῦς. Ὡς μὲν τοσοῦτός ἐστι, πᾶς ἄν τις λέγοι·
Καὶ τέτιγες [9] δ' οὖν εἰς μεσημβρίαν θέρους
Ἄδουσιν, ὦ βέλτιστε, τῶν σρέμνων μέσον,
Τὸ συγχυτικὸν καὶ θορυβῶδες μέλος [10].
Ἑρμῆν δὲ τιμᾶν τοὺς ἐφημέρους λόγος [11],

[1] W. τρέχει.

[2] Cf. infra ccxxxi, 149.

[3] Cod. Flor. τοῖς σοῖς.

[4] τρέμων W. qui corrigebat εἰσφέρω τρέμων.

[5] διαδροῖς W. qui corrigit διαδράς.

[6] καὶ ψῆφον W. qui in notis : «Ms. ψήφου.» Infra v. 964 : Ἡ γὰρ φύσις τίθησι τὰς ψήφους τέως.

[7] ἐπί W. et in not. ἐπεί.

[8] W. στεφανίτις.

[9] W. in notis : Ms. τέτιγγες.

[10] W. τὸ συγχυτικόν τε καὶ θορύβῳ δεσμουμένον. In notis : «Fort. τι σύγχυτον καί.» Orph. *Argon.* 7 : Φίλον μέλος ἀείδοντα. Ælian. ap. Stob. *Florileg.* xxix, 58 : Μέλος τι Σαπφοῦς ᾄσαντος.

[11] λόγους W. et in notis : «Fort. λόγος.» Cf. cod. Par. x, 22.

Καὶ τοῦτον[1] αὐτοῖς ἀντιμετρεῖσθαι[2] ϖάλιν
Τὸ ζῆν τροφῆς ϖλὴν ἐμφορουμένους δρόσου.
Φιλῆς. Σὺ δ' ἀντὶ[3] μισθοῦ τῆς ἀνειμένης λύρας
Τί δή ϖοτ' ἂν ἥδισϑα λαμβάνοις, λόγε;
Καὶ γὰρ ἕτοιμός ἐσϑιν ἀντιδιδόναι,
Μᾶλλον δὲ καὶ δίδωσι, μηδὲν λαμβάνων,
Ὁ ζῶν ἐφ' οἷς δεῖ καὶ τὸ[4] διδόναι ϖνέων·
Κἂν οὐδὲ μισθόν τινα λαμβάνειν[5] ϑέλοις,
Οὐκ οἶδ' ὅτι δρᾷς· μὴ γὰρ οὐ τύφος τόδε;
Νοῦς. Μῶν οὐκ ἀμοιβὴ καὶ τὸ τολμᾶν τι γράφειν
Καὶ τοὺς κεραυνοὺς μὴ ϖαραυτίκα φλέγειν;
Μῶν οὐκ ἀμοιβὴ καὶ τὸ ϖρὸς τοῦτον γράφειν,
Τὸν τοὺς λόγους μάλισϑα σεμνύνοντά μοι[6];
Σὲ δ' ἄλλο τι χρὴ τῶνδ' ἔκητι λαμβάνειν
Εἰ μὴ γέλως; γνώριζε τὸ σκέμμα Φράσας[7]·
Κρεῖσσον γὰρ ὧν εἴρηκα ϖῶς ἔξεις λέγειν;
Φιλῆς. Ἐγὼ τὸ[8] σιγᾶν κέρδος ἡγοῦμαι ϖλέον·
Τὸ γὰρ ἀμαθῶς ἐγκυβισϑᾶν[9] εἰς βάθος
Πρὸς ἀγχόνην δήπουθεν οἰκτρὰν ἐξάγει[10].
Ἐπεὶ[11] ϖρὸς αὐτὸν τὸν σϑρατηγὸν τὸν μέγαν
Μαθητιῶσι ϖάντες, ὡς ὄχλος[12] νέων

[1] W. τοῦτο.

[2] Cod. Flor. ἀντιμετρῆσθαι.

[3] ἄν τι Wernsd. qui recte in notis : Fort. ἀντί.

[4] W. Fort. τῷ. Contra metrum.

[5] Cod. Fl. λαμβάνοιν.

[6] W. μου.

[7] Φράσαι W. qui in notis : Fort. Φράσας.

[8] W. δέ pro τό.

[9] Eustath. *Opusc.* p. 8, 29 : Καὶ ἀρθέντες μετέωροι ταῖς τραπέζαις ἐνεκυβίσϑων. Laud. S. Barnab. ap. Bolland. Jun. t. II, p. 437 : Εὑρεθήσεται δὲ βυθῷ ϑαυμάτων ἐγκυβισϑῶν. Cod. Reg. 1219, ἐγκωμιασϑῶν, male.

[10] W. ἐξάγοι.

[11] W. in notis : Ms. ἐπί.

[12] ὄχλος cum plurali. Vid. supra ad v. 109.

Ἐν συσλολῇ φοιτῶντες ἐς διδασκάλου
Καὶ τοὺς τόμους φέροντες ἠγκαλισμένους.
Νοῦς. Καὶ τίς φρενῶν τοσοῦτον ἐσλερημένος,
Ὡς εἰς καθαρὰν ἀμβλυωπεῖν[1] αἰθρίαν,
Ἐξὸν βλέπειν[2] φῶς καὶ τρυφᾶν τοῖς ὄμμασι;
Τίς δ' ἄρα διψῶν εἰς τὸ ῥεῖθρον οὐ τρέχει;
Τίς δ' ἀρτύσας[3] τράπεζαν οὐκ ἂν ἐσθίοι[4];
Ῥιγῶν δὲ τίς ἥκισλα φιλεῖ τὴν ζέσιν,
Ἢ γυμνὸς[5] οὐ γέγηθεν, εἰ λάβοι σκέπην;
Φιλῆς. Λύχνος μὲν οὗτός ἐσλι καὶ φῶς τῷ χρόνῳ
Καὶ φωσφόρου Ἑάλποντος οὐχ ἧτλον ζέων.
Ἀλλὰ δεδοικὼς τῶν πυραυσλῶν[6] τὸν μόρον
Ὡς ἀφρόνων[7] ἔλεγχον ἐκ παροιμίας,
Τὸ φῶς ὁρῶ πῦρ, καὶ παρευθὺς ἐκκλίνω.
Θιγὼν δὲ ταῖς πλέρυξι τῆς τέχνης μόνον
Εἶθ' ὥσπερ εἰκὸς πρὸς τὸ φῶς ὑποσλρέφω.
Νοῦς. Οὐκοῦν, ὅ, τι χρὴ, τόνδε τὸν μέγαν κάλει,
Καὶ τῶν κρότων ῥύθμιζε τὴν μουσουργίαν,
Ὡς ἀρχέτυπόν τινα τὴν κτίσιν βλέπων.
Τὰ γὰρ ὑπὲρ δύναμιν οὐκ ἂν εἰσφέροις,
Οὐδ' ἂν λόγους πρέποντας ἐνθάδε γράφοις[8],
Μὴ παιδαγωγούντων σε καὶ τῶν πραγμάτων,
Ὡς ἂν ἀπ' αὐτῶν τὰς ἀφορμὰς λαμβάνοις.
Φιλῆς. Ἥλιον ἂν εἴποιμι τὸν γίγαντά μου.

[1] Ms. ἀμβλυωπήν W.
[2] Ms. βλέπον W.
[3] *De animal.* 185 : Καὶ δευτέραν τράπεζαν ἐξερασμάτων Ἡ φύσις αὐτοῖς ἐξ ἀνάγκης ἀρτύει. *Ibid.* 1197 : Καὶ τραπέζας ἀρτύει.
[4] W. ἐσθίει.
[5] γυμνὸν εἰ W. qui recte in notis : Fort. γυμνὸς οὐ.
[6] πυραισλῶν W. qui corrigit πυραυσλῶν. Vide notam editoris.
[7] ἀφρονῶν cod. Fl. ἀφρόνως W. qui volebat ἄφρονος vel ἀφρονῶν.
[8] γράφεις W. et in notis γράφοις.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γὰρ ἐν αὐτῷ κάλλος ἐστὶ καὶ τάχος,
Καὶ τῶν ἀηδῶν τὸν βαθὺν ζόφον [1] λύει,
Καὶ πάντας ἁπλῶς ἑστιᾷ καὶ φαιδρύνει·
Ποῖος γὰρ αὐτοῦ [2] δυστυχὴς ἀπεκρύβη;
Ἢ τίς πρὸς αὐτὸν ἀκλινῶς ἔχει βλέπειν
Κἂν ὡς ὁ Λυγκεὺς [3] καὶ τὰ μακράν που βλέποι;

Νοῦς. Ἐγὼ δὲ καὶ πῦρ, εἰ δοκεῖ, τοῦτον κρίνω
Πρὸς βαρβάρων φάλαγγας ἐσκευασμένον·
Ὀξύτερον γὰρ ἀστραπῆς ἐπιτρέχον [4]
Ὡς χόρτον αὐτὰς ἐκτετηκότα φλέγει.
Θυμοῦ δὲ καπνὸν [5] τοῖς πονηροῖς ἐγχέει,
Καὶ τέφραν αὐτοὺς καὶ ψιλὸν χοῦν [6] δεικνύει,
Ζήλου πνέων ἄντικρυς Αἰτναῖον βρόμον.

Φιλῆς. Ἐγὼ δέ φημι καὶ πνοὴν χρῆναι κρίνειν
Καὶ ζωτικὴν δύναμιν αὐτὸν ὑψόθεν·
Χεῖται [7] γὰρ εἰς ἅπαντας ἀχρόνῳ ῥύμῃ [8]
Καὶ τοὺς ταπεινοὺς καὶ βραχεῖς ἀναψύχει,
Καὶ μέχρις αὐτῶν εὐδρομεῖ τῶν ὀστέων,
Ὡσεὶ στέαρ [9] μέλιτος, ἡ τούτου δρόσος
Τῶν ἡπάτων σμήχουσα τὴν καχεξίαν.

Νοῦς. Ὕδωρ ἐγὼ ζῶν τὸν στεφανίτην βλέπω·
Τοῖς γὰρ ἀγωγοῖς τῆς ψυχῆς τῆς ὀλβίας
Ἀνάστομοί [10] τὰ ῥεῖθρα τῆς εὐσπλαγχνίας·

[1] Infra CI, 8 : Ὃ τῶν ἀηδῶν ἐξελαύνει τὸν ζόφον.

[2] « Posses putare, pro ἀπ' αὐτοῦ positum. Sed præstat leg. αὐτῷ. » W. Male.

[3] Cod. Fl. Αυγγεύς.

[4] W. ἐπιτρέχων.

[5] Esa. LXV, 5 et 2 Sam. XXII, 9. W. Cf. infra C, 2.

[6] Psalm. XVIII, 42. W.

[7] W. κεῖται. Eadem confusio supra v. 167 et infra v. 501.

[8] Fort. ῥιπῇ W. Male.

[9] ὡσεὶ σταγὼν τοῦ μέλιτος W. qui corrigebat τις pro τούτου. At veram lectionem exhibet cod. Flor.

[10] W. ἀνάστομεῖ.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀντλούμενος δὲ πάλιν ἐκχεῖται[1] ῥύδην
Καὶ γίνεται ῥοῦς δαψιλοῦς ἐπομβρίας
Πᾶν ἄλγος ἁπλῶς καρδιῶν ἀποπλύνων,
Καὶ τοὺς καθ' ἡμῶν δυσμενεῖς ἀποπνίγων[2].

Φιλῆς. Ἐγὼ δὲ καὶ γῆν δεκτικὴν πάντων κρίνω·
Χωρητικὸς γάρ ἐστι τῶν χαρισμάτων,
Ὡς εἰς βάσιν[3] μόνιμον ἐστηριγμένος·
Στέγει δὲ πᾶν δύσοιστον[4] εὐψύχως βάρος
Τῶν πραγμάτων ἥδιστα τὴν βλάστην φύων·

Κἄν που κλονηθῇ, πάλιν ἑδραῖος μένει,
Καὶ τοὺς ἐπεισρέοντας[5] ἀφθόνως τρέφει.

Νοῦς. Ἆρ' οὐχὶ καὶ θάλασσαν αὐτόν μοι κρίνεις;
Τοῦ τῆς ἁλυκότητος ἐξαίρων πάθους[6],
Εἶναι λέγοις ἄν, ἔστι γὰρ οὕτω μέγας.
Εἰ δ' οὐκ ἔχει κλύδωνας ἀντισυστρόφους,
Μὴ θαυμάσῃς[7], βέλτιστε, μηδὲ δισταίσῃς·
Στορέννυται γὰρ εἰς ψυχικὴν αἰθρίαν
Εὐποιΐας[8] ἔλαιον οὐ φαῦλον φέρων.

Φιλῆς. Ἰχθύν με λοιπὸν τοῦδε τοῦ πόντου σκόπει,
Καὶ προσφάτως γόνιμον ἡγοῦ τὸν μέγαν.
Ὁ μὲν γὰρ ἀφθόνως με λιπαίνει τρέφων,
Ἐγὼ δὲ σιγῶ τῆς ἀμοιβῆς τοὺς κρότους
Οὐδὲν λέγειν αὐταρκες[9] ἁπλῶς ἰσχύων,

[1] W. ἔγχειται. Vid. supra v. 493.

[2] W. ἀποπνίγει.

[3] Alludit ad Psalm. civ, 5. W.

[4] Cf. cod. Esc. ccvi, 9.

[5] An *οἱ ἐπεισρέοντες* pro *οἱ κλονοῦντες* invadentes hostes? Tum vero pro *τρέφει* legendum erit *στρέφει*, *fugat et abigit eos*. W.

[6] *τί τῆς — πάθος* W. qui in notis : Legebam *ἐξαῖρον*. At nunc solum scribo, *τὸ τῆς*, ac post *πάθος* interpungo.

[7] W. *θαυμάζῃς* et *δισταίζῃς*.

[8] *εὐποιάν* W. qui recte : Fort. *εὐποιΐας*.

[9] *αὐτάρχες* Wernsd. qui corrigit *αὔταρκες*.

Ἀλλὰ κεχηνώς εἰμι τὴν χύσιν βλέπων,
Καὶ νήχομαι ζῶν εἰς τὸ φῶς τῶν ἐλπίδων.
Νοῦς. Κἂν ὠκεανὸν τοῦτον ἡ τέχνη γράφοι,
Οὐκ ἂν ἐπ' αὐτῷ παντελῶς ἁμαρτάνοι·
Τοὺς γὰρ ποταμοὺς τῶν καλῶν προσλαμβάνει·
Πᾶσαν δὲ ταῖς χάρισι κυκλοῖ τὴν κτίσιν,
Φήμης ἀγαθῆς ἐμμελῆ ῥοῖζον φέρων·
Μᾶλλον δὲ τὴν Φρόνησιν ὡς χύμα σιρέφων
Εἰς τήνδε τὴν γῆν καὶ τὸ τῆς τύχης πλάτος.
Φιλῆς. Ἶρίς τις ἐστὶν ὁ χρυσοῦς οὗτος γίγας,
Ὡς οὐρανὸν κοσμοῦσα τὴν κάτω κτίσιν·
Σημαντικὸς γάρ ἐστι κοινῆς αἰθρίας
Πολυτρόποις χρώμασιν εὐκλείας[1] βρύων,
Λύων δὲ τὸν κλύδωνα[2] τῆς ἀθυμίας,
Τῶν δακρύων ἴσλησι τὴν ἐπομβρίαν.
Ὢ τόξον ἡδὺ τῶν φίλων ταῖς ὄψεσι!
Νοῦς. Νέφος τι καινόν ἐστιν ὁ στεφανίτης
Τὸν τοῦ κράτους ἥλιον[3] ἐν στέρνοις φέρων.
Ἐκτείνεται γὰρ καὶ χρυσοῦν μάννα[4] βρέχει
Τῶν ὁπλιτικῶν ἐν μέσῳ σκηνωμάτων.
Κἄν τις πονηρὸς εὖ πεπονθὼς γογγύσῃ,
Πάλιν ἐπ' αὐτὸν ἀργυρᾶν ὕει δρόσον[5].
Ὂ δὴ νέφος, βέλτιστε, μὴ λύσαι χρόνος.
Φιλῆς. Ἀστήρ τις οὗτός ἐστιν οὐρανοστόλος,
Καὶ νυκτομαχεῖν οὐκ ἐᾷ τοὺς ὁπλίτας,
Ὅταν ὁ καιρὸς εὐπρεπὴς ᾖ τῆς μάχης·

[1] W. εὐκλείαν.
[2] Cf. v. 689.
[3] Cf. v. 553. Infr. v. 606 : Τοῦ κράτους τὸν Φωσφόρον. Infra LXIII, 13.
[4] Ephræmius, *Chronic.* 236 : Τ ὑψόθεν βλύσαντα τῷ λαῷ μάννα.
[5] Cod. Par. CCXLI, 19 : Ῥήματος ὀμβρίσας δρόσον. Cf. XXXV, 45.

Ἀλλ' εὐθέως ἔσπηκεν ἀσπράπλων μόνος
Ταῖς μαρμαρυγαῖς τῶν ἐπ' αὐτοῦ φασμάτων·
Φωτισπικαῖς γάρ τισιν αὐγαῖς πραγμάτων
Ὁ τοῦ κράτους ἥλιος αὐτὸν φαιδρύνει.

Νοῦς. Χάλαζα[1] συντρίβουσα τοὺς ἀλλοτρίους
Ὁ λαμπρὸς ἥρως οὗτος, ὃν[2] κάτω βλέπεις.
Ταῖς γὰρ πονηραῖς ἀμπέλοις τῶν βαρβάρων,
Ὧν ἡ σταφυλὴ κόνδυ κιρνᾷ πικρίας[3],
Πόῤῥωθεν ἐκσπᾷ τετριγὼς τὰς ἐκφύσεις,
Καὶ τὴν βλάβην[4] πρόῤῥιζον αὐταῖς εἰσφέρει,
Μὴ δευτέροις ὄμφαξιν ἡ βλάστη βρίθοι.

Φιλῆς. Ἐγὼ δὲ καὶ πρησπῆρα καλῶ τὸν μέγαν
Ἐκ τῶν ἄνω βρέμοντα δεινῶς ἀνθράκων·
Τοὺς γὰρ ἑλικτοὺς καὶ σπυγητοὺς σατράπας
Ὡς δυσμάχους δράκοντας ἁρπάζει φλέγων,
Καὶ τοὺς συριγμοὺς τῶν ἀπειλῶν μὴ στέγων
Θεῖον κατ' αὐτῶν ἀκρατῶς ἐπιβρέχει[5]
Καὶ κινδύνου δύσοιστον ὁδμὴν[6] ἐσχάτου.

Νοῦς. Ὅρος τυρωθέν ἐστιν ὡς Δαυὶδ[7] λέγει·
Τὸ δ' αὐτὸ Φιλόμουσε[8] καὶ πῖον γράφει·
Δροσίζεται γὰρ τῷ γλυκασμῷ τῆς τύχης·
Καὶ πᾶς τις ἁπλῶς δυσπραγῶν καὶ δακρύων
Ὡς ἐξ ὕλης ἔλαφος εἰς τοῦτο τρέχει·

[1] Infra XCV, 124 : Καὶ συντριβῆς χάλαζα κοινῆς ἐῤῥάγη.

[2] W. in notis : «Fort. ἄν.» Malim οὗτος· οὐ κάτω βλέπεις;

[3] πικράν..... (sic) W. qui recte corrigit πικρίας.

[4] Alexis ap. Stob. *Flor.* VI, 24, βλάβην φέρω, sed alio sensu.

[5] Respectu ad Ezech. XXXVIII, 22. Cf. supra v. 140.

[6] W. ὀσμήν.

[7] W. Δαβίδ. Locus exstat in Psalm. LXVIII, 15.

[8] Fort. φιλομούσως W. Contra metrum. Leg. φιλόμουσα, quod idem est. Φιλομουσία ap. Strab. p. 638.

Κἀνταῦθα πηγνὺς τῆς ἀγωγῆς τὰς βάσεις
Τοὺς τῆς τελευτῆς οὐχ ὑποπλήσσει βρόχους.

Φιλῆς. Δρυμός τις ἐστὶ καὶ βαθὺς λόχμης τόπος,
Τρέφει δὲ καὶ κνώδαλα, θηρίων γέμων.
Τούτων γὰρ εἰς ἕκαστον εὐσπλάγχνως[1] βλέπει,
Καὶ τοῖς τιθασσεύουσι μαλάττει κρότοις
Εἴ τι σλεγανὸν τῆς ψυχῆς τῶν ἀφρόνων.
Μᾶλλον δὲ λειμών ἐστιν, οὗ πάντες[2] πέριξ
Βομβοῦμεν ἡμεῖς ἀντὶ κηφήνων φάγων.

Νοῦς. Πηγή τις ἐστὶν εἰς μεσημβρίαν θέρους
Καὶ ψυχρὰ καὶ πότιμος εἰς ὥραν πνίγους.
Ἀνασλομῶν γάρ τινας ἀῤῥήτους φλέβας
Διψῶντας ἡμᾶς εὐμαρῶς ἀναψύχει,
Λύει δὲ τοῖς πένησι τὴν λειψυδρίαν
Τῇ τῆς ἀγαθῆς δεξιᾶς ἐπομβρίᾳ·
Πτωχοτρόφος γάρ ἐστιν ὁ σλεφανίτης.

Φιλῆς. Καὶ δένδρον αὐτὸν οὐρανοδρόμον βλέπω
Φυτευθὲν[3] εἰς αὔλακας εὐθὺς ὑδάτων·
Καὶ γὰρ ἔχει πέτηλα πυκνὰ τοὺς λόγους,
Τὸν καρπὸν[4], ὦ βέλτισλε, τῶν ἔργων φύων·
Τίς οὖν θεωρῶν τὴν σκιὰν καὶ τὴν τρύγην
Καὶ τὴν ἀναψύχουσαν[5] ἐντεῦθεν δρόσον,
Οὐ θαῦμα σαφὲς τὸν σλεφανίτην κρίνει;

Νοῦς. Ὄχνην ἐγὼ τὸν ἄνδρα καὶ μῆλον μέγα
Καὶ ῥοιὰν ἡδύκοκκον εἰς δένδρων[6] φθίσιν
Καὶ τῶν ἀφανῶν ἀντιφάρμακον[7] πόνων,

[1] W. εὔσπλαγχνος.
[2] W. πάτων pro πάντες.
[3] Alludi videtur ad Ps. 1, 5. W.
[4] Cf. infra v. 664.
[5] Cod. Par. 11, 102: Ἡ γὰρ ἀναψύχουσα μικροῦ με δρόσος.
[6] Fort. δεινῶν W. Recte.
[7] Cf. cod. Esc. CLXXXVIII, 2.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ ϖᾶν ὅ, τι χρὴ τόνδε καλέσαι κρίνω.
Πλὴν τίς τοσαύτην εὗρεν εἰς ταῦτα δρόσον,
Ὅσην οἱ [1] σεμνῶς τοῦ καλοῦ γεγευμένοι,
Οὗ τὴν Φύσιν Φρίτlουσιν αἱ ϖάντων Φύσεις;

Φιλῆς. Ἐξ ἀετιδῶν [2] τὸ χρυσοῦν ἔλκων γένος
Εἶναι κολοιὸς οὐδαμῶς ὅδ' ἂν ϑέλοι·
Καὶ γὰρ ἔχει βάσανον ἀψευδεσlάτην
Τὸ καὶ ϖρὸς αὐτὸν τοῦ κράτους τὸν ΦωσΦόρον [3]
Ἀσκαρδαμυκτὶ καὶ ϖαραχρῆμα βλέπειν,
Καὶ μηδὲν ἐξ αἵματος ἀλλοῖον [4] Φέρειν
Ἢ νωθὲς ἢ κάπηλον ἢ ϖεΦυρμένον [5].

Νοῦς. Ὠκύπlερος γὺψ οὗτός ἐσlι τὴν Φύσιν,
Ὡς ϑηρατικὸς καὶ νεΦῶν μέχρι Φθάνων,
Καὶ νεβρὸν εἰς ὄνυχας ἢ ταῦρον Φέρων,
Καὶ μὴ κατασπᾶν τὰς ἀναπlήσεις ϑέλων·
Ἀλλὰ κρεμασlὸν ϖᾶν τὸ ληΦθὲν ἐσθίων,
Ὡς ϖlηνὸν ἐξίτηλον εἰ κίρκος λάβοι·
Μὴ γὰρ ϖρὸς ἐχθροὺς οὐ κατ' αὐτὸν [6] εὑρέθη;

Φιλῆς. Γέρανος οὗτός ἐσlιν αἰθεροδρόμος·
Ἀφίπlαται γὰρ, ἂν δὲ ϖεζεύειν ϑέλοι,
Φρουροὺς καθισlᾷ καὶ σκοποὺς Φιλεσπέρους.
Τὴν γὰρ κάτω δέδοικε χερσοθηρίαν·
Κἂν εὐτόνοις ϖlέρυξιν εἰς ὕψος δράμῃ,
Πρὸς τὴν Φυσικὴν τακτικὴν ἀποβλέπει
Καὶ ζῇ λύμης ἔρημον ἐμΦρόνως βίον.

Νοῦς. Χαραδριός τις ἐσlὶν ἰκτέρους λύων·

[1] ὁ σεμνὸς — γεγευμένου W. qui recte : Fort. σεμνῶς et γεγευμένος.

[2] ἀ. . . εσlιδῶν (sic) W. qui recte corrigit ἀετιδῶν.

[3] Cf. supra v. 541.

[4] Fort. ἀλλοίου W.

[5] Cod. Flor. ϖεΦυρμένου.

[6] Fort. οὐ καταντῶν W.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀνθίσταται γὰρ τῆς ψυχῆς ἡ λευκότης
Τῇ τῶν καθ' ἡμᾶς δυσχερῶν ἀμορφίᾳ·
Τοῦ χρώματος δὲ συμπαθῶς τι λάμβανων
(Οὐ τέρπεται [1] γὰρ ἀλλ' ἐπικλᾶται βλέπων)
Αὖθις δίδωσί τινα τῇ Φύσει χρόαν
Παντὸς μολυσμοῦ καὶ τροπῆς ἀλλοτρίαν [2].

Φιλῆς. Τρυγών τις ἐστί· σωφρονεῖ γὰρ ἐκτόπως [3].
Ἢ καὶ [4] χελιδών· ὀργανοῖ γὰρ αἰθρίαν,
Παντὸς πόνου θλίβοντος ἐξαίρων ζόφον·
Ἀηδόνος δέ τινος ἀγρύπνου τρόπον,
Τὴν γλῶτταν ἀρθροῖ καὶ σλομοῖ τὴν καρδίαν
Καί τινι ῥυθμῷ ζωγραφεῖ τὸν Ὀρφέα,
Τὰ κοινὰ [5] τοῖς ἔγγιστα φορμίζων μέλη.

Νοῦς. Κύκνος τίς ἐστι μαντικὴν ἔχων φύσιν·
Μάντις γὰρ ἂν κρίνοιτο καὶ πᾶς ἀγχίνους·
Τῆς γοῦν [6] τελευτῆς τὴν ἀπειλὴν προβλέπων,
Καὶ λαμβάνων ζέφυρον ἐκ τῶν γραπτέων
Ἄδει λιγυρὸν καὶ παρευθὺς δακρύει·
Κἂν ὁ Πλάτων εἴρηκε τοὺς κύκνους [7] μόνους
Πρὸς τὴν τελευτὴν εὐπρεπεῖς εἶναι πρᾴως.

Φιλῆς. Περιστερὰν τὸν ἄνδρα καλέσαι πρέπον,
Μηνύτριαν [8] μὲν τῶν καλῶν τῶν ἐν βίῳ,
Μαιεύτριαν δὲ τῶν βρεφῶν τῶν ὀλβίων·
Καὶ γὰρ ἐλαιῶν πρακτικῶν φέρει κλάδους,

[1] Fort. τρέπεται W. Male.

[2] ἀλλοτρίας W. qui corrigit ἀλλοτρίαν.

[3] συμφρονεῖ γὰρ εὐτόκως W. qui in notis σωφρονεῖ.

[4] ἢ ὡς καί male W. in quo versus syllaba longior.

[5] Fort. καινά W.

[6] W. γάρ pro γοῦν.

[7] W. proponit μόνον. Platonis locus, de quo silet ed., in Phæd. p. 85 B.

[8] Actt. SS. Greg. Boll. Sept. t. VIII, p. 339 : Μηνύτρια τῶν τεθραμμένων νεκρῶν.

Οἳ δὴ καταγγέλλουσι[1] γαλήνην βίου,
Σοφῶς δὲ τηρεῖ τὰς γονὰς ἀκινδύνους
Τὸν τοῦ φθόνου δράκοντα λυτλῶντα βλέπων.

Νοῦς. Φοίνιξ τις οὗτός ἐστι ῥιζόθεν μέγας,
Καὶ τοῖς ἀγαθοῖς βοτρυδὸν πᾶσι βρύων·
Κομᾷ[2] γὰρ ἀνθῶν εἰς τὸ τῆς τύχης ἔλος,
Καὶ τοὺς Φυσικοὺς[3] οὐκ ἀπαμβλύνει τόκους,
Τοὺς ἐνθέους ἔρωτας ἐμφύτους ἔχων·
Ἴσως δὲ καὶ πέτηλα κεντρώδη[4] φέρει
Πρὸς τοὺς ὑποτρέχοντας αἰλούρων τρόπον.

Φιλῆς. Κέδρος τις οὗτός ἐστιν ἐν τῷ Λιβάνῳ
Τῆς Δαυιτικῆς[5] τοῦτο μελπούσης λύρας·
Μᾶλλον δὲ κυπάριτλος ὁ σλεφανίτης,
Εἰς ὕψος ἐκ γῆς εὐφυῶς ἀνατρέχων,
Καὶ ῥιζόθεν σχήματι συζῶν ὀρθίῳ·
Ἔργων δὲ καρπούς τινας εὐώδεις φύει,
Τὸν εὐγενῆ λειμῶνα κοσμῶν τῆς ψυχῆς.

Νοῦς. Μάργαρον ἂν εἴποιμι τὸν Μέγαν μέγαν
Εἰς ἀσλραπῆς ἔλλαμψιν[6] ἐσφαιρωμένον·
Στιλπνὸς γάρ ἐστι γνωσλικῶν[7] φώτων γέμων.
Φαίην δ' ἂν[8] αὐτὸν καὶ Φεραυγῆ λυχνίτην
Καὶ πυρφόρων[9] ἄνθρακα μικροῦ λαμπάδων·
Τοῖς γὰρ ἀπαυγάσμασι[10] τῶν χαρισμάτων
Ὁ τοῦ βίου σλέφανος εἰς τόνδε βρύει.

Φιλῆς. Νήσου φέρει μίμησιν ὁ σλεφανίτης·

[1] Οἱ δὲ παραγγέλλουσι W.

[2] κομᾶν..... τὸ τῆς ψύχης ἔλος W. qui corrigit κομᾷ.

[3] W. ψυχικούς. Cod. Fl. ἐξαμβλύνει.

[4] κρυτρῴδη W. qui in notis : Fort. κεντρωτά aut κεντρώδη.

[5] W. δαβιδικῆς. Psalm. xcii, 13.

[6] W. ἔκλαμψιν.

[7] τῶν γνωσλικῶν cod. Flor. et W.

[8] Ms. δ' αὐτόν W.

[9] Cod. Fl. πυρφόρου. W. πορφύρων.

[10] Cf. infra cxxiv, 20.

Εἰς ἣν ὁ καιρὸς ἐκφορεῖ τὰς σορθμίδας,
Αἳ τῶν Φίλων ἔχουσι τὰς σεριστάσεις.
Ὁ γὰρ ἀπὸ κλύδωνος ἐνθάδε τρέχων
Τρυφᾷ σαρ' αὐτῇ· βελτιοῖ γὰρ τὸν βίον·
Τηρεῖ δὲ τὴν ναῦν τῇ ψυχῇ[1] τῶν ἐλπίδων
Ἐστῶσαν εἰς γῆν δυσχερῶν[2] ἐλευθέραν.

Νοῦς. Ζέφυρος οὗτός ἐστι κοινῆς αἰθρίας
Ἐκ τῶν ἄνω, βέλτιστε, θησαυρισμάτων·
Πνεῖ γὰρ ὁμαλῶς καὶ κατασταλτικῶς σράως
Τὸν ἄστατον ῥοῦν τῶν καθ' ἡμᾶς κινδύνων.
Αἳ λειποθυμῶ· σλὴν καθιστῶ τὴν φύσιν
Τὸν νῦν ἔχων ζέφυρον εἰσδύνοντά μοι
Καὶ τὴν ἀναψύχουσαν εὐελπιστίαν.

Φιλῆς. Ὁλκάς τις ἐστὶ σωστικὴ τῶν ἐν ζάλῃ·
Θεὸς γὰρ αὐτὴν ὡς κυβερνήτης[3] ἄγει,
Τοὺς ἐν μέσῳ κλύδωνας[4] εὐτέχνως λύων,
Ὡς ἂν ὁ σορθμὸς ἀσφαλὴς ᾖ τῆς τύχης,
Καὶ μηδὲν ἀγώγιμον αὐτῆς ἐκπέσῃ·
Ναὶ τὴν τρόπιν στήριζε τῆς σῆς[5] ὁλκάδος
Εἰς τόνδε τὸν σλοῦν, τῶν ψυχῶν ἐπιστάτα.

Νοῦς. Κῆτός τι καινὸν τόνδε τὸν Μέγαν βλέπω
Τὴν τοῦ βίου τέμνοντα ῥαγδαίαν χύσιν,
Ὃς σρὸς Φορυτὸν[6] ἀντεπιπλεῖ βαρβάρων,
Καὶ τούσδε χανδὸν ἐκροφεῖ καὶ συμπνίγει,
Τὸ στερρὸν ἀμφίβληστρον εὐθὺς ῥηγνύων

[1] Fort τῇ τύχῃ W.
[2] Vid. supra v. 296.
[3] W. κυβερνίτης.
[4] Cf. v. 537.
[5] W. τῆς σοῦ ὁλκάδος.
[6] Cod. Fl. Φορητόν. Supra v. 135 : Φορυτὸν κινδύνων. Philes, *De animal.* 1707 : Βδελλῶν Φορυτόν. Anon. ap. Cramer, *An. Par.* t. IV, p. 288 : Ἀμπλακιῶν Φορυτοῦ.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ πᾶν λύων θήρατρον ἀσχέτου μάχης
Ὡς πλέγμα λεπτὸν εὐτελοῦς ἀραχνίου.

Φιλῆς. Πάκτωλος[1] οὗτός ἐστι καὶ Νεῖλος ῥέων
Καὶ τὴν ἐμὴν Αἴγυπτον ἀρδεύων τύχην[2],
Ἠθῶν δὲ λωτὸν οὐρανοδρόσον[3] φύει,
Ἀρωματικόν τινα δεικνὺς τὸν βίον,
Καρποὺς δὲ ποιεῖ τῷ θεῷ πλωχοτρόφους
Τῆς δεξιᾶς τὸν πῆχυν ἐκτείνων χύδην,
Οἷς ὄμβρος οὐδεὶς τὰς γονὰς ἀναψύχει.

Νοῦς. Θησαυρὸς οὗτός ἐστιν ὁ πλεφανίτης·
Κενούμενος δ' οὖν ἀφθονώτερος μένει·
Τοὺς γὰρ τόκους τίθησι δαψιλεστέρους
Πρὸς τὸν δανειστὴν τῶν καλῶν καὶ δεσπότην.
Μᾶλλον δὲ δοῦλός ἐστιν, ὡς οὗτος[4] λέγει,
Τὸ τῆς τύχης τάλαντον αὐξάνων χύδην,
Ὡς ἂν ἔχοι τέρπουσαν[5] ἀντιμισθίαν.

Φιλῆς. Ἥλιε γέρων[6], ἀλλ' ἐνακμάζων πάλιν,
Εἶδες τοσοῦτον ἄλλο γηγενὲς τέρας;
Εἶδες τοσοῦτον[7] θαῦμα κοσμοῦν τὸν βίον;
Εἶδες μίαν δή τινος ἀνθρώπου Φύσιν
Ἄνωθεν εἰς γῆν πρὸς τοσοῦτον ὀλβίαν[8];
Τάχα σιωπᾷς· οὐδὲ γὰρ ἔχεις λέγειν,
Ὡς εἶδες ἁπλῶς ἠντινοῦν ἄλλην Φύσιν.

Νοῦς. Οἶμαι τὸν ἄνδρα τοῦτον ὀφθῆναι μόνον
Ἄνωθεν εἰς γῆν, ὥστε κοσμεῖν τὴν Φύσιν.

[1] Cf. cod. Par. CCXVIII, 29.

[2] Fort. τῆς ἐμῆς et τύχης W. Puto legendum τύχῃ.

[3] Cod. Flor. οὐρανοδρόσων.

[4] Deus, Ev. Matth. XXV.

[5] Θεράπουσαν W. qui in notis proponit τέρπουσαν aut πρέπουσαν.

[6] Fort. γηρῶν.

[7] W. τοσοῦτο.

[8] W. ὄλβιον.

Εἰ μὴ γὰρ αὐτὸν εὗρεν ἡμῖν ὁ χρόνος,
Οὐκ ἂν σαφῶς ἔγνωμεν ἐκ τῶν πραγμάτων,
Ὁποῖον ἦν ἐκεῖνο τὸ χρυσοῦν γένος,
Ὃ δὴ πάλαι τέταχεν εἰς ἡμιθέους[1]
Ἡ τῶν παλαιῶν Ἀτλικὴ μουσουργία.

Φιλῆς. Εἰ παῖδες αὐτὸν εἶδον Ἑλλήνων τότε
Τάχ' ἂν ἀπ' αὐτοῦ τὸ χρυσοῦν ὕμνουν γένος·
Ἐπεὶ δὲ νῦν ἔδειξεν αὐτὸν ὁ χρόνος,
Ἓν χαρίτων ἄγαλμα κοινὸν τῇ κτίσει,
Καὶ τοὺς παλαιοὺς οὗτος ἡμῖν δεικνύτω.
Καὶ γὰρ τὰ χωρὶς εἰς ἕκαστον πρακτέα
Πάντων μόνος, βέλτιστε, συγκλείσας φέρει.

Νοῦς. Τίς εἶδε[2] νοῦν τοσοῦτον εἰς θνητὴν φύσιν;
Τίς δὲ ψυχὴν εὔτολμον εἰς πᾶσαν μάχην;
Ἢ κάλλος ἀνθοῦν εἰς τὸ[3] τῆς ἥβης ἔαρ;
Ἢ καρδίας χύματος[4] ἑστῶτα δρόμον;
Ἢ ῥυθμὸν ἐν σώματι καὶ μελῶν τόνον;
Ἢ πρὸς λόγων ἄμιλλαν ἀκμαῖον πλάτος;
Οὐκ ἔστιν οὐδείς, οὐ μὰ τὸν γίγαντά μου.

Φιλῆς. Πολὺς ἀριστεὺς εἰς τὸ νῦν οὗτος γένος·
Ἄωτον ἂν εἴποι τι[5] καὶ τόνδε Πλάτων,

[1] W. ἡμιθεούς.

[2] « Fort. εἶχε. W. » Menand. ap. Stob. III, 6 : Ὁ πλεῖστον νοῦν ἔχων. *Monostich.* ibid. III, 25 : Ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν.

[3] W. ἐκτός pro εἰς τό.

[4] καρδίαν κύματος W. qui in notis : Fort. χύματος aut χείματος ἱστῶσαν. Nisi malis scribere τρόμον.

[5] τι deest in W. qui in notis : « Fort. ἀνούτατον. Ἄωτον *auribus carentem*. Absurda lectio et simul in metrum injuria. » Nimis festinanter. Ἄωτον in hoc loco *auribus carentem* non significat, sed *florem* h. e. juvenilem pulcritudinem. De hujus vocis eleganti usu, quacum poetæ aliique scriptores liberos annosque juveniles, aut quidquid optimum in re quadam fuerit, pulcre comparárunt, vide interpretes ad Callimachi *Hym. in Apoll.* 112. Eodem sensu non ἄωτον sed ἄνθος adhibet Plato quem videre est in

Πλὴν εἰ ϖαρὼν ἔβλεψε τὸν σlεφανίτην,
Ἄλλην ἂν εὗρε λέξιν αὐτῆς βελτίω·
Ὅσον γὰρ ἐξύμνησεν[1] ἡρώων γένος,
Οὐδὲν ϖρὸς ὃν κροτοῦμεν ἡμεῖς ἐνθάδε.
Ναὶ ϖίπλε, δεινὲ καὶ φθισίμβροτε φθόνε.

Νοῦς. Χαίρει μὲν αὐτὸς οὐρανὸς τόνδε βλέπων·
Χαίρει δὲ καὶ γῆ καὶ τὸ τοῦ ϖόντου ϖλάτος,
Ὅταν ϖατῶν τὴν χέρσον εἰς τοῦτο βλέποι[2]·
Ἂν δὲ ϖρὸς ἐχθροὺς καὶ τριήρεις ἐξάγοι,
Τὴν ὕγραν εἰς ἤπειρον εὐθὺς ἐκτρέπει
Στρωννῦσαν αὐτῷ ϖανταχῇ νώτων βάσιν,
Ὡς ἂν ἄγοι[3] σώζουσαν ὁ ϖλοῦς τὴν τύχην.

Φιλῆς. Λέγουσι τὸν Κόροιβον[4] ἐξ ἀβουλίας
Γελᾶν μὲν ἀριθμοῦντα κυμάτων χύσιν,
Κλαίειν δὲ μὴ σθένοντα μετρεῖν εὐσlόχως·
Τῇ γὰρ μεταξὺ συγχύσει νικώμενον[5]
Τὸ[6] τοῦ ϖόνου σκόπιμον οὐδὲν δεικνύει.
Μὴ γοῦν Κόροιβός[7] εἰμι καὶ γράφω μάτην,
Τὰ ῥεῖθρα μετρῶν τῶν καλῶν τῶν ἐνθάδε;

Νοῦς. Ἐγὼ δέ τις Ἴκαρος ἀντὶ Δαιδάλου·
Πρὸς γὰρ τὸν ἡδὺν τόνδε Φωσφόρον τρέχων
Ἐκεῖθεν ἀπlὴν ὡς[8] Θρασὺς ὑποσlρέφω,
Ταῖς ἐμπύροις τήκοντος αὐτοῦ λαμπάσι

lexico ab Astio condito. Infra CIV, 5 : Τὸ καθάπαξ ἄωτον, ὃ γράφει Πλατων. Anon. *Not. des ms.* t. VI, p. 499 : Οἵσπερ καὶ κατέσlεπlο ἀώτοις ἄθλοις. Pro ἄθλοις fort. leg. ἄθλων.

[1] W. ἐξύμνησιν ἡρῶον.

[2] W. βλέπῃ.

[3] W. ἄγῃ σώσουσαν.

[4] « Videas de hoc homine Ælianum *Var. Hist.* XIII, 15, ibique Perizonium. » W. Add. Boisson. *An. gr.* t. I, p. 395.

[5] Τὸ γὰρ μ. συγχύσειν ἱκώμενον W. qui in notis συγχύσει νικώμενον.

[6] W. τούτου pro τὸ τοῦ.

[7] Cod. Flor. Κόρυβος.

[8] Fort. ὁ W.

Ακαδημία Αθηνών / Academy of Athens

Τὴν κηρίνην [1] πλέρωσιν, ἣν ἀμπίσχομαι.
Ἐπεὶ πρὸς αὐτὸν πάντες οὐδὲν οἱ κρότοι
Τὸν παντοδαπὸν τῶν ἐμῶν κόσμου [2] λόγων.
Φιλῆς. Καὶ τοῦτο δ' αὐτοῦ πῶς ἔτι παροπλέον,
Εἰ τὴν Φύσιν δείκνυσιν ὀλβιωτέραν·
Ὡς ἥλιος γὰρ ἐξ ἑνὸς δίσκου βρύων
Τῆς γῆς τὸ πᾶν πρόσωπον αὐτὸς [3] φαιδρύνει,
Καὶ ταῖς [4] καθαραῖς τοῦ λογισμοῦ λαμπάσιν
Ἐκ τῆς Θρᾴκης πρόεισιν εἰς πᾶσαν πόλιν,
Ἄρχοντας ἐθνῶν ἱσλορῶν πολυσπόρων [5].
Νοῦς. Γνῶναι δὲ καὶ πόρρωθεν ἀγνῶτος Φύσιν
Ἢ σωφρόνως ἔχουσαν ἢ μὴ σωφρόνως
Τίς ἀσφαλὴς τοσοῦτον, ἢ τίς ἀγχίνους;
Ταῖς γὰρ μεταξὺ συμβολαῖς [6] τῶν ὀφρύων
Τὴν ἔνδον αὐτοῦ μανθάνει κατάσλασιν,
Ὡς καὶ πρὸ παντὸς οὔτινος δήπου λόγου
Ἀλωτὸν εἶναι τοῦτον αὐτῷ τὸν ξένον.
Φιλῆς. Οὗτος δὲ πῶς, βέλτισλε, τὸν πάντα χρόνον
Ἐν τοῖς ἐρυθήμασι [7] τῆς ὥρας βρύει,
Κἂν οὐκ ἀθυμῶν, κἂν ἀθυμῶν τυγχάνοι,
Κἂν δυσφορῇ πρός τινα, κἂν πράως ἔχοι·
Ὁρᾷς γὰρ ὡς καὶ [8] τοῦτο νικᾷ τὴν Φύσιν
Τὸ τρεπλὸν ἐμφέρουσαν [9] ἀτρέπλως πάθος,
Ἧς ἐσλὶν [10] ἡ κίνησις ἐνταῦθα σλάσις.

[1] Ms. κιῤῥίνην W.
[2] Cod. Flor. κόσμων.
[3] αὐγῇ W.
[4] καὶ τῆς W. qui in notis : Fort. οὕτω καθαραῖς.
[5] Cf. infra LXXV, 3.
[6] Cod. Flor. τοῖς — συμβόλοις.
[7] W. ἐρευθήμασι.
[8] ὡς τοῦτον sine καί W. qui corrigebat τοσοῦτον. Cod. Fl. τοῦτον.
[9] Fort. ἐκφέρουσαν W. Malim ἐμφαίνουσαν.
[10] ἐσλίν deest in W. qui addebat ὡς claudicantem servans versum.

Νοῦς. Ἡ φύσις αὐτοῦ φύσις ἐσλὶν ὀλβία
Καὶ χαρίτων πέλαγος[1] αὐτὸν δεικνύει
Καὶ πᾶσαν ἰλὺν τῆς ῥοῆς ἀποπλύει·
Τὸν βόρβορον γὰρ οὐκ ἐπιτρέπει μένειν
Εἰς τὴν διαυγῆ τῶν καλῶν ἔργων χύσιν,
Ὡς μηδὲ μικρὸν τῶν ἀβουλήτων μέρος
Τὸ τοῦ βάθους ἄχραντον[2] αὐτῷ συγχέειν.

Φιλῆς. Ἐγὼ δὲ καὶ τὸ σχῆμα τῶν γυμνασίων,
Τί δή ποτ' ἐσλὶν, ἐκδιδαχθῆναι θέλω·
Τούτοις γὰρ ἡ φίλοπλος ἐμπρέπει φύσις,
Ὅταν ἄγοι[3] θέατρον ὁ σλεφηφόρος.
Πλὴν εἶδον αὐτὸν καὶ κατεπλάγην[4] πάλαι
Τρίκογχον ἐκτείναντα Ῥωμαίῳ[5] ξίφος,
Ὃν[6] εὐθὺς ἐξήνεγκε τῆς ἐφεσλρίδος.

Νοῦς. Ἀγών τις οὗτός ἐσλιν, ἢ τέχνασμά τι
Πρὸς τὴν κατὰ πρόσωπον ὁπλομαχίαν·
Ἐρείσματι γὰρ συμβολῆς ἀντιδρόμου
Καὶ δακτύλων σφίγματι χειρὸς ἀτρόμου
Τὸ τοῦ πόνου σκόπιμον εἰς πέρας[7] τρέχει.
Τίς δ' ἂν ὅλως δύναιτο καὶ τούτοις φύσις[8]
Ἐνευδοκιμεῖν[9] ὡς ὁ τὴν ἕξιν γίγας;

Φιλῆς. Ἔχει δὲ καὶ σύναρσιν ἱππηλασίας[10],
Ὅταν ὁ λαμπρὸς τοῦτον ἀγὼν ὁπλίσῃ.
Ἡ χεὶρ μὲν αὐτῷ δυσγενοῦς κρείσσων τρόμου,
Πόδες δὲ χαυνότητι ληπτοὶ[11] καὶ κλόνῳ

[1] Supra v. 62 : χαρίτων ἄθροισμα.
[2] W. ἄκρατον.
[3] ἄγει — σλεφανηφορος W. qui hærebat in aqua.
[4] Ms. κατεπλάσλην W.
[5] Ῥωμαίων W. Male.
[6] Fort. ὅ W. Male.
[7] πέραν W. qui recte corrigit πέρας.
[8] Fort. φύσιν W. ob seq. versum.
[9] W. ἔχειν δόκιμον.
[10] In *Thesauro*, sed sine exemplo.
[11] λεπτοί W.

Τῶν κλιμάτων [1] ψαύοντες, ὡς νάρκης, μόγις.
Ἂν γὰρ τὸ θερμὸν οὐκ ἀποχρῶν [2] τις φέροι,
Πρὸς τὰς μάχας εὔτολμον οὐχ ἕξει σθένος.
Νοῦς. Ἰού, ἰού, βέλτισθε, πῶς τοῦτο φράσω,
Πρὶν ἂν λάβοιμί τινα φωνὴν ὑψόθεν,
Παγκοσμίου κώδωνος εὐηχεσθέραν;
Ἄλλος γὰρ οὐδείς ἐστιν αὐτοῦ βελτίων,
Ἀφ' οὗπερ ἱππεῖς εἰς τὸ πᾶν ἦλθον γένος.
Νομίζεται δὲ καὶ σιδηροῦς τὴν φύσιν
Ὅταν ἐφεσθρὶς ἱππικὴ τοῦτον λάβοι.
Φιλῆς. Ἕλκει δὲ πῶς τὸ τόξον [3]; εἶπε καὶ τόδε·
Καὶ γὰρ ἐς ὠὸν εὐσθοχεῖν τοῦτον, λόγος,
Καὶ τοὺς ὀϊστοὺς αἰθεροδρόμους ἔχειν,
Εἰ μέχρις αὐτῶν τῶν ὑποπτέρων λύοι [4],
Βάλλειν δὲ καὶ πόῤῥωθεν ὁρμίσκου στρόφον
Καὶ τρίχα λεπτὴν καὶ κατ' αὐτὴν ὀστέον
Καὶ τοῦδε μηδὲν τὴν βολὴν καταισχύνειν.
Νοῦς. Ὑπερφυὲς καὶ τοῦτο καὶ μεῖζον κρότων·
Ὃ γὰρ ἂν αὐτὸς τόξον εἰς χεῖρας λάβοι,
Κάρφος δοκεῖ παίζοντος ἐν φαύλοις βρέφους·
Ἂν δ' ἐκτιναχθῇ [5] καὶ τὸ προσφάτως [6] βέλος,
Εἰς χαλκὸν ἢ σίδηρον εἰ πείρας δέοι,
Ποῖόν τι μηχάνημα συντρίβον λίθους
Τοσοῦτον ἁπλῶς ἐμβαλεῖ πᾶσι τρόμον;
Φιλῆς. Καὶ πρὶν ἰδεῖν τοσοῦτον εἰς ἄνδρα σθένος,
Κατεπλάγην, βέλτισθε, καὶ συνεσθάλην·

[1] De equitatione sermo est. Fort. κλιμάκων W.

[2] ἀποχρῶντες W. qui in notis : Reponi poterit aut οὐκ ἀποχρώντως, aut οὐκ ἀποχρῶν τις φέροι.

[3] Tryphiod. 427 : Οὐδ' ἔτι τόξον ἕλκεται.

[4] W. λύει.

[5] Cod. Flor. ἐκτειναχθῇ.

[6] Fort. πρόσφατον W.

Τῆς γὰρ βολῆς δέδοικα τὴν ὑποψίαν,
Καὶ δεινοπαθῶ καὶ τὸν αἰθέρα βλέπω,
Μή σού τι καὶ λάθοι με συγχέαν βέλος·
Ἄλλῳ γε μὴν ἔρωτος ἀκμαίῳ βέλει
Τεθήρακε φθὰς ὁ γλυκύς με τοξότης.

Νοῦς. Τὰ δ' ἄλλα σεμνὰ τοῦ σλεφανίτου σόσα;
Καὶ τίς ἱκανὸς ταῦτα μετρῆσαι λόγος;
Καὶ γὰρ ἄμαχός ἐσλιν ἐν μάχαις γίγας·
Σχολῆς δὲ καιρὸς εἴ τις αὐτῷ μετρίας,
Γραφαῖς ὁμιλεῖ καὶ σοφοῖς ἴσως φίλοις
Καὶ ζῇ λογικῶς. Ἂν δὲ σετλεύειν δέοι,
Παιδευτὰ Παλάμηδες, αἰσχύνου βλέπων.

Φιλῆς. Ἄθυρμα δήπου τοῦτο καὶ νέοις φίλον·
Κεκύφασι γὰρ σάντες ἁπλῶς εἰς τόδε·
Τῷ δὲ σλρατηγῷ κέρδος οὐ φαῦλον τόδε·
Διδάσκεται γὰρ καὶ σαρ' αὐτῷ τὸν βίον,
Ὅς[1] ἐσλι κύβος ἀσλάτως κινούμενος·
Ῥιπλεῖ[2] δὲ γοργῶς τὴν βολὴν τοῦ κινδύνου
Πρὸς τοὺς ἀπαγεῖς τῶν φιληδόνων σόνους.

Νοῦς. Ἔχω τι γυμνάσιον εἰπεῖν σοι ξένον,
Ὃ σαιδιᾶς μέν ἐσλι καὶ σπουδῆς μέσον·
Τῷ δὲ χρόνῳ, βέλτισλε, λυθὲν ἐκρύβη.
Πλὴν αὖθις αὐτὸ δείκνυσιν οὗτος νέου,
Ἐπεὶ βασιλεῖς καὶ σλρατηγοὶ σολλάκις
Καὶ σαῖδες αὐτῶν εὐφυῶς ἀνηγμένοι
Προσεῖχον αὐτῷ, μὴ[3] σερισπώσης μάχης.

Φιλῆς. Εἰ μὴ σύ μοι, βέλτισλε, σροσπαίζειν θέλεις[4],
Ἥδισλ' ἂν ἀκούοιμι τῆς ἐκφράσεως·

[1] Fort. ὡς W.
[2] W. ῥίπλει δὲ γόργως.
[3] Ms. με W.
[4] θέλεις W.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γὰρ ἔχεις δύναμιν, εἰ βούλει, ξένην,
Καὶ ζωγραφεῖς τὸ πρᾶγμα σαφὲς[1] δεικνύων,
Καὶ τοῦτο μορφοῖς καὶ ψυχὴν ἐπιπνέεις[2]
Ὑπ' ὄψιν ἰσλῶν ἀπλανεῖς τὰς ἐμφάσεις
Καὶ ῥυθμὸν ἀντίμιμον ἐντέχνων τύπων.

Νοῦς. Τοῦτο πλόκαμόν[3] ἐσλι καὶ φέρει σλρόφον,
Ὃν ὁ σλρατηγὸς ἐκ λαβῆς ἔχει τρέχων·
Ἄνω δὲ τὸν κύλινδρον αὐτὸν ἐξάγων,
Τοῖς ἀνθελιγμοῖς οὐκ ἐᾷ πίπλειν κάτω,
Καὶ πάλιν αὐτὸν ὥσπερ εἰς νῶτα σλρέφει,
Κλέπλει δὲ τὴν αἴσθησιν ὡς πεσούμενος
Κρεμασλὸς εἰς κίνησιν ἑσλὼς ὁ σλρόφος.

Φιλῆς. Πλὴν ἀλλὰ τὸν κύλινδρον ὠθεῖ καὶ πρόσω
Καὶ πρὶν πεσεῖν ἄνωθεν αὐτὸν λαμβάνει·
Ἔχει γὰρ ἀντίχειρα[4] τὸ πλέγμα φθάνων
Ὡς γοργὸς ἱππεύς· ἂν δὲ καὶ τέως πέσῃ
Τὸ πλεκτὸν ἀμφίβλησλρον ἐκδὺς ὁ σλρόφος,
Κάτωθεν αὐτὸν ὡς κρεμασλὸν ἁρπάσας
Ὁ γεννάδας ἔκρυψε τὴν πλῶσιν πάλιν.

Νοῦς. Ἐγὼ δέ σοι μεῖζόν τι καὶ τούτου φράσω·
Καὶ γὰρ ἀπ' αὐτῆς τῆς ἕδρας τοῦ πλέγματος
Κατωμαδὸν τὴν σφαῖραν ὁ χρυσοῦς φέρει
Καὶ πάλιν αὐτὴν ἀτλικῶς[5] ἀντισλρέφει,
Καὶ πρὸς τὸ λεπλὸν τῆς λαβῆς ἀπευθύνει
Σταθμοῖς τε πυκνοῖς καὶ καθεσλῶσι δρόμοις
Τὴν ἐσχάτην σπεύδουσαν[6] εὑρίσκειν βάσιν.

[1] W. σαφῶς.
[2] ἐπιπνέοις W. in notis.
[3] Cod. Fl. πλόκαμος et supra πλόκαμον. Conf. infra xcv, 59.
[4] ἀντίχειρι W. in notis.
[5] Fort. ἀσλικῶς W. qui addit : nisi malis ἁτλουσαν.
[6] W. πνέουσαν εὑρίσκει.

Ακαδημία Αθηνών / Academy of Athens

Φιλῆς. Ἀφεὶς τὰ λαμπρὰ τῶν ἀγώνων φάσματα
Τὸ σφαιροπαικτεῖν[1] ὡς τι καινὸν εἰσφέρεις·
Καὶ μὴν ἔτι σκώπλουσα τὴν παροινίαν
Στρόμβους φέρειν εἴρηκεν ἡ παροιμία.
Τί γὰρ ἔχει θαύματος ὁ στεφανίτης,
Ἂν εἰς ὄχημά τινος ἀστάτου στρόφου
Τηρεῖ βεβηκὸς τὸ σκέλος τῆς φύσεως;

Νοῦς. Ἀλλὰ τὰ λαμπρὰ τοῦ στρατηγοῦ πρακτέα
Καὶ πυρφόρου[2] δέδοικα σιδήρου πλέον·
Τὰ σμικρὰ δ' ὡς εὔληπλα πολλάκις λέγων
Τὰ κομψὰ καὶ τέρποντα χωρὶς λεπλύνω,
Καὶ τοὺς βαρεῖς πόῤῥωθεν ἐκκλίνω λίθους
Τοὺς μετρίους κάχληκας ἐκλέγειν[3] θέλων,
Ὡς παῖς τις ἁπλοῦς ἀδρανεῖς κτίσων[4] βάσεις.

Φιλῆς. Ἀλλὰ παρ' αὐτῷ φαῦλον οὐδέν τι βλέπω·
Κἂν τὸ πλαταγώνιον αὐτὸ δεικνύοις
Ὃ νηπίοις δίδωσιν ἡ Θριδακίνη[5].
Ἀστράγαλοι[6] γὰρ ὥσπερ ἐν θέσει κύβων
Καὶ καρύων ἥδιστος εὐστόχοις[7] κτύπος
Ἔχουσι τοῖς παίζουσι καὶ σπουδῆς μέρος,
Τόδ' ἐστὶν ἁπλῶς οὐδὲ συγγνώμην φέρον.

Νοῦς. Οἶκος μὲν οὐδεὶς ἐστιν ἐκ τῶν χερμάδων,
Ἂν οὐκ ἔχῃ σύνδεσμον ἐκ τῶν ὀστράκων·
Καὶ ναῦς ἀπαγὴς, εἴπερ οὐκ ἴσχει[8] τρόπιν[9]·

[1] W. τὸ σφαιρόπαικτον. Mox pro ἔτι σκώπλουσα malim ἐπισκ.

[2] W. πορφυροῦν. Notandus locus. Ad tormentorum bellicorum inventionem tunc recentem respici videtur.

[3] εὐλέγειν W. qui in notis : Fort. ἐκλέγειν.

[4] κτίζων cod. Fl.

[5] ἡ Θριγευ κινη W. qui recte corrigit Θριδακίνη.

[6] Cod. Flor. ἀστράγγαλοι.

[7] W. ἐν στίχοις.

[8] ἔχει W. In not. : Marg. ἴσχει.

[9] Ms. τρόπου W.

Κύκλος δὲ πᾶς ἄκεντρος οὐ κύκλος τάχα,
Καὶ παῖς ἀγαθὸς παιδιᾶς τινος δίχα
Τὸν τῆς τελειότητος οὐ τρέχει δρόμον·
Καὶ γὰρ τὰ μικρὰ τῶν μεγάλων αἰτία.

Φιλῆς. Τί δεῖ λόγων, βέλτισλε, μακρῶν ἐνθάδε;
Πάρεσλι δή, πάρεσλιν ὁ σλεφανίτης,
Ἔνοπλος ἱππεὺς ἐξιὼν τῶν ταγμάτων·
Σὺ δ' ἐξανασλὰς εἰς ὑπαντὴν προσκύνει
Καὶ τοῦτον εὐχαῖς[1] δεξιοῦ πολυτρόποις,
Τὴν τῶν κρότων ἅμιλλαν ἀσμένως λύων,
Ἐπείπερ εἰκὸς λῆξιν εὑρεῖν τῶν πόνων[2].

Νοῦς. Ὡς οὐδὲ[3] ταῦτ' ἂν μέμψιν εἰς τοῦτον φέροι,
Τὴν τοῦ βρέφους θέλξαντα μετρίως φύσιν·
Εἰ μὴ γὰρ ὡς ἄπλασλος εὐθὺς ἐτράφη,
Τίς ἂν ὅλως ἄνθρωπον αὐτὸν ἐφρόνει,
Τῷ νῦν βίῳ δείξαντα καινὴν τὴν φύσιν;
Ὡς μηδὲ τὴν ἄμαχον ἰσχὺν τῶν λόγων
Πρὸς τοῦτον ἀρκεῖν[4] εἰσενεγκεῖν τι πρέπον.

Φιλῆς. Αὐτὸς δὲ τί δρᾷς; ποῦ δ' ἀνασλρέφειν θέλεις;
Ἡτλημένου γάρ τινος ἐμφάσεις ἔχεις.
Βούλει δὲ τὴν πλέρωσιν[5] ἐντεῦθεν λύειν,
Ἡμᾶς ἀτεχνῶς[6] ὀρφανοὺς παρατρέχων;
Πλὴν αὖθις ἡμῖν εὐσλαλὴς παλινδρόμει
Καὶ μειζόνων φρόντιζε τῇ τέχνῃ κρότων,
Ἐπείπερ ἀθρεῖς εὐμενῇ[7] τὸν δεσπότην.

[1] Ms. εὐχαίου W.
[2] W. τὸν πόνου.
[3] οὐδέν cod. Flor. τοῦδε W. qui : Scrib. videtur ὡς οὐδέ aut ὥσθ' οὐδὲ τ.
[4] W. ἀρκεῖ.
[5] Philes, *De animal.* 527 : Ἔλυσε τὰς πλέρυγας εὐθὺς ἡμέρας.
[6] W. ἀτέχνως.
[7] Cod. Florent. εὐμενεῖ et supra εὐμενῇ.

Νοῦς. Ἡτλημένος μέν εἰμι καὶ φεύγειν θέλω·
Τὸ γὰρ ἐπαχθὲς οὐ φέρω τῆς αἰσχύνης,
Τὸν ἄνδρα τιμαῖς αὐθάδως καθυβρίσας.
Αὖθις δὲ καὶ προσειμι καὶ ξύνειμί σοι
Καὶ πρὸς τὸν αὐτὸν, εἰ καλεῖς, ἆθλον τρέχω,
Καὶ γίνομαι σὸς, καὶ τρανῶς πάντα βλέπων
Καθίσταμαί σοι τοῦ βίου[1] διδάσκαλος.

Φιλῆς. Ὦ χαῖρε λαμπρὸν τῆς ἐμῆς φῶς καρδίας,
Μᾶλλον δὲ τοῦ σύμπαντος ἀνθρώπων γένους,
Πόθεν πρὸς ἡμᾶς τοὺς θρασεῖς καὶ μετρίους
Ὁ καινοφανὴς Τηλέμαχος[2] ἦλυθες;
Ἆρ' εἰς ἀμοιβὰς εὐτρεπὴς[3] εἶ τῶν κρότων;
Ἢ τοῦ θράσους ἔλεγχος ὀφθήσῃ; φράσον.
Συστέλλομαι γὰρ καὶ μαθεῖν τὸ πᾶν θέλω.

Ὁ μέγας Δομέστικος.

Μὴ μὴ πλοηθῇς· ἐντελὴς γὰρ ἡ σχέσις,
Καὶ πᾶν ὅσον δίδωσιν ἀκμαῖος πόθος,
Οὐκ ἐστὶ μικρὸν τῷ σκοποῦντι σωφρόνως.
Σαίνει δὲ καὶ ψέλλισμα πατέρα[4] βρέφους·
Ἡ γὰρ φύσις τίθησι τὰς ψήφους[5] τέως.
Ἐγὼ δὲ τὸν σὸν τεχνικὸν τόνδε κρότον
Ἐρῶντος ἀνδρὸς ἀκριβὲς δεῖγμα κρίνω[6].

[1] τὸν βίον W. qui: «Fort. τοῦ βίου.» Boisson. *An. gr.* I, 443, proponit Διδάσκ. καθ. σοι τοῦ βίου. Nihil autem in hoc versu mutandum.

[2] Respicitur Homer. *Od.* Π, 23. Cf. Boisson. *An. gr.* l. c.

[3] Cod. Flor. εὐπρεπεῖς. W. εὐπρεπής.

[4] Ms. τὸν πατέρα W.

[5] Cf. supra v. 424.

[6] In fine cod. Mon. notatur: Πρόσωπα ρλή καὶ στίχοι ϡξς', id est 966.

Ακαδημία Αθηνών / Academy of Athens

II. Πρός τινα τῶν Φίλων[1] ϖαραινετικοί.

* Ὅτι σε κατένυξα τῇ ϖαραινέσει,
Τὸν αὐτοκατάνυκτον[2] εἰς εὐποιΐαν,
Ἥλιε καὶ Φῶς καὶ ϖνοή μοι δευτέρα,
Καὶ δευτέραν ϖρόσρησιν ἡδέως δέχου·
Δουλεύομεν γὰρ τῇ σκιᾷ[3] τῶν ϖραγμάτων,
Τῆς ἀρετῆς τὰ Φῶτα μισοῦντες μάτην·
Προσκόπλομεν δὲ τῶν ϖαθῶν Φεῦ! τοῖς λίθοις,
Τὰς εὐθέτους Φεύγοντες ἀΦρόνως τρίβους.
Αἰ αἰ μεμηνώς εἰμι Φιλῶν τὸν βίον,
Μᾶλλον δὲ λυτλῶν οἷς ἐμαυτὸν ἐσθίω,
Τὸ τοῦ ϖέλας ϖρόβλημα λαμβάνων βίᾳ.
Ὁ δεσπότης ϖάρεσλι δεικνὺς τὸν βίον,
Ὅς[4] ἐσλι ϖολλῷ τοῦδε τοῦ νῦν βελτίων,
Καὶ καθάπερ Φόβητρον αὐτὸν ἐκκλίνω[5].
Τίς τὴν ἐμὴν ϖώρωσιν ὡς χρὴ δακρύσει,
Εἰπεῖν δὲ ταυτὸν, τίς ἀποχρήσει γέλως;
Ὁδός τις ἐσλὶν ὁ ϖροκείμενος βίος·
Ἵνα τί γοῦν τρέχοντες ἐν ϖοδοσλράβαις
Τοσοῦτον ὄγκον χρημάτων κομίζομεν;
Οὐκ ἔσλιν εὑρεῖν οὐδαμῇ ϖάντως βάσιν·
Ἐν συμΦοραῖς ὁ κόσμος ἀντισυσλρόΦοις[6],

[1] In margine adscribitur Σεβασλῷ τῷ Πατρικιώτῃ. Cod. Mon. fol. 46.

[2] Cod. τὸν αὐκατάνυκτον. Hac voce augenda lexica.

[3] Cf. cod. Esc. CCXLVIII, 1.

[4] Cod. ὅ ἐσλι.

[5] Infra XXII, 66 : Ἴχνος μὲν οὖν λέοντος ἐκκλίνει σκύλαξ. Pro ϖαρατρέχει. Gregor. Naz. I, p. 322 D : Ἢ δέει ἐκκλίνοντες, ad q. loc. scholiasta : Ὑποτάτλοντες, δουλοῦντες· γράΦεται δὲ καὶ ἐκκλίνοντες ἀντὶ τοῦ ϖαρατρέχοντες.

[6] Cod. Esc. CCXXIX, 13 : Εἰς ϖραγμάτων λαίλαπας ἀντισυσλρόΦους. Supra 1, 515 : Εἰ δ' οὐκ ἔχει κλύδωνας ἀντισυσλρόΦους.

Ακαδημία Αθηνών / Academy of Athens

Ὃς οὐδὲν ἂν μόνιμον ἡδῦνον φέρει.
* Φύει συκῆ μὲν σῦκα, δρῦς δὲ βαλάνους,
Ὄχνην δὲ συκῆς οὐκ ἐπιφύει κλάδος,
Ἢ μῆλον ἡ δρῦς· οἶδε γὰρ εὖ τὴν φύσιν
Ὁ σπερματικὸς τῶν κατὰ γένος λόγος[1].
Πῶς οὖν τὸν εὐρίπισλον[2] ἐκτόπως βίον
Ὕπαρξιν εὑρεῖν ἀξιοῦμεν καὶ σλάσιν;
Ἐκεῖνο τοῦθ' ὅ φησιν ἡ ϖαροιμία[3],
Παῖς γὰρ φέρει κρύσλαλλον[4] ἐξ ἀβουλίας·
Ἐγὼ δὲ ϖαιδὸς ἀφρονέσλερον κρίνω
Τὸν τοὺς ὀνείρους δακτύλοις θηρώμενον.
Ὢ τῆς ἀγεννοῦς καὶ ϖαραβόλου ϖλάνης!
Καθεύδομεν γὰρ ὑπὸ τῆς ἔνδον μέθης
Καὶ ῥέγχομεν φεῦ τῆς κλοπῆς ἐπισλάσης.
Ἐν ὀσλέοις ἅπαντα καὶ κόνει βλέπεις,
Καὶ δημιουργεῖς ἀντὶ τῶν τύμβων δόμους,
Καὶ ϖοικίλοις χρώμασι κοσμεῖς τοὺς λίθους,
Τὸ τοῦ λίθου τρίπηχυ[5] μὴ Φρίτλων δέος.
Ὢ ϖῶς ἑαυτῶν ἀγνοοῦμεν τὴν Φύσιν,
Ἥλιε καὶ γῆ καὶ ϖεριτλαὶ Φροντίδες,
Καὶ ϖαραγωγαὶ κοσμικῆς ἀκοσμίας[6]!

[1] Genes. 1, vs. 11 et 12.

[2] Cod. τὸ εὐρίπισλον.

[3] Supra 1, vs. 85 : Ἐκεῖνο τοῦθ' ὅ φησιν ἡ ϖαροιμία.

[4] Cf. Schott. ad Zenob. *Prov.* v, 58.

[5] Cf. infra CXCVIII, 27.

[6] Hæc vox occurrit in epigrammate, ut puto, inedito : Εἰς Δισίνιον μάγισλρον τοῦ Μελιτίνης, cod. Paris. 1277, fol. 243 r° : Κλυσλῆρσι τὸ ϖρὶν κοπροπε-νῶς (leg. videtur κοπροποιοῖς, qui faciunt ut κόπρος prodeat) ἐτρέφου, Ἐν τοῖς ξενῶσι ϖανταχοῦ διατρέχων· Ὕψωσεν ἡ τύχη σε συκλήτου (leg. συγκλήτου) μέσον, Καὶ τοῦ γένους ἔδιξεν (leg. ἔδειξε) τὴν ἀκοσμίαν. Φιλεῖς δικάζειν, ἀλλ' ἐν ἀγνοίᾳ νόμου Γελᾷ σε τὸ ϖλήρωμα τῶν δικασπόλων· Δοκεῖς δὲ τιμᾶν ἀρετὴν ὑπὸ κρίσει, Ἀλλὰ σλρατηγεῖ καὶ διελέγχει Φθόνος, Ὃν ἔνδον..... δεσπότην ἔχεις, Καὶ νῦν ϖαρακμάσαντα μακρῷ (add. τῷ) χρόνῳ, Ἅδου ἀπο-

Ακαδημία Αθηνών / Academy of Athens

Χοῦς[1] πάντες ἡμεῖς καὶ βραχὺν ζῶντες χρόνον,
Κἂν τὸν βίον σαίνωμεν ἐκ τῶν ἐλπίδων.
Μωσῆς· ἄφελς τὴν ῥάβδον οἰκεῖ τὸν τάφον,
* Μωσῆς ὃς ἐξήμειψε λαμπρῶς τὰς φύσεις,
Ὁ δημαγωγὸς ὃν Θεοῦ κρύψας γνόφος
Θεῖον Φαραὼ καὶ Θεοῦ φῶς δεικνύει·
Σὺ δὲ τρέμειν θάνατον οὐδόλως θέλεις!
Ἕως τίνος, βέλτισλε, καὶ τίνος χάριν
Τῆς γῆς ἐμαυτῷ συμφορῶ τὴν κοπρίαν;
Ἂν ἐγκυλισθῇς τῶν παθῶν τῷ βορβόρῳ[2],
Ἰδοὺ μονιός[3]· ἂν τρυφᾷς πάντων πλέον,
Ἰδοὺ πετεινὸν τὴν σφαγὴν ἀναμένον,
Ἢ σῦς τιθασός· ἂν ἀπειλήσῃς, κύων·
Ἂν ἁρπάσῃς, γύψ· εἰ δὲ μή, λύκος φάγος·
Ἂν ἐξελιχθῇς καὶ δακὼν τύχῃς, δράκων.
Ἰοὺ ἰού, τί τοῦτο; Πῶς ταῦτα σλέγεις;
Οὐδὲν τὸ παρόν· ἀγνοεῖς τὸ συμφέρον.
Μαραίνεται γὰρ πᾶς ὁ τῆς δόξης τύφος[4],
Ὡς καπνὸς, ὡς ὄνειρος, ὡς πνεῦμα τρέχων.
Ἂν εἰς χρυσοῦν χιτῶνα κομπάσῃς, ἄφες·
Τὸ γὰρ ὑφεσλὼς νῆμα σητὸς μετρίου·
Ἂν εἰς χύδην[5] χρήματα, μὴ βαῖνε πρόσω·
σλρέφει σε νεκρὸν λειψάνοις· Ψυχὰς
γὰρ αὐτὸς τὰς δὲ πάντων οὐσίας Ἀφῆκεν ἐσθίειν σε τῆς γῆς τὸν (fort. τὴν) κρόπρον (leg. κόπρον).

[1] Greg. Naz. t. II, p. 540 : Εἷς χοῦς πάντες ἑνὸς πλάσλου γένος. Et supra : Ἡλὸς ἅπαντες ἴσος.

[2] Leo Sap. apud Matrang. *Anecd.* p. 688 : Οὕτως καὶ νῦν κατάκλυσον τὸν βόρβορον τῶν παθῶν μου. Cyrill. Alex. *Bibl. patr.* Mai, t. II, p. 202 : Εἰς τὸν βόθρον τῶν παθῶν ἀμφότεροι ἐγκυλισθήσονται. Nilus *Opusc.* ed. Suares, p. 2 : Βορβόρῳ κυλινδοῦμαι.

[3] Cod. μονοιός.

[4] Conf. supra 1, 354.

[5] «Force d'argent, abondance d'argent.» Nicolaus Corcyr. cod. Par. 1277, fol. 227 v° : Ὅπου θρόνους δίδωσι φιλίας χύδην.

Ακαδημία Αθηνών / Academy of Athens

Παρέρχεται γὰρ καὶ τὸ ϖισλὸν οὐκ ἔχει
Χοῦς ὄντα ϖαγεὶς εἰς Φλεβῶν γῆς ϖυθμένας.
Τὰ δ' ἀπὸ τῆς γῆς τίς Φρονῶν ἂν Θαυμάσοι;
Βαβαὶ, τὰ κακὰ τῶν καλῶν κατισχύει!
* Τὸν ἵππον ἀθρεῖς, τὴν ἐΦεσλρίδα βλέπεις,
Τὰ σλικτά σοι Φάλαρα κοσμεῖ τὸν βίον,
Τὸν ἐμβριθῆ ζωσλῆρα καινόν τι κρίνεις,
Τὴν κάλπιν ὑμνεῖς καὶ τὸ τοῦ γλεύκους δέπας,
Καὶ τῶν τραπεζῶν τῆς τρυΦῆς τὰ τρυβλία·
Ἐγὼ δὲ μισῶ ϖορνικοῦ χρίσιν Φύκους·
Τὸ γὰρ Φυσικὸν οὐκ ἐᾷ κάλλος βρύειν
Ἐν τοῖς ϖαρατρίμμασι[1] τοῖς ψευδοχρόοις,
Ῥυτίδας αἰσχρὰς ϖροξενοῦν καὶ ταῖς νέαις.
Τοιοῦτό σου τὸ κάλλος, ὑΦ' οὗ δὲ[2] βρέμεις·
Εἰ δὲ σκοπεῖν μάλισλα τὴν Φύσιν Θέλεις,
Γυμνὸν σεαυτὸν ἴδε, καὶ γνώσει τόδε·
Τὴν γὰρ ϖονηρὰν Φλεγμονὴν[3] τῆς καρδίας
Χωνοὶ[4] ϖαρευθὺς τῶν μελῶν ἡ Φαυλότης.
Ὅταν δὲ τὰ σλοιχεῖα λαμβάνειν Θέλῃ
Τὰ κρυπλὰ δανείσματα τῆς διαρτίας,
Τί χρή σε ϖαθεῖν; ἡ ϖαρακμὴ γὰρ ϖέλας,
Ἐπεὶ τὸ Θερμὸν εἰς τὸ ϖῦρ ἀνατρέχει,
Καὶ τἄλλα χωρεῖ ϖρὸς τὰ καθόλου μέρη,
Καὶ τήκεται μὲν ϖυρετοῖς τὸ σαρκίον,
Θρηνούμενον δὲ δυσΦορεῖ καὶ δακρύει,
Καὶ τῶν ἰατρῶν συντρεχόντων ὀξέως·
Ὀξύτερος Φεῦ! τῆς τελευτῆς ὁ δρόμος.

[1] Cod. Par. 2286, fol. 5 r°. Versu seq. cod. ϖροξενῶν pro ϖροξενοῦν.

[2] Leg. δή pro δέ.

[3] Cod. Par. 11, 53 : Ἡ Φλεγμονὴ τῆς καρδίας.

[4] Leg. χαυνοῖ.

Ακαδημία Αθηνών / Academy of Athens

* Εἶτα τί μικρὸς εἰς τὸ πένθος ὁ χρόνος;
Μερίζεται δὲ σὺν θορύβῳ καὶ σλάσει
Τὰ τῆς ἀνάγκης τοῦ βίου γεννήματα.
Εἰ γοῦν ἀγαθῆς εὐπορεῖν βούλει τύχης,
Καὶ πλοῦτον αὐχεῖν καὶ τιμὰς ὑπερτίμους,
Σκόρπιζε τοῖς πένησι τὰ χρήματά σου
Σπείρων ἀφειδῶς· τοῦτο γὰρ ὄντως βίος
Τὸ γῆθεν αὐτὸν ἐσλιᾶν τὸν δεσπότην.
Ἆρ' οὐχὶ κατένυξα τοῖσδέ σε πλέον[1];

III. Ὡς ἀπό τινος διφθερωνύμου[2] βαρβαρίζοντος ἐκ τῆς ἐκείνου γλώτλης, τῷ Πατρικιώτῃ.

* Ἀνίερον γῆν καὶ καθημαρτημένην[3],
Γεωγράφων[4] ἄρισλε, δευτέρως[5] δίδου,
Μὴ συναγαγὼν αἱρετὰς κριτοὺς[6] χύδην
Συχνοὺς ὑπὲρ σοῦ καὶ δριμεῖς πλέξω[7] ψόγους.

IV. Ὅμοιοι.

Ἐγχυματισμὸς[8] ἐκ λογικῆς διφθέρας

[1] Male πλέων Bandin.

[2] Vox add. lexicis. Adde et Ἀγριώνυμος, De S. Theodor. cod. Par. 1447, fol. 8 v°: Ὑπὸ τοῦ σκότους ἀγριώνυμε.— Γλυκεπώνυμος, De Michael. Glyca, cod. Paris. 1719 in lemmate: Ἦν ἐκ γένους ἔσχηκε γλυκεπωνύμου. — Εἰρηνώνυμος, Theod. Lascaris, ap. Mai, *Bibl. patr.* t. VI, p. 262.— Μαρτυρώνυμος, Jo. Cretensis, cod. Par. 1773, fol. 15 v°: Κλέος νομικὸν μαρτυρώνυμος Φίλος. Xanthop. *Synaxar.* cod. Par. 1585, fol. 308 r°: Ἡ κλῆσις ἔργον μαρτυρωνύμῳ πόλει Πολλῶν ἐν αὐτῇ μαρτυρησάντων ξίφει.

[3] Verbum καθαμαρτάνω deest lexicis. Nisi scribendum καθηρματευμένην, quæ frequentius dicitur καθημαξευμένη. Cf. infra xxxv A, 1.

[4] Cf. infra, xv, 3.

[5] Pro δευτέρως fort. διεροῖς? aquis i. e. mergas. Sed ἐπέχω.

[6] Id est αἱρετοὺς κριτάς: hic igitur imitari videtur τὸν βαρβαρίζοντα.

[7] Cf. xv, 7.

[8] Non capio hæc. Sunt duo σκωπτικά, neque Attici salis sunt πάγματα. Ex quibus unum carmen tantum Bandini fecit.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸν ἱματισμὸν τῆς γραφικῆς ἐκπλύνει·
Ῥεῦσις δὲ γαστρὸς ἀπομορφοῖ τὴν θέαν,
Καὶ κοπραγωγῶν ὀργανοῖ τὴν αἰσχύνην·
Ἀγαθότην[1] δέ τινα κομψὴν[2] εἰσφέρει
Σαρκασμὸς εὐστόμφαστος[3] ἐμφαίνων χόλον·
Γλουτῶν δὲ σεισμὸς καὶ κραδασμὸς ὀσφύος,
Ἢ καὶ παραλλὰξ ἀπρεπὴς ὤμων θέσις,
Ὄγκος[4] τε γαστρὸς εἰς ὑπόμφαλον[5] δέσιν
Καὶ μακρὰ ληρήματα καὶ σαίνων τύφος,
Ποιοῦσιν οἰκτρὸν τὸν σοβοῦντα Θερσίτην,
Ὦ πρὸς λόγους Ἡράκλες, ὦ νοῦ γεννάδα.

V. Εἰς τὴν ἐν τῷ ναῷ εἴσοδον αὐτῆς[6].

Ἤδη κινοῦσα τὰς σκιὰς καὶ τοὺς τύπους
Καὶ τὰς περὶ σοῦ πρὸς τὸ μέλλον ἐμφάσεις
Τὴν μὲν βάδην κίνησιν ἐμφαίνεις, κόρη,
Τοὺς δὲ γραφικοὺς οὐχ ὑπερβαίνεις ὅρους·
Οὔπω γὰρ ἐσκήνωσεν ἐν τῇ γαστρί σου
Τὸ τοῦ νόμου πλήρωμα κινοῦν τὰς φύσεις.
Ἀλλὰ πρόβαινε θᾶττον, ἁγνὴ παρθένε·
Καὶ γὰρ βλέπεις κάμνοντα τὸν Ζαχαρίαν.

VI. Τῷ αὐτῷ[7].

Στάχυς[8] καλῶν ὥριμος ὀφθεὶς τοῖς φίλοις,
Τὸ τῶν σίτχων ἔμμισθον[9] ἀπόδος θέρος,
Ὡς ἂν ὁ πυκνὸς τῶν ἐμῶν κρότων σπόρος
Ἐξοργανωθῇ πρὸς τὸν εὔσταχυν[10] Φόρον.

[1] Iterum barbare.
[2] Cod. κομψίν.
[3] Hac voce augenda lexica.
[4] Cod. ὄγγος.
[5] Vox addenda lexicis.
[6] Id est τῆς Θεομήτορος.
[7] Id est τῷ σεβαστῷ Πατρικιώτῃ.
[8] Vid. cod. Par. LVI, 31.
[9] Supra I, 97.
[10] Cf. cod. Par. VII, 33.

Ακαδημία Αθηνών / Academy of Athens

VII. Τῷ αὐτῷ.

Βούλει σλέαρ[1] κώνωπος ἰδεῖν, ὡς λόγος·
* Ἐκεῖνα δήπου ταῦτα καὶ λαβὼν φάγε.
Τὰ γὰρ σὰ κἂν ἄκαρπα τυγχάνειν λέγῃς,
Ἀλλ' οὖν ὁ καρπὸς ϖανταχῇ τούτων βρύει.

VIII. Τῷ αὐτῷ.

Πέμπε ϖρὸς ἡμᾶς, ἄφθονε χρυσορρόα[2],
Νέκταρ ϖεπηγὸς, ἀπὸ καλάμου δρόσον,
Ὄχνην, σλαφυλὴν, μῆλον ἐκ Θρᾴκης, ῥόαν,
Καρποὺς Δαμασκοῦ[3], Θάσια τραγήματα,
Καὶ ϖᾶν φίλον ϖρόσαρμα τοῖς ἐπὶ κλίνης·
Ἐξ ἥπατος γὰρ δυσκραὲς ϖνῖγος φλέγον
Διψῆν με ϖοιεῖ καὶ ῥοφεῖν ζητεῖν χύδην.
Εἰ δ' οὐκ ἔχεις, φάνηθι τῷ φίλῳ μόνον,
Καὶ ταῦτ' ἔσῃ ξύμπαντα καθάπαξ μόνος,
Σῶτερ γλυκασμὲ, ϖαυσίκακον φάρμακον[4].

IX. Τῷ αὐτῷ.

Τί δεῖ με ϖοιεῖν; οὐδὲ γὰρ ἔχω κρότους[5]
Τῇ σῇ Φύσει ϖρέποντας, ὦ χρῆμα ξένον·
Ἀμήχανον γὰρ τὴν ἐπισλήμην βλέπω
Σοῦ τὰς ῥύδην χάριτας εὐλαβουμένην.
Εἰ γοῦν ἀγαπᾷς τοὺς μετὰ τέχνης κρότους,

[1] Id est rem nihili, sive aridissimam. Quod ad malos versus referri videtur quos Patriciotæ legendos mittit, addens ipsius scripta, de quibus modeste sentiat, bonæ frugis plenissimos esse. Vox σλέαρ a nostro valde amata.

[2] Vid. cod. Par. CCXVIII, 29.

[3] Intell. Δαμασκηνὰ μῆλα. Cf. Athen. 11, p. 49 D.

[4] Cf. infra CII, 20.

[5] Supra 1, 259 : Εὐπρεπεῖς ἔξει κρότους.

Ακαδημία Αθηνών / Academy of Athens

Τί δῆτα σαυτὸν ὑπὲρ ἄνθρωπον τίθης;
Εἰ δ' ὑπὲρ αὐτοὺς ὠλβιώθης[1] τοὺς λόγους,
Τί δὴ προσαιτεῖς τοὺς παρ' ἀνθρώποις κρότους;
Οὐ δύναμαι[2] πλεῖν ὑπὸ[3] σαθρᾷ πορθμίδι
* 10 Τῶν σῶν ἀγαθῶν τὰς ἀπορρήτους χύσεις[4].

X. Τῷ αὐτῷ.

Οὐ χὴν ὁ χὴν ἐκεῖνος, ἀλλὰ σαρκίον
Μυδῶν πρὸ μακροῦ καὶ σεσηπὸς ἐκτόπως·
Σητῶν γὰρ ἂν θύλακον αὐτόν τις λέγοι,
Καὶ καταγωγὴν παμμιγοῦς δυσοδμίας[5].
5 Ὃν εἴπερ εὗρε καὶ Ναβουχοδονόσορ
Φανεὶς μονιὸς[6] εἰς ὀρύγματα χλόης,
Εὐθὺς ἂν ἀφεὶς καὶ σ|ραφεὶς ἀπεκρύβη,
Τὴν ῥῖνα τῇ γῇ προσφυῶς[7] ὑφαρμόσας,
Μὴ πνεῦμα[8] λαθὸν τὰς ὀπὰς διαδράμῃ.
10 Οὕτως ἀμείβῃ τοὺς λόγους, εὐμήχανε[9];

XI. Τῷ αὐτῷ.

Σὺ μὲν τάχα Δίωνα λαβὼν θαυμάσῃς
Εἰς λέξιν, εἰς νοῦν, εἰς διῃρμένην Φράσιν,
Εἰς ῥυθμὸν, εἰς κίνησιν, εἰς τέχνης κράτος,

[1] Cf. supra 1, 130.

[2] Fort. *δύναμις*, pro *οὐ δυνατόν*. Sed statuendum potius Philen *πλεῖν* dixisse transitive, *vehere*.

[3] Fort. *ὑποσάθρῳ πορθμίδι*.

[4] Cod. Paris. 1, 13 : *Τὴν μεγαλόδωρον εἰς πάντας χύσιν*. Ephræmius v. 32 : *Φιλοδωρίας χύσις. Ἀγαθῶν χύσις* unde vox *ἀγαθοχυσία* apud Eustath. *Opusc.* p. 71, 37; 207, 65; et 339, 84. Id. in Hymn. Pentecost. Damasceni in *Spicil. Rom.* V, p. 198 : *Καὶ χαίροντες τῇ ἄνωθεν ἀγαθοχυσίᾳ*. Conf. cod. Esc. CLXXXVII, 1.

[5] Cod. Par. CXLIX, 108.

[6] Cod. *μονοιός*.

[7] Cf. infra XXII, 86.

[8] Philes, *De anim.* 1998 : *Ὅταν τι πνεῦμα τὸν βυθὸν διατρέχῃ*.

[9] Pro *εὐτράπελε*, ut videtur.

Ἐξ ὧν τὸ πᾶν δήπουθεν Ἑλλήνων γένος
Ἀνῆκεν αὐτῷ καὶ χρυσῆς γλώττης κλέος.
Ἐγὼ δέ σου τέθηπα λαμπρῶς τὴν Φύσιν,
Ἐπείπερ εἰς τοσοῦτον ἐσμὸν[1] Φροντίδων,
Ὡς χαλκὸς ἀντίτυπος, εὖ μάλα σλέγει·
Νομὰς γὰρ ἱσλῶν καὶ Φυλὰς διαγράφων
Καὶ ῥητορικοὺς ἀναμοχλεύεις[2] τόπους.

* XII. Τῷ αὐτῷ.

Τὰ κυπαριτλόμηλα[3] τοῦ δεῖνος Φίλου
Ἔρωτες ἐσφαίρωσαν, οὐ γῆς ἱκμάδες·
Ἀ σάτυρος μὲν ἐξ ὑπερθύρου βλέπει,
Τρυγᾷ δὲ Φαλὸς[4] εὐσθενὴς πρὸς ἑσπέραν.
Πλὴν πρὸς μὲν ἡμᾶς τοὺς ἀπὸ ξένης πέλας
Κίρνησι τὸν σλύφοντα χυμὸν ἡ τρύγη,
Τοῖς γείτοσι δὲ τοῖς ἀπὸ χρόνου Φίλοις,
Οἷς καὶ χρυσῆ μάχαιρα κοσμεῖ τὴν τύχην,
Ἐγχεῖ γλυκασμόν· τοιγαροῦν ἄγε τρύγα·
Φθόνος γὰρ οὐδεὶς ἐσλὶν ἀπὸ τῶν πέλας.

XIII. Τῷ αὐτῷ.

Εἰς τοὺς νέους ἥκοντα καὶ πέλας δόμους
Πολλοῖς ἀγαθοῖς δεξιοῦ με τὸν Φίλον·
Ὁ γὰρ προμηθεὺς καὶ Θεὸς καὶ τεχνίτης,
Καὶ παραγωγεὺς[5] καὶ τροφεὺς καὶ δεσπότης,
Ὁ παγκάλῳ σχήματι συνθεὶς τὴν κτίσιν,
Καὶ καταγωγῆς ἀξιοῖ με τὸν ξένον,

[1] Cf. cod. Par. LIII, 7.
[2] Infra XXII, 2 : Καὶ πάντα καλῶς ἀναμοχλεύων τόπον.
[3] Hac voce augenda lexica.
[4] Fort. δ' ἔΦαλος?
[5] Cf. Cod. Par. XIV, 426.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Ὃν ἡ τύχη τρύχουσα τὸν ϖρόσθεν χρόνον
Ὡς ἐχθρὸν ἐξήλαυνε τῶν ἀλλοτρίων.
Οὐκοῦν σεαυτὸν δεῖξον ἡμῖν βελτίω,
Κατὰ σοφισὰς ὠρφανισμένη Φύσις.

* XIV. Τῷ αὐτῷ.

Ἦ ῥᾳδίως ϖέραινε[1] τὰς ὑποσχέσεις,
Ἦ μηδὲ τοὺς τέρποντας ἀγάπα κρότους.
Τί γὰρ τὸ κέρδος ἂν μὲν ὁ ϖαῖς[2] ὀρθρίσας
Πρὸς ἑσπέραν δύσοδμον εἰσφέρῃ κρέας,
Ἐγὼ δ' ἐμαυτὸν ἐγχρονίζων ἐσθίω,
Ὡς ὀκτάπους, ἄφυκτον ἀθρήσας[3] γνόφον;
Ἐπὰν δὲ ϖαρῇ καὶ τὸ δυσῶδες κρέας,
Ἥλιε φιλότιμε, συσλέλλου βλέπων·
Σὺ δὲ φρενῶν κάλλισλον ἐν τούτοις βάρος
Ἐπὶ φίλῳ δράματα συνθεὶς καγχάσεις.

XV. Τῷ αὐτῷ.

Σὺ μὲν σλολισθεὶς τὸν χιτῶνα τῆς τύχης,
Ὃν ἡ Φύσις ϖόῤῥωθεν ἰσλούργησέ[4] σοι
Γεωγραφικὴν[5] ἐμβαλοῦσα κερκίδα[6],
Δίδου ϖρὸς ἡμᾶς τὸ τριχόπλοκον[7] φάρος,

[1] Infra LIX, 4 : Πέραινε δὴ, ϖέραινε τὰς ὑποσχέσεις.

[2] Leg. ὁ ϖαῖς μὲν ὀρθρίσας ob metrum.

[3] Cod. ἀθρήσας et supr. οι. Eustath. ad *Odyss.* E, p. 1541, 8 : Ὁ ϖολύπους ὀκτάπους καλεῖται κοινότερον. Ita etiam ab hodiernis græcis vocatur, propter octenos cirros seu pedes. Narratur polypus esuriens suos ipse cirros seu pedes circumrodere, sed mox reparare damnum, alimento aliunde sumto. Conf. Wernsd. ad Phil. p. 60.

[4] Cf. infra CXXXV, 15.

[5] Vide supra III, 2. Alterum ex altero explicandum.

[6] Cod. Paris. V, 4 : Λαλοῦσαν Ἑρμῆς ἐμβαλών σοι κερκίδα. Conf. quoque ibid. VII, 11.

[7] Cf. infra XXX, 22; XLVI, 2.

Ὃ δῆτα δευθὲν ἐκπιέζεις τοῖς λίθοις·
Ἐγὼ δέ σοι ϖρέποντας ἀθροίσας μίτους
Χλαμύδα λαμπρὰν τεχνικῶν ϖλέξω[1] κρότων,
Ἣν οὐδ' ὁ ϖᾶς δήπουθεν ἐκτρίψει χρόνος·
Φεισάμενος γὰρ ὁ χρυσοῦς τοῦ μετρίου
Τὸ μεῖζον εὑρεῖν εὐχερῶς οὐκ ἰσχύσεις[2].

* XVI. Τῷ αὐτῷ.

Τὰς τέτταρας δὶς ϖέμπε δὴ μνᾶς ἐνθάδε,
Στατὴρ φίλων ϖάγχρυσε καὶ Θεῖον τέρας.
Ὁ γὰρ χθὲς ἀπρόσιτος ἐσθητοπράτης[3]
Πρὸ τῆς ϖύλης ϖάρεσθι ϖεζὸς ὀρθρίσας,
Καὶ τὴν ὀφειλὴν ἀπολαμβάνειν θέλων,
Βοᾷ τι λαμπρὸν, οὐδὲ γὰρ φέρει ϖρᾴως.
Ἐγὼ δὲ μισῶν τὸν θορυβώδη ϖότην,
Τὸν ἀπὸ τοῦ ϖώγωνος Ἀθάμαντά[4] σοι,
(Δοκεῖ γὰρ ὀξὺς ἀγριὰς[5] ϖρὸς τῆς μάχης
Καὶ χθιζὸς ἂν φαίνοιτο τοῦ γλεύκους ϖνέων)
Αἰτῶ διὰ σοῦ τὰς ὑποσχέσεις λύειν,
Καὶ λῆρον ὑγρὸν εἰς τὸ λοιπὸν μὴ τρέμειν.
Εἰ δ' οὖν, μόνον κέλευε καὶ ϖαραυτίκα
Πάλιν[6] τὸ ληφθὲν εἰς τὸν ἄνδρα τὸν λάλον,

[1] Infra LXXX, 31 : Νόθων κρότων revocant in memoriam Ὀπωροβόρος ex Jo. Camater. cod. Escur. II, Υ, 10, fol. 216 r° : Ἔνθα χεὶρ ὀπωροβόρου φθάσαι οὐκ ἔχει. Et Ὀπωροφορία, Germ. Cpol. cod. Coisl. 278, 184 v°; 218 v° et 219 v°. Θήρατρον εὐτέχνως ϖλέκω. Supra III, 4 : Δριμεῖς ϖλέξω ψόγους. *De anim.* 222 : Κύκνος Θανατῶν ἐμμελεῖς φθόγγους ϖλέκει.

[2] Cod. ἰσχύσας et supra ἰσχύσεις.

[3] Vox addenda lexicis, quibus accedant Ἰχθυοπρατέω, Ὀπωροπρατέω et Ὀπωροπράτης ex Joan. Tzetz. *Ep.* 57, p. 49 et 50. Quæ vocem novam mihi

[4] « Qui par sa grande barbe te semblerait un Athamas furieux. »

[5] Fort. ἄγριος.

[6] Videtur ellipsis : *retro* pro redibit, reddetur.

Ὅσον δ' ἐφεξῆς ἀλγυνεῖς τὰς ἐλπίδας,
Ἄρισλε φιλόσλοργε[1], ϖῶς ἄν τις λέγοι;

XVII. Τῷ αὐτῷ.

« Ἐχθρῶν[2] ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα »,
Φησί τις ἀνὴρ εὐσλοχῶν οἷς ἂν λέγοι·
Ἐγὼ δέ σοι τὰ δῶρα φημὶ τῶν φίλων
Τὰ καλὰ συγκλείσαντα καθάπαξ φέρειν.
Ποίους γὰρ οὐκ ἔλυσας εὐθέως ϖόνους[3]
Τοὺς ϖέρδικας δοὺς, τὴν τροφὴν τῶν ἀτρόφων;
* Ποῖον δέ μοι Φάρμακον οὐκ ἔφθης χέας[4]
Ὅτε ϖρὸς ἡμᾶς τὸ σχινότροφον[5] γένος,
Ἐκεῖνα δήπου φημὶ τὰ σλρουθάρια,
Ὁ ϖηρὸς εἰσήνεγκεν ὠμματωμένος;
Οὕτως ἀλεξίκακος ἡμῖν εὑρέθης,
Οὕτω Γαληνὸς καὶ ϖρὸ τῶν Ἱπποκράτους·
Ὁ γὰρ ϖρὸ τῆς ἔναγχος Ἀσκληπιάδης
Ἤνυσεν οὐδέν, οὐ μὰ τὸν γέλωτά σου
Καὶ τὸν λογισμὸν τὸν κατειρωνευμένον,
Ὅς ἐσλι μεσλὸς ἐντελῶν χαρισμάτων.
Ὁ γὰρ λαγωὸς καὶ τὰ μηρῶα[6] ϰρέα,
Τὰ νῦν ϖρὸς ἡμᾶς εὐγενῶς ἀνηγμένα,
Τὰ τῆς νόσου λείψανα ϖαρείλοντό μοι.
Γλεῦκος γὰρ εἶ σὺ καὶ Θεόβλυσλος[7] δρόσος,

[1] German. Cpol. cod. Coisl. 278, fol. 56 v°: Οὐδὲν ϖατρὸς κατὰ ϖνεῦμα γενῶντος (l. γεννῶντος) φιλοσλοργότερον ϖαρόντα βλέπει τὰ τέκνα καὶ οὐ κορέννυται.

[2] Sophocl. *Aj.* vs. 665.

[3] Infra cxx, 10 : Καὶ λῦσον αὐτῷ τοὺς ἐνοχλοῦντας ϖόνους. Cod. Escur. ccxxi, 16 : Εἰς λύσιν ϖόνων.

[4] Conf. infra cii, 17.

[5] Hac voce augenda lexica.

[6] An pro μηριαῖα, *des gigots?*

[7] Conf. meum Catalog. codd. Escur. p. 41, not. 8.

Ακαδημία Αθηνών / Academy of Athens

Κἂν ἀσλειϊσμοῖς ἑσλιᾶς σου τὸν φίλον.
Πλὴν ὄλβε μου ζῶν μηδὲ τεθναίης ὅλως,
Μηδ' ὁ χρόνος τοσοῦτο καλύψαι τρέχων
Χαρισμάτων ὄργανον ἐξειλεγμένον.

* XVIII. Εἰς ϖοτήριον.

Ἰδοὺ κρατὴρ εἷς, ἀλλ' ἀποχρῶν τῇ κτίσει.
Τὸ σύνθετον γὰρ μυσλικῶς χέων ϖόμα
Ὁ δεσπότης κίρνησι τὴν σωτηρίαν,
Ὡς βότρυς ἡδὺς ϖαρθενικῆς ἀμπέλου.

XIX. Εἰς δίσκον τοῦ ϖρώτου.

Οὐρανίαν τράπεζαν ἐνθάδε βλέπων [1],
Ἔνυλε ϖισλὲ, βρῶσιν ἀγγέλων φάγε·
Ὁ γὰρ μελισμὸς τῶν μεταξὺ κλασμάτων
Λειτουργικῶν δίδωσι μισθῶν ἐμφάσεις·
Ὅταν δέ τις ἔρημος ὀφθῇ [2] ϖλαισμάτων,
Τὸ δεσποτικὸν μυσλικῶς μάννα τρύγα.

XX. Εἰς δίσκον [3] τοῦ δευτέρου.

Εἰς δευτέραν τράπεζαν ἐκ ϖρώτης τρέχων,
Ἄνθρωπε, κατάμαθε τὸν τρέφοντά σε·
Εἰς γὰρ τὸν ἀμπελῶνα τῆς ἐκκλησίας
Ἀμείβεται μὲν δαψιλῶς [4] τοὺς ἐργάτας,

[1] Male βλέπω Bandini.

[2] Fort. ὀφθῇς.

[3] « Δίσκος ἱερὸς, ἅγιος, est *sacer discus*, in quo græci inter missæ solemnia, sanctum panem reponunt, cujus figuram exhibuit Goarus in *Euchologio* p. 117. Ducang. in *Glossar. med. et infim. græc.* in verbo Δίσκος. » Band.

[4] Cf. cod. Esc. CLXXXVI, 2. Cod. Par. XIII, 10. Id. *De animal.* 353. Unde adverbium δαψιλεσλέρως quod lexicis exulans legitur apud Pantaleon. de S. Michaele, cod. Par. 1196, fol. 18 v° : Εἰς τὴν αὐτὴν ὥραν ἐπιφθάσαι καὶ ϑρέψαι τοὺς ϑερισλὰς αὐτοῦ τὴν αὐτὴν τροφὴν δαψιλεσλέρως.

Ακαδημία Αθηνών / Academy of Athens

Ἄλλην δὲ τοῖς κάμνουσιν ἀῤῥήτως χάριν
* Εἰς τὰς ἀφανεῖς εὐτρεπίζει ϖασ/άδας.

XXI. Εἰς τὸν τοῦ ϖοτηρίου[1] δίσκον.

Τὸν ἀργύρου ϖραθέντα καὶ τεθυμένον
Εἰς ἀργυρᾶν τράπεζαν ἀῤῥήτως βλέπω·
Καὶ γὰρ ξεναγεῖ τὰς ψυχὰς ὁ δεσπότης,
Προθεὶς τὸν υἱὸν εἰς τροφὴν τοῖς ἀξίοις.
Ὦ βρῶσις, ἣν οὐκ ἄν τις ἀτρόμως Φάγοι
Πρὶν ἐξενεγκεῖν τῶν ϖαθῶν εὖ τὸν κόρον!

XXII. Εἰς[2] τὸ ἴχνος τοῦ μεγάλου Παύλου εὑρισκόμενον ἐν τῇ μονῇ τῆς Παναχράντου[3].

Ἰχνηλατῶν μοι, Παῦλε, τὴν σωτηρίαν,
Καὶ ϖάντα καλῶς ἀναμοχλεύων[4] τόπον,
Μή ϖου τὸ σὸν κήρυγμα Φυγών τις λάθῃ,
Τὸ ϖέλμα τυποῖς ἀντερεισθὲν εἰς λίθον,
Ὡς ἂν ἅπας ἔχοι σε κατόπιν τρέχων
Σαφῆ ϖοδηγὸν τῇ κατ' ἴχνος[5] ἐντάσει,
Καὶ μὴ ῥαθυμῶν μηδὲ βαδίζων μάτην
Ἀποπλανηθῇ τῆς ὁδοῦ τῆς εὐθέτου·
Ἢ γῆθεν ἀρθεὶς οὐρανοῦ μέχρι τρίτου[6],
Κἀκεῖθεν εἰς γῆν ὑπονοσ/ήσας ϖάλιν,
Τὸ τῆς ὕλης ἔδειξας εἰκότως βάρος,

[1] «Ποτήριον, *Calix*, in quo Christi sanguis consecratur. Vide Ducang. *l. c.*» Band.

[2] Cod. M. fol. 4. Conf. cod. Esc. CLXXIV.

[3] Panachrantæ, seu Immaculatæ Deiparæ, τῆς Παναχράντου μονή, monasterium fuit virorum. De quo confer. Ducang. *Constantinopol. Christ.* IV, 31, p. 93.

[4] Cf. supra XI, 10.

[5] Cod. κατίχνος.

[6] De duplici triplicive apud Christianos cœlo vide Suicer. p. 520 sq.

Ακαδημία Αθηνών / Academy of Athens

Μή τις σε καὶ φάντασμα καὶ πνεῦμα κρίνοι·
Καὶ δεῦρο τὴν σὴν παρεσημήνω πλάσιν,
Ἀπισχυρισθεὶς μὴ καταπέσῃς τάχα·
Μᾶλλον δὲ τὴν σὴν ἐκπλαγεὶς ἐπίβασιν
* Εἰς μαλθακὴν ὁ λίθος ἐτράπη φύσιν.
Οὐκ ἦν γὰρ εἰκὸς τοὺς ὑπὲρ πάντων δρόμους
Ποιεῖν ἀπαγεῖς τὰς ἐν ἴχνεσι ξέσεις·
Ἦ πού ποτ' ἐχρῆν καὶ τὸ τοῦ χρόνου θράσος
Εὐαγγελισμοῦ κατακαλύψαι τρίβους;
Πέτρος μὲν οὖν πήγνυσιν ὑδάτων χύσιν,
Φοιτᾶν δι' αὐτῶν προσλεταγμένος βάδην·
Αἰσχύνεται γὰρ τὸν μαθητὴν ἡ κτίσις,
Καὶ τὰς ἑαυτῆς ἐκτροπὰς ἀποσλέγει,
Τὸ συμπαθὲς τιμῶσα τοῦ διδασκάλου·
Σὺ δ' ἐξυδατοῖς ὑποχαυνῶν τὸν λίθον,
Καὶ Θαυματουργεῖς[1] ἀπὸ τῶν ἐναντίων,
Ἐνταῦθα δεικνὺς τὴν χαραχθεῖσαν βάσιν,
Ὡς ἂν ἔχοις γνώρισμα τὰς τρίβους, μάκαρ·
Δεικνὺς δὲ καὶ τὸ σχῆμα τῆς ἐξουσίας,
Ἐν ᾧ τὸν ἐχθρὸν καταπατῶν συντρίβεις,
Τὸ βῆμα τυποῖς[2] τῇ βίᾳ τοῦ πέλματος·
Ἵνα δὲ καὶ φεύγοντα μηδείς σε κρίνοι,

[1] Quæ vox mihi revocat in memoriam aliud compositum Θαυματοφόρος, in lexicis nondum receptum. Inveni in cod. Paris. 396, fol. 52 r° : Θαυματοφόρε Ἀντώνιε ὅσιε. Alia nova ex Θαυμαστός derivata addam : Θαυμαστοειδής, Actt. SS. Boll. Sept. t. VIII, p. 372 : Καὶ τοῖς τέσσαρσι στύλοις ἐπάνω τῶν σταυρῶν καμάραι Θαυμαστοειδεῖς. — Θαυματοθέατος, Jo. Damasc. *Opp.* t. II, p. 837 C : Καὶ Θαυμαστοθέατον Θάλασσαν. — Θαυμαστοποιΐα, Vita S. Stephani Jun. ap. Cotel. *Eccl. gr. mon.* t. IV, p. 413 : Παρά τε γὰρ τῆς αἱμόῤῥου εἰς τὴν ἐπ' αὐτῇ Θαυμαστοποιΐαν γεγονυῖαν ἡ τοῦ σωτῆρος εἰκὼν ἐστηλογραφήθη.

[2] Cod. τυπτοῖς. Supra v. 4 : Τὸ πέλμα τυποῖς ἀντερεισθὲν εἰς λίθον. Infra v. 62 : Τὸ πέλμα τυποῦν.

Ακαδημία Αθηνών / Academy of Athens

Κήρυκα φωτὸς ἁπλανῆ δεδειγμένον,
Τοὺς τῆς ἀγωγῆς οὐκ ἀφανίζει τύπους.
Πλὴν θαῦμα καὶ τὸ σχῆμα τοῦ κοίλου τύπου·
Τὰς γὰρ φύσεις ἤμειψας, οὐρανοδρόμε,
Φανεὶς ἀγαθὸς τῷ θεῷ πεζοδρόμος.
* Καὶ τὸν μὲν ἀντίτυπον ἢ γλίσχρον λίθον
Ὡς τέλμα λευκὸν βαδίσας ἐσφράγισας,
Τὸ πέλμα σου δὲ καὶ τὸ γυμνὸν σαρκίον
Σίδηρον ἢ χάρακα σαφῶς εἰργάσω·
Καὶ νῦν τὸ κοῖλον αὐτόματον δείκνυται·
Τὰ γὰρ διασλήματα τῶν σῶν δακτύλων
Ἀνήγαγον τὸ σῶμα τοῦ ξηροῦ λίθου,
Καθάπερ ἰλὺν ἐν πλαδαρᾷ συσλάσει·
Αὖθίς γε μὴν ἔμεινεν ἡ λίθος λίθος,
Ὡς ἂν ἔχοι τὸ δεῖγμα λαβὼν ὁ χρόνος·
Ἴδοι τις ἂν ἐνταῦθα καὶ πόρων τύπους,
Οἵους μὲν οὐδεὶς ἐγκοπεὺς ἀποξέει·
Δορᾶς δὲ λεπτῆς ὀργανοῦσιν ἐμφάσεις·
Τάχα δὲ ποῦς ὃς[1] διῆλθε τὴν κτίσιν,
Κατατραχυνθεὶς καὶ τυλωθεὶς ταῖς τρίβοις,
Τοσοῦτός[2] ἐστιν ἰσχυρὸς πρὸς τὰς βάσεις
Ὅσον μαλάττειν φύσιν εἰ ψαύοι λίθου.
Τοιοῦτός ἐστι Παῦλος· εἰ δὲ καὶ γράφοι,
Ποίας ἂν οὐκ ἔθελξε λιθώδεις φύσεις;
Μᾶλλον δὲ καὶ γέγραφε καὶ δράσας ἔχει
Τὸ μέχρις ἐθνῶν τὴν ἐπίγνωσιν τρέχειν·
Ἔδει γε μὴν ὡς ἄν τις εὐφυῶς λέγοι
Τὸν ἀπὸ Ταρσοῦ τῆς Κιλικίας μέγαν
Τὸ πέλμα τυποῦν ἀπὸ ταρσοῦ μετρίου,

[1] Deest syllaba. Fort. ὅσις. — [2] Fort. τοσοῦτον.

Ακαδημία Αθηνών / Academy of Athens

* Καὶ γίνεται τὸ θαῦμα καὶ δῆλον μένει.
Τί δ' ἄρα καινὸν εἰ κινεῖ λίθων φύσιν[1]
Καὶ Παῦλος αὐτὸς Ἀβραὰμ πάις τυγχάνων;
Ἴχνος μὲν οὖν λέοντος ἐκκλίνει[2] σκύλαξ·
Τουτὶ δὲ Σατὰν οὐδὲ μετρίως φέρει·
Πρόεισι γὰρ ἄφρασίος ἐντεῦθεν χάρις,
Ὑφ' ἧς ἐκεῖνος ὀξέως ἐλαύνεται.
Βαβαὶ τίς εἶδεν ἴχνος οὐρανοδρόμου,
Ἢ τίς ὅλως ἔδειξεν ἀγγέλου τρίβους;
Ὦ θεῖον ἴχνος, ὦ προκειμένη βάσις,
Ἧ τῆς ψυχῆς τὸ βάθρον ἐστήριξέ μοι!
Ὄφις μὲν ἴχνος οὐ παρῆκε τοῖς λίθοις,
Παῦλος δὲ τῷ χάρακι τυποῖ τὸν δρόμον·
Πρὸς γὰρ τὸν ἐχθρὸν ὑπεναντίως[3] ἔχει.
Μὴ γοῦν παλαιστὴς εὑρεθεὶς οὗτος γίγας,
Καὶ τὸν πονηρὸν συμπλοκῆς ἑλὼν βίᾳ
Τὴν ἰσχὺν ὑπέδειξεν ἴχνους βάθος[4];
Μὴ τὴν χαμερπῆ καταπατήσας ὕλην
Ἄκαμπτον ἐγνώρισεν ἡμῖν τὴν βάσιν;
Ὦ θαῦμα καινὸν ὀργανωθὲν τῇ κτίσει!
Ὦ βυθὸς ἡδὺς, ᾧ ῥιφεὶς Παῦλος πάλαι
Τοσοῦτον ἡμῖν θάμβος ἀπεργάσατο[5]!
Τὸ πέλμα τοῦτο κόσμος ἐστὶ τοῦ γένους,
Ὃ δῆτα κοσμεῖ προσφυῶς ἡ γυμνότης.

* Οὐκ ἔστιν οὐδὲν ἴχνος ἀνδρὸς ἐν λίθῳ·

[1] Cod. φύσις et supra φύσιν.

[2] Conf. supra II, 14.

[3] Cod. Vat. XIV, 13 : Αἱμὸς δὲ τούτοις ὑπεναντίως ἔχει. Cod. Par. XCIV, 6 : Ὃ τοῖς καθ' ἡμᾶς ὑπεναντίως ἔχει. Philes, *De animal.* v. 1864 : Πρὸς γὰρ τὸν ἐκ γῆς ὑπεναντίως ἔχει. Strab. XV, p. 709 : Ὑπεναντίως δὲ τῇ ἄλλῃ λιτότητι κοσμοῦνται.

[4] Claudicat versus. Leg. ἴχνους τῷ βάθει.

[5] Fort. ἀπειργάσατο.

Ακαδημία Αθηνών / Academy of Athens

Κἂν γὰρ βασιλεὺς, κἂν σκυτεὺς, κἂν ἀγρότης
Βάδην προϊὼν ὑποτυποῖ τὰς βάσεις,
Ἀλλ' οἴχεται τὸ δεῖγμα· πῶς γὰρ ἂν μένοι
Πρὸς χοῦν ἀπαγῆ καὶ πνοὴν διῃρμένην;
Παῦλος δὲ νικᾷ τὰς ἀκινήτους Φύσεις,
Παῦλος τὸ κοινὸν θαῦμα τῆς οἰκουμένης,
Ὃς ἀνθάμιλλός ἐστι καὶ τοῖς ἀγγέλοις·
Ὦ τύπος ἴχνους, ὦ τέρας προκείμενον!
Καὶ γὰρ τὰ σὰ ξύμπαντα νικᾷ τὴν Φύσιν,
Ὁ χρὼς, ὁ χιτὼν, αἱ γραφαὶ, τὰ πρακτέα
Καὶ τῶν ποδῶν τὸ βῆμα τῶν μακαρίων.

XXIII. Τῷ σεβαστῷ Πατρικιώτῃ [1].

Τὸ μὲν πρὸ τῆς χθὲς νεκρικὸν ἔχων [2] σκέλος,
Τὸ ζῶν ἀμυδρῶς καὶ μυδῶν σὸν ἀρνίον,
Ὃ Τελχίνων ἔθρεψε μορμώδης [3] χλόη
Παρὰ ποταμοὺς ἐμβολῆς ἀψινθίων [4],
Ἑκὼν ἄκων δήπουθεν ὑπεδεξάμην·
Καινὸν γὰρ οὐδὲν εἴ τις ἁρπάζων πόαν
Ὑπὸ κνίδης βάλλοι τὸ κεντρῶδες ῥόδον,
Μᾶλλον δὲ καὶ βάλσαμόν [5] σοι σφαῖρα κνίδης.
Ἐχρῆν δ' ἄρ' ἐχρῆν ἅμα τοῖς δώροις Ἄβελ
Καὶ τὸν Κάϊν σπένδοντα βασκαίνειν μάτην.

[1] Cod. M. fol. 6.

[2] ἔχων corruptum, ut metrum quoque arguit. Sententia postulare videtur πλέκον, κάμπλον vel tale quid.

[3] Vox addenda lexicis. Strab. XIV, p. 653 : Εἶτα Τελχινὶς, ἀπὸ τῶν οἰκησάντων Τελχίνων τὴν νῆσον· οὓς οἱ μὲν βασκάνους φασὶ καὶ γόητας, θείῳ καταῤῥέοντας τὸ τῆς Στυγὸς ὕδωρ ζῴων τε καὶ φυτῶν ὀλέθρου χάριν. Conf. Lobeck, *Aglaoph.* p. 1181 et sqq.

[4] Fort. ἐμβολεῖς Ἀψινθίων? Conf. Steph. Byz. s. v. Ἄψινθος.

[5] Cod. βάλσαμε, et supra ον. Metrum vitiatur. Fort. leg. βάλσαμον ὀσφραίνοι κνίδης.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ σήμερον δὲ παραδειχθὲν ἀρνίον
Ἔμοιγε τῶν σῶν ἐξιόντι συλλόγων
* Καὶ παρὰ τὴν μέσαυλον ἱππασαμένῳ,
Πέμπε πρὸς ἡμᾶς εὐγενῶς μὴ γογγύσας,
Ὃ μεῖζόν ἐσλιν ἀκριβῶς τῶν συννόμων,
Καὶ λευκὸν ἁπλῶς ἀλλὰ καὶ πράῳς μέλαν,
Ὅταν ἔχῃ τρίχωσιν ἀσθενεσλέραν.
Ναὶ πέμψον ἡμῖν τὴν παχυτέραν χάριν,
Τὸν ὀψοποιὸν τὸν Θρασὺν καταισχύνων,
Ὃς δὴ καθ' ἡμῶν τὴν καλαύροπα σλρέφων,
Μᾶλλον δὲ τὴν μάχαιραν ἐκ τῶν ἰσχίων
Εἰς τὴν νομὴν ἐξῆγε τὰ Θρέμματά σου·
Φιλῆς Μανουὴλ ταῦτα Θαῤῥούντως γράφει.

XXIV. Τῷ αὐτῷ [1].

Τὸν [2] οἰκέτην πέπομφα, τὴν Θήραν δίδου,
Κίρκε πλερωτὲ γνωσλικῆς εὐερμίας·
Τὸν γὰρ σὸν εὐκίνητον εἰς πάντα δρόμον
Οὐδεὶς ἀκερδὴς ἐμπεσὼν εἴργει χρόνος·
Ἀεὶ δὲ Θηρᾷς· εἰ δὲ καθεύδειν Θέλεις,
Κινεῖς τὰ κοινὰ τῷ βραχεῖ σου δακτύλῳ.
Ταῦτα βλέπων αἴσχισλε Φαυλίζου φθόνε,
Καὶ τὴν ἀγαθὴν φεῦγε τοῦ φίλου τύχην.

XXV. Τῷ αὐτῷ [3].

Κυνηγετικώτατε καὶ κίρκων δίχα,
(Φρονήσεως γὰρ οὐκ ἀμοιρεῖς δικτύων,)
Χῆνας νεαροὺς πέμψον ἡμῖν ἀγρίους·
Ὁ γὰρ προπεμφθεὶς ἐξεπίτηδες γράσος,

[1] Cod. M. fol. 7. — [2] Cod. M. τὴν οἰκέτην. — [3] Cod. M. fol. 7.

Ακαδημία Αθηνών / Academy of Athens

* Ὁ νεκρόχην[1] ἐκεῖνος, ἡ θνητὴ δόσις,
Τὸ ταριχευτὸν καὶ τετηκὸς ὀσλέον,
Ἀνῆκεν ἡμῖν κνησμονήν τε καὶ Φρίκην
Εἰς ἐξερασμοὺς[2] ναυτιῶσι δυσχύμους[3].
Ναὶ ϖέμπε τὴν εὔοσμον ὁ χρυσοῦς χάριν·
Προσδεῖ γὰρ ἡμῖν καὶ σλεάτων ϖροσφάτων,
Ὡς ἂν φίλου τραύματα λυθῇ τῇ χρίσει.

XXVI. Τῷ αὐτῷ[4].

Σὺ μὲν φίλων ἄρισλε τὸ ϖράτλειν[5] ϖλέον,
Πικρῶς καθ' ἡμῶν τὰς ὑποσχέσεις λύων,
Σκῆψιν τὸν αἰγύπλιον[6] οἰκτρὰν εἰσφέρεις,
Τὸν ἄπλερον κόρακα, τὸ κλάον[7] βρέτας,
Τῆς Χαλδαϊκῆς ἀσῖραπῆς τὴν ἀσϐόλην,
Τὸν ζῶντα καπνὸν, τὴν σκιὰν τῆς Φύσεως,
Τὸ ταριχευτὸν τῆς ἀμορΦίας τέρας,
Τὴν ἀνθράκων γέμουσαν ἐν σϐέσει ϖλάσιν,
Τὴν ἀπὸ μορμοῦς καὶ Στυγὸς καχεξίαν,

[1] Hac voce augenda lexica, quibus obiter addam : Νεκροϐρεφοφάγος, Meliten. v. 1484 : Ὁ Κρόνος γὰρ ἦν ϖρώτισλος ὁ νεκρ. — Νεκροπρεπῶς, S. Epiphan. *Opp.* t. II, p. 265 D : Ἆρα δὲ καὶ τοῖς σοῖς δακτύλοις νεκροπρεπῶς Ἰησοῦ καταπλείεις τὰ ὄμματα; *Ibid.* infra : Ἢ καὶ τοὺς ϖόδας νεκροπρεπῶς καταδεσμεῖς. Xanthopul. *Synaxar.* cod. Par. 1585, fol. 20 v° : Κείμενον ἐν τάΦῳ νεκροπρεπῶς. — Νεκρόψυχος, Anon. cod. Par. 2506, fol. 3 r° : Νεκροψύχους νοσεροὺς ϖοιεῖ καὶ ϖλωχούς.

[2] Hanc formam non afferunt lexica. Cf. infra CLXVI, 9 et cod. Par. LVIII, 18. *De anim.* vs. 185 : Καὶ δευτέραν τράπεζαν ἐξερασμάτων Ἡ Φύσις αὐτοῖς ἐξ ἀνάγκης ἀρτύει.

[3] Sophronius in Mai, *Spicil.* t. III, p. 25 : Φῶς τὸ σκότους λυτήριον καὶ ἄλας τὸ τῶν μωρανθέντων ἐπάρτυμα, Φῶς Φωτίζον τὰ ἀΦώτισλα καὶ ἅλας εὐχυμίζον τὰ δύσχυμα. Voces Ἐπάρτυμα et Εὐχυμίζω addendæ Thesauro Parisiensi.

[4] Cod. M. fol. 7.

[5] Fort. ϖλάτλειν.

[6] Leg. αἰγυπιόν.

[7] Fort. κλασθέν.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸν ἰνδοφυῆ[1], τὸν κολοιὸν, τὸν λάρον
Ὃν ἑσλιᾷ τὸ χῶμα τῶν Αἰθιόπων·
Ἐγὼ δὲ μισῶ τὴν γελωμένην τύχην,
Καὶ τοὺς ἀτέχνως ἐξαπατῶντας φίλους·
Δάκνω τὸ χεῖλος καὶ κατείργω τὸ σλόμα·
Καίπερ σιγῶν, Τέτλαθι, φημὶ, καρδία[2].

XXVII. Τῷ αὐτῷ[3].

Ὡς ϖῦρ κατὰ σοῦ τοὺς λαοὺς φασὶ βρέμειν
* Τῶν σλασιασλῶν ταῖς ϖνοαῖς ἐπηρμένους·
Ἐμοὶ δ' ὁ καπνὸς ἐγχεθεὶς τῆς ἀσβόλης
Ποιεῖ κατ' αὐτῶν ϖνευσλιᾶν τὴν καρδίαν·
Ἀλλ' ἦκε λαθὼν εἰς τὸ Φῶς καὶ τὴν δρόσον.
Ὁ γὰρ βασιλεύς ἐσλι καὶ Φῶς καὶ δρόσος,
Ἐν ᾧ Φυλαχθεὶς τὴν ϖυρὰν ταύτην σβέσεις.

XXVIII. Τῷ αὐτῷ[4].

Ὡς ἀπὸ βυθοῦ τῆς σοφῆς σου καρδίας
Τοὺς ταριχευτοὺς ϖέμψον ἡμῖν ἰχθύας·
Ὡς δὲ ϖροβατεὺς τῶν Θρᾳκῶν τῶν ἐκνόμων,
Ποιεῖς γὰρ αὐτοῖς τὰς νομὰς ἀπροσκόπους,
Τοὺς ἐξ ἁμολγῆς ἐμβριθεῖς τυροὺς δίδου·
Ὡς ἄμπελος δὲ γνωσλικῆς εὐκαρπίας,
Οἶνον βλύσας ϖότιζε διψήσαντά με·
Ὡς δὲ σλατὴρ[5] ἥδισλος ἐκ τῶν ἰχθύων
Καὶ χρυσέοις κέρμασι τὸν φίλον δίδου,
Φερώνυμον Φῶς, ὄλβε μου, Θησαυρέ μου.

[1] Hac voce et sequentibus ditari possunt lexica : Γενειοφυής, de abrotono, cod. Par. 2286, fol. 3 r° : Ἔσλι δὲ καὶ γενειοφυές. — Δενδροφυής, Pindar. in *Philosophum*. p. 96, ed. nostræ.

[2] Cod. M. καρδίᾳ. Ulyssis est apud Homer. *Od.* Υ, 18 : Τέτλαθι δὴ, κραδίη.

[3] Cod. M. fol. 7.

[4] Cod. M. fol. 8.

[5] Alludit ad Matth. XVII, 26.

Ακαδημία Αθηνών / Academy of Athens

XXIX. Τῷ αὐτῷ[1].

Ἐν νυκτὶ καθεύδοντα τὸν γέροντά σου
Χοιροτρόφοι[2] γέροντες ἐσθίουσί με·
Πολύποδες γὰρ καὶ βραχεῖς ὄντες φύσει
Διατρέχουσι λάθρα καὶ θλίβουσί με,
Καὶ γίνεται τὸ δῆγμα λαβὴ τραύματος
Ὅταν ἀμυχθῇ κνησμονῇ[3] τὸ σαρκίον.
Τῷ γὰρ ἁπαλῷ τῆς δορᾶς ἐγκείμενος
* Ὁ δυσμενὴς ἐκεῖνος ἠρέμα γέρων,
Ὁ πρὶν ἐθισθεὶς τοὺς τραχεῖς δάκνειν τόπους
(Τοιοῦτο γὰρ τὸ δέρμα τῶν ἐκ βορβόρου),
Τέμνει παρευθὺς καὶ πιέζει καὶ τρύχει,
Ἐμεῖ δὲ λεπτὴν εἰς τὸ πάσχον ἰκμάδα,
Καὶ γίνεται τὸ κρᾶμα λεπτὴ πομφόλυξ
Ἢ φλυκτὶς ὑπέρυθρος ἐξ ὕλης νόθου,
Κἂν ἐκπιεσθῇ καὶ ῥυῇ καὶ συμπέσῃ,
Πολλὰς μεταξὺ κνησμονὰς ἐργάζεται·
Πλατύνεται δὲ τῆς νομῆς ἡ θερμότης,
Οἰδοῦσα πυρὶ φλεγμονῆς ἄλλης πέριξ,
Κἂν κροῦμα τυχὸν, κἂν περίβλημα φθάσῃ,
Περιφανὲς τὸ τραῦμα λοιπὸν εὑρέθη·
Οὐκοῦν ὁ σωτὴρ ὁ χρυσοῦς παθοκτόνος[4],
Τὸ παντοδαπὸν τῶν ἐμῶν ἄκος νόσων,
Ὁ συμπαθὴς ἄνθρωπος, ὁ πρᾷος φύσει,
Τὸ τῶν ἐμῶν καύχημα καθάπαξ λόγων,

[1] Cod. M. fol. 8.

[2] Vox addenda lexicis quæ solum afferunt χοιροτροφεῖον. Cosmas ap. Mai, *Spicil. roman.* t. II, p. 151 : Ὁ μὲν οὖν μῦθος βρῶσιν τινὰ λέγει τὴν τῆς Κίρκης χοιροτρόφον.

[3] Cod. κνησμονή.

[4] Cf. cod. Esc. CCXLVII, 7.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ νοῦς ὁ ϖυκνὸς, ἡ Φυσικὴ Φαιδρότης,
Ἡ γεννικὴ[1] δύναμις, ἡ κοινὴ χάρις,
Τῆς δυσμενοῦς Φάλαγγος ἐξάγαγέ με.

XXX. Τῷ αὐτῷ[2].

Πέμπε ϖρὸς ἡμᾶς ἐκ τριχῶν ὕφασμά τι,
Ὃ καὶ ϖροβατεῖς ἐνδιδύσκονται Θράκες,
Ἐπὰν ὁ χειμὼν εἰσβαλὼν καταψύχῃ·
* Κείρουσι μὲν γὰρ τὰς ϖοηφάγους ὄϊς
Ἀμφισλόμοις ψαλίσιν[3] οἱ κουρεῖς βράχοι[4],
Ὅταν τὸ Θερμὸν τῶν Φυτῶν ἀνατρέχον
Κοσμῇ τὰ γυμνὰ καὶ σλολίζῃ τοὺς κλάδους,
Καὶ Φυλλομανῇ[5] καὶ σκιάζῃ καὶ βρύῃ
Πᾶν δένδρον ἁπλῶς τῇ χλιδῇ τῆς αἰθρίας.
Νήθουσι δ' εὐθὺς ἐκπλυθείσας τὰς τρίχας,
Ἃς καὶ καταξαίνουσι ϖυκνοῖς δακτύλοις
Αἱ ταῖς ἀμολγαῖς εὐπαθοῦσαι[6] ϖαρθένοι·
Τῶν γὰρ γυναικῶν ἐργολαβοῦσι[7] ϖλέον,
Ὡς ἂν τὸ μοχθεῖν μασλροπεύῃ[8] τὸν γάμον·
Τοῦ νήματος δὲ τεχνικῶς εἰργασμένου,
Τείνουσιν ἱσλοὺς ταῖς ϖλοκαῖς ὑπαιθρίους[9],
Ὡς ἂν ἔχοι νοτίδας ἡ Θρὶξ ὀρθρίας,

[1] Cod. γενική.

[2] Cod. M. fol. 8.

[3] Cod. ψαλλίσιν.

[4] Pro βράχοι leg. Βλάχοι. Blachi populorum nomen est Moesiam Superiorem incolentium, qui hodie Valachi vocantur. Anna Comn. *Alexiad.* VIII, p. 395 : Καὶ ὁπόσοι τὴν νομάδα βίον εἵλοντο (Βλάχους τούτους ἡ κοινὴ καλεῖν οἶδε διάλεκτος). Ib. Ducang.

[5] Cf. cod. Par. CLXXIII, 5.

[6] Cf. cod. Par. II, 32.

[7] Cf. cod. Par. CXXXI, 33.

[8] Cod. Paris. I, 17 : Γέλωτι σεμνῷ μασλροπεύσας τὴν Φράσιν. *De eleph.* vs. 192 : Εὐθὺς γὰρ αὐτὴν μασλροπεύει τῇ σχέσει, Καὶ καθάπερ λαβίδι τῇ ϖροβοσκίδι Σοφῶς διασπᾷ τοῦ ϖροσώπου τὴν χυόην.

[9] Cf. infra XLIV, 58.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ μὴ φρυγῇ τὸ κλῶσμα Φωσφόρου ζέσει·
Ὅταν δὲ καλῶς ὀργανώσῃ τὸν πόκον
Ὁ τῶν γυναικῶν εὐφυὴς οὗτος πόνος
Τοῖς εὐτόνοις κρούμασι τῶν πηνισμάτων [1],
Ἁπλοῦσι λοιπὸν τὴν τριχόπλοκον [2] σκέπην
Ἐν τοῖς ὑποσιρώμασι τοῖς ἀκανθίνοις
Πυκνὸς γυναικῶν ὁρμαθὸς [3] παραυτίκα,
Ἴσαις δὲ χερσὶ καὶ ῥοπῇ καὶ συσιάσει
Τῶν ἐκτιναγμῶν [4] ἑλκυσάντων τὰς τρίχας
* Εἰς τὰς ἀκωκὰς καὶ μεθέλξεις τῶν βάτων
Συχνὴ πλοκαμὶς τὴν ὑφὴν ἐπέδραμεν·
Ἦν δὴ θεωρῶν ὁ κρυμὸς παρατρέχει·
Φοβεῖ γὰρ αὐτὸν ὡς ὑπόκρισις μίμων [5].
Ναὶ πέμπε, θερμὲ καὶ πυρὸς μᾶλλον φίλε,
Ῥιγοῦντι Φιλῇ τὴν περίτριχα [6] σκέπην.

XXXI. Τῷ αὐτῷ [7].

Χαρισμάτων θάλασσα [8] καὶ σιατὴρ [9] λόγων,
Θαλάσσιον βάτραχον εἰς χέρσον δέχου·
Πλὴν οὐχ ἁλιεῖς, ἀλλ' ὁ σὸς Φιλῆς μόνος
Ἀνεῖλεν αὐτὸν ἀργυροῦν κλώσας [10] βρόχον.

[1] Cod. ψηνισμάτων. Anthol. Pal. VI, 283, 3 : Μίσθια νῦν σπαθίοις πενιχροῖς πηνίσματα κρούει.

[2] Cf. infra XLVI, 2.

[3] De ὁρμαθός cum plurali cf. supra I, 109.

[4] Cf. cod. Par. LI, 8.

[5] Fort. μίμον.

[6] Cod. M. τὴν περὶ τρίχα.

[7] Cod. M. fol. 9.

[8] Cod. Paris. XLII, 13 : Χαρισμάτων θάλασσα, τὸν κόχλον δίδου. Ibid. LIX, 56 : Χαρισμάτων θάλασσα τῶν ὑπὲρ φύσιν. S. Ephr. III, p. 551 : Ἡ πάντων τῶν θεοπρεπῶν χαρισμάτων τε καὶ θαυμάτων ἀνεξάνθλητος (leg. ἀνεξάντλητος) θάλασσα. Cod. Flor. I, 793 : Χαρίτων πέλαγος.

[9] Fort. κρατήρ. Cf. cod. Par. CLVII, 4.

[10] Cod. M. γλώσσας.

Ακαδημία Αθηνών / Academy of Athens

XXXII. Εἰς τὴν Θεοτόκον [1].

Ὑπὲρ Μιχαὴλ Μιχαὴλ πρέσβιν δέχου,
Καὶ τὴν Μαριὰμ τῆς συνεύνου Μαρίας.
Αἰτεῖς δὲ καὶ [2] τρεῖς, Γαβριὴλ ἰδοὺ τρίτος·
Καὶ σῶζε, Χριστὲ, τῶν τριῶν χάριν δύο.

XXXII. A. Εἰς τὴν αὐτήν.

Ὅλην ἐμαυτὴν οὐ τὸ νῦν δῶρον μόνον,
Προσῆξα τῇ σῇ, μητροπάρθενε, σκέπῃ·
Ὅλην με γοῦν ἔνθαλπε τοῖς τερασλίοις,
Τὸν εὐνέτην σώζουσα σὺν τοῖς φιλτάτοις.

XXXIII. Εἰς τὴν Θεοτόκον τὴν οὖσαν ἐν τῇ πύλῃ τῆς μονῆς τῶν Ὁδηγῶν [3].

Πύλην ἀδιόδευτον εἰς βατὴν πύλην
Ἐπὶ θρόνου τίθησιν ὁ σκιαγράφος.
Ὁ γὰρ ἀνοίξας τήνδε καὶ κλείσας πάλιν,
* Καλῶν ἑαυτὸν καὶ ψυχῶν μάνδρας θύραν [4],
Τὰς εἰσαγωγὰς εὐλογεῖ τοῦ ποιμνίου·
Χαρίζεται δὲ τὰς μονὰς ταῖς ἐξόδοις,
Αὐτὸς θυραυλῶν μὴ κλαπῇ τὸ συμφέρον
Καὶ θρέμμα λαθὼν ὁ φθορεὺς ὑφαρπάσῃ.
Σὺ δὲ βλέπων θαύμαζε τοὺς τύπους, ξένε·
Ἴσχουσι γὰρ κίνησιν ἀψύχου δρόμου,

[1] Iterum invenitur fol. 264 r°. Jam edidi in Catal. meo codd. Esc. p. 42, cum hoc lemmate : Εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

[2] Sic leg. pro Αἰτεῖς δὲ τρεῖς. Corrigebam ἰδοὺ ὁ τρίτος.

[3] Deiparæ Hodegetriæ, seu τῶν Ὁδηγῶν, ædem Deiparæ sacram condidit Pulcheria Augusta, Marciani imperatoris conjux. De qua vide Ducang. *Cpol. Christ.* IV, xxiv, p. 88.

[4] Joann. x, 7 et 9.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ ζῇ γραφικὴ ταῖς πνοαῖς ταῖς ἐμφύτοις,
Ἃς ἡ χάρις πήγνυσι τῶν τυπουμένων.

— XXXIV. Εἰς τὸν ἐν τῇ μονῇ τῶν Μαγγάνων[1] λελατομημένον ἐκ λίθου λευκοῦ ἅγιον Γεώργιον.

Παῖς Ἀβραὰμ ὁ μάρτυς οὗτος ἐκ λίθων·
Πλὴν εἴ τι σαρκὸς εἶχεν ἠρυθρωμένον,
Ἐχιονώθη τοῦτο, λευκὸν εὑρέθη
* Μαρτυρικοῖς ἱδρῶσιν ἐκπεπλυμένον.
Φθάνει γεωργεῖν εἰς ἑκατὸν ἡ πέτρα
Οὐ σλάχυν, ἀθλητὴν δὲ τὸν χρυσοῦν σλάχυν·
Μὴ τὴν Ἀερμὼν[2] εἶχεν ἡ πέτρα δρόσον,
Ἀφ' ἧς ὁ μάρτυς ἐκφυεὶς ἀνετράφη;

XXXV. Τῷ σεβασλῷ Πατρικιώτῃ.

* Κλέπλει Προμηθεὺς ἐκ Διὸς τὸ πῦρ πάλαι,
Καὶ μυρίας δίδωσιν ἐντεῦθεν δίκας,
Ταθεὶς κρεμασλὸς εἰς ἀπάνθρωπον τρόπον[3].
Ἥρως[4] δέ τις ἄμαχος ὀφθεὶς ἐνθάδε
Τὰς ἐν λίθοις ῥήγνυσιν αὐτόχειρ[5] πέδας·
Αἱρεῖ δ' ἐπ' αὐταῖς καὶ τὸν ὄρνιν τὸν μέγαν,
Βαλὼν ὀϊσλῷ, μὴ τὸ πᾶν ἦπαρ φάγῃ.
Σὺ δὲ βλέπων οἰκτισλον ἐν χρῷ[6] τὸν φίλον
Καὶ τῆς τύχης τὸν θῆρα βιβρώσκοντά με,

[1] De monasterio S. Georgii in Manganis vide Ducang. *Cpol. Christ.* IV, XLIII, p. 124.

[2] Psalm. CXXXII, 3.

[3] Lege *τόπον*. Imitatur initium fabulæ Æschyleæ.

[4] Id est Hercules.

[5] Infra CLXIV, 5 : Πολισλὴς αὐτόχειρ.

[6] *De plant.* 229. Germ. Cpol. cod. Coisl. 278, fol. 202 v° : Ἠσθόμην γὰρ ἐν χρῷ τοῦ προτειχίσματος ἀφιγμένης σου καὶ τῆς ἡμῶν ὑπακροωμένης φωνῆς. Alia congessit exempla v. cl. Boisson. ad Psell. p. 250.

Τί μὴ συναλγεῖς, μηδ' ἀναιρεῖς τοὺς ϖόνους,
Ἀλλὰ ῥαθυμεῖς τὸ χρυσοῦν τόξον φέρων,
Ὦ κατὰ καιρὸν ἀργυρᾶ τείνεις βέλη;
Μὴ τάχα καινὴν τὴν σlολὴν ταύτην βλέπων
Καινοῖς λογισμοῖς ἐσlιᾷς τὴν ἐλπίδα;
Μὴ τοῦτον ἀθρῶν τὸν χρυσοῦν τοῦ δακτύλου
Καὶ τὴν ἀμαυρόσlικτον[1] αὐτοῦ σφενδόνην,
Τὸ ϖῦρ[2] θεωρεῖν τῆς ψυχῆς οὐκ ἰσχύεις,
Ὃ βόσκεται μὲν καὶ τὸ τῶν νεύρων σlέαρ,
Καὶ τὴν φυσικὴν ἐκπιέζει μοι δρόσον;
* Ἀλλ' ἴδε ῥοιὰς ἐκ Γομόῤῥας εὐχρόους
Καὶ μῆλον ὑγρὸν ἐκ Σοδόμων ϖυρφόρων,
Οὗ καὶ ϖέπων, ὥς φασιν, ἀσβόλης γέμει,
Καὶ τὴν καθ' ἡμᾶς καλλονὴν μὴ θαυμάσῃς.
Σκόπει σὺν αὐτοῖς καὶ τὰ τῶν βάτων ῥόδα,
Καὶ τὰς κάτω κάλυκας ἐξέταζέ μοι,
Καὶ ϖολλὰ δ' ἂν ἴδοι τις ἐν φυτοῖς γένη
Βρύοντα καρποῖς καὶ χλιδῆς φύλλων δρόσῳ·
Ἀλλ' ἂν διδαχθῇ[3] σῆψιν εὐθὺς ἐκφέρει,
Σητῶν ἀπαλῶν ἐκφυέντων εἰς βάθος.
Ἀνατομικὸς τοιγαροῦν, σῶτερ, γίνου,
Καὶ τοῦ λογισμοῦ τῷ ξυρῷ[4] δίχαζέ με,
Καὶ τὴν θέσιν μάνθανε τῶν ἐντοσθίων·
Ἴσως ἐν αὐτοῖς φλεγμονὰς ὄψει ξένας,
Καὶ φλυκτίδα ζέουσαν, ἣ Γραφὴ[5] λέγει,
Καὶ ϖαντοδαπῶν συμφορῶν ἀκοσμίαν.

[1] Vox addenda lexicis.

[2] Infra XLIV, 16 : Ἐγκάρδιον ϖῦρ. Et XCIX, 15 : Θυμοῦ ϖῦρ. Alia exempla congessi ad cod. Par. IV, 11.

[3] Fort. τιναχθῇ.

[4] Cod. Par. L, 7 : Προληφθεὶς τῷ ξυρῷ τῶν φροντίδων.

[5] *Exod.* IX, 9, 10.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Τίς γὰρ ἀτεχνῶς Φροντιεῖ μου τοῦ ξένου,
Εἰ σὺ, Προμηθεῦ, συσλαλεὶς[1] ἡσυχάσας;
Ποῦ χῆνες ἡμῖν, ποῦ δὲ νεβροὶ δορκάδων,
Ποῦ δὲ σλέαρ δέλφακος ἐκ τῶν ἀνθράκων,
Ἢ περδίκων σύνδεσμος ἀπὸ δικτύων,
Ἢ καὶ λαγωοὶ καὶ λιτὸν συὸς κρέας;
Πρὸς τοὺς βαναύσους ταῦτα καὶ τοὺς ἀγρότας,
Οἷς οἶδεν[2] ἡ χεὶρ καὶ πλερωτὰ συλλέγειν,
* Τοῖς χρυσέοις δήπουθεν αἱροῦσα βρόχοις·
Πλὴν ἀλλὰ τῆς σῆς ἀργυρᾶς χρῄζω δρόσου[3],
Καλῶν χορηγὲ[4], ἀδαπάνητε Φίλε.

XXXV. Α. Τῷ σεβασλῷ Πατρικιώτῃ.

Μὴ μνησικακῶν τοῖς καθημαρτημένοις[5]
Δάπιδα καινὴν εὐχερῶς ἡμῖν δίδου,
Τοῖς ἐξ ὑπαρχῆς ὡς ἀπ' ἀρχῆς[6] εὐτρόποις
Ἐπὶ Θράκην ἥκουσιν ἐκ Βυζαντίδος·
Οἰχήσεται γὰρ καὶ τὸ συμβὰν ἀθρόον,
Καὶ τὴν ἀγαθὴν αὖθις εἰσπράξῃ σχέσιν·
Εἰ δ' οὐ παρασχεῖν τήνδε τὴν χάριν θέλεις,
Ῥίψεις τὰ σαυτοῦ καίπερ ἀλγῶν καὶ σλένων
Πρὸς τοὺς ἐνεδρεύοντας οἷς πράτλεις Φίλους,
Ἐμοῦ γελῶντος, Φύσις ἀμνησίκακε.

XXXVI. Τῷ αὐτῷ.

Ἡ σὴ Φύσις, Φῶς, ἡ δ' ἐμὴ τύχη, σκότος·

[1] Leg. συσλαλῆς, sive ἡσυχάσης. Sed illud melius puto.

[2] Cod. εἶδεν.

[3] Supra I, 545 : Ἐπ' αὐτὸν ἀργυρᾶν ὕει δρόσον. Cod. Par. 1, 43 : Ἡ κέρμα λευκὸν καὶ δροσῶδες ἀργύρου. Id. CXXII, 21 : Χρυσῆς δρόσου ψεκάδας.

[4] Fort. χορηγὲ δαπάνης τε τῷ Φίλῳ.

[5] Conf. supra III, 1.

[6] Cod. ἐξυπαρχῆς ὡς ἀπαρχῆς.

Ακαδημία Αθηνών / Academy of Athens

Ἆρ' οὖν ὑφεσίως πρὸς τὸ φῶς ἔσται σκότος,
Καί τις ὁρισμὸς ἀντιτάξει τὰς φύσεις,
Ἢ συμπερανεῖς μὴ προτείνας εὐσχόχως;

XXXVII. Μετάφρασις εἰς μῦθον κοινόν[1].

* Ἀνήρ ποτε κλωψ εἰς φυτουργοῦ θριγγίον,
Ἐνημμένος καὶ πήραν, εἰσῄει κρύφα·
Τέμνων δὲ πᾶν λάχανον ἀψόφῳ τρύγῃ
Ταύτην ἐπίμπλα τῆς κλοπῆς τῷ λανθάνειν.
Ἐπεὶ δὲ πᾶρῆν τῶν φυτῶν ὁ δεσπότης,
Ὢ τοῦ χάριν, εἴρηκεν, ἐλθὼν ἐνθάδε,
Κακοῦργε καὶ κλωψ καὶ φθορεῦ τοῦ θριγγίου,
Νυκτὸς παρασπᾷς τοὺς ἐμοὺς τούτους πόνους;
Ὁ δὲ πρὸς αὐτόν· Οὐδ' ἐγὼ πάντως, λέγει,
Πῇ γῆς μένω σύνοιδα, καὶ τί σοι φράσω;
Τυφῶνι ληφθεὶς καὶ κρεμασθεὶς ἐκτόπως,
Καὶ τοῖς ἕλιγμοῖς τῆς πνοῆς περιτρέχων
Εἰς πάντα γυμνὸν ὡς ὑπόπλερος τόπον,
Ἕως ἐνεχθεὶς τῶν φυτῶν ἔσθην μέσον
Ἐνταῦθ' ὅπου σκοπεῖς με πορόντα, ξένε·
Πόνοις δὲ τοῖς σοῖς ἡ δίνη λυμαίνεται
Στρέφουσα πᾶν τὸ σῶμα καθ' ὧν ἂν τύχοι[2].
Ἡ σὴ δὲ, φησὶ, πήρα τι σχεδὸν λέγει·
* Μὴ γάρ τις αὐτὴν ἄλλος ἐλθὼν ἐνθάδε
Τῆς λαχανηρᾶς ἀναπίμπλησι τρύγης;
Ὁ δ' εἶπεν οὐδὲν, ἀλλ' ὑπεσκάλη μόνον·
Μετὰ δὲ μικρὸν εἰς ἑαυτὸν ἐσκράφη
Καὶ φησὶν ὡς εἰς τοῦτο· Τί τις ἂν λέγοι;
Σφοδρῶς δὲ τυφθεὶς δυσκυχῶς ὑποσκρέφει

[1] Cod. Par. fol. 77 v°, et Cod. M. fol. 53. — [2] Fort. τύχῃ.

Ακαδημία Αθηνών / Academy of Athens

Τὴν πήραν ἀφεὶς, τὴν ψυχὴν δὲ κερδάνας.
Οὕτω σαφῆ τὸ ψεῦδος οὐκ ἔχει βάσιν,
Κἂν αἰτίας λέγῃ τις ἐξ ἀμηχάνων.

XXXVIII. Εἰς τὴν εἰκόνα τοῦ ἁγίου Ὀνουφρίου [1].

* Τὴν [2] τῶν καλῶν γύμνωσιν ἠμφιεσμένον,
Εὔκοσμε, κοσμήσαις με, γυμνὲ τρισμάκαρ [3].
Μᾶλλον δὲ, φιλόγυμνε [4], τὸν σὸν ἱκέτην
Δείξαις με γυμνὸν τῶν παθῶν τῆς αἰσχύνης.

XXXIX. Εἰς δακτύλιον.

* Χρυσῆ κρεμάθρα, καρδιῶν ἡ σφενδόνη [5],
Χθὲς [6] τίνος ἦσθα; νῦν δ' ἐμὸς, τίνος δ' ἔσῃ;

XL.

* Ἂν [7] σωμάτων μίμησιν ἡ τέχνη γράφῃ,
Τοῦτο γραφικὴ, τοῦτο καὶ φύσιν ἔχον·
Καινὸν γὰρ οὐδὲν ζωγραφεῖν ὕλην ὕλῃ.
Ὅταν δὲ καὶ νοῦν καὶ πυρὸς φλόγα γράφῃ,
Καὶ πνεῦμα καὶ φῶς ἐν βραχεῖ περιγράφῃ,
Τέρας βλέπων θαύμαζε τὴν τέχνην, ξένε.

XLI. Εἰς εἰκόνα τῆς Θεομήτορος [8].

* Ἐκ σπαργάνων πλουτῶν σε [9] θερμὴν προσλάτιν

[1] Iterum invenitur fol. 127 v°. Cf. 892, fol. 10 r°: *Ἐπειδὴ γὰρ φιλοπαθοῦμεν καὶ φιλαργυροῦμεν, προσθείην δ' ἂν καὶ φιλογυμνοῦμεν.*

[2] Hoc tetrastichon in marg.

[3] Anon. *In S. Lucam*, codex Coisl. 110, fol. 57 r°: *Ὡς παρηκολουθηκὼς ἀκριβῶς πᾶσιν ὁ τρισμακαριώτατος ἀναταξάμενος ταῖς ἐκκλησίαις αὐτὰ πάσαις.* Add. Boeckh, *Corp. Inscr.* n° 923.

[4] Vox addenda lexicis. Unde *φιλογυμνέω* apud Theod. Stud. cod. Par. CLII.

[5] Conf. infra XLIII, 45. Cf. Paris. CLXVI

[6] Idem versus cod. Par. CLXVIII, 22.

[7] Versus anepigraphi. Habet et cod. Vat. fol. 209 r°.

[8] Cod. Par. 228 v°.

[9] Cod. Par. *πλουτοῦσα*. Cf. vs. 15 et 16 ex eodem codice.

Ἐγραψάμην σε ϖρῶτον ἐν τῇ καρδίᾳ·
Τὸ δεύτερον δὲ ζωγραφῶ σου τὸν τύπον,
Ἵνα σε καὶ κατ' ὄψιν ὡς ἔμπνουν βλέπω.
Σὺ γάρ με ϖολλῶν ἀξιοῖς τερασλίων,
Καὶ ζῶ ϖαρὰ σοὶ καὶ σλεγάζω τὸν βίον
Εἰς τὴν ἀκαταίσχυντον[1] εὐελπισλίαν.
Κοσμῶ δὲ φαιδρῷ τὴν γραφὴν χρυσαργύρῳ,
Καὶ ϖαραγυμνῶ[2] τῆς ψυχῆς μου τὸν ϖόθον
Τῶν ἀρετῶν τὸ κάλλος ἐξαιτούμενος[3].
* Σὺ δ', ὦ κόρη ϖάναγνε, βιβλίον, τόμε,
Καὶ ϖλὰξ Θεοῦ γραφεῖσα δακτύλῳ ξένῳ,
Τοῖς σωσλικοῖς σου βιβλίοις μετεγγράφοις[4]
Γυναῖκα[5] κἀμὲ καὶ τὰ δοῦλα φίλτατα.
Σὸς δοῦλος Ἀλέξιος Μακρεμβολίτης[6]
Τούτους, ϖαναμώμητε[7], εἶπε τοὺς λόγους.

XLII.

* Ἐγὼ[8] Θεὸς μέν, ἀλλ' ὑπὲρ σοῦ καὶ βρέφος·
Σὺ δ' οὐ βλέπεις[9], ἄνθρωπε, τὴν εὐσπλαγχνίαν,

[1] Germ. Cpol. cod. Coisl. 278, fol. 213 r°: Ἀκαταισχύντως ϖαρασλῆναι τῷ ἡλίῳ τῆς δικαιοσύνης. Vit. Josephi Hymnogr. cod. Par. 1534, fol. 70 r°: Μέχρι τέλους φύλαξ αὐτῶν ἀναπέφηνεν ἀκαταίσχυντος. Jo. Damasc. in *Spicil. Roman.* t. IX, p. 718: Ἀκαταίσχυντον ϖρέσβιν.

[2] Cf. cod. Esc. CCXIII, 192.

[3] Cod. Par. ἐξαιτουμένη.

[4] Cf. cod. Par. CXC, 2.

[5] Cod. Par. τὸν ἄνδρα.

[6] Cf. infra CXCIX. Versus 15 et 16 in cod. Par. sic leguntur:

Κομνηνοφυὴς ἡ Παλαιολογίνα
Τούτους χαριτώνυμος εἶπ. τ. λόγ.

Ut appareat bis usum esse Philen carmine eodem.

[7] Hæc vox desideratur in *Thesauro* qui solum offert adverbium ϖαναμωμήτως. Vid. cod. Esc. XXVI, 95.

[8] Cod. sine titulo; sed iterum fol. 299 v°, cum hoc falso, ut videtur, lemmate: Εἰς τὴν εἰκόνα τῆς Θεοτόκου. Christus infans loquitur.

[9] Σὺ δὲ βλέπων in cod. B.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Οὐδ' εὐχαριστεῖς, οὐδ' ἐπιστρέφειν θέλεις.
Καὶ τίς σε λοιπὸν οὐ παρευθὺς δακρύσει;

* XLIII. Τῷ πατριάρχῃ κυρῷ[1] Νίφωνι χαριστήριοι.

Ὦ χαῖρε, κοινὲ πατριάρχα φωσφόρε,
Σοφὲ, προμηθεῦ, πανδοχεῦ[2], κοσμοτρόφε[3],
Στάσις, βάσις ἄσειστε, πυκνότης, χάρις,
Ἥδυσμα τῆς γῆς, νεκταρόβλυστε[4] δρόσε,
Καὶ γλῶσσα λαμπρὰ γνωστικῆς μουσουργίας.
Καὶ γὰρ ἐν ἀκμῇ[5] συμφορῶν ἀποκρύφων,
Ὅταν ὁ βαρὺς τῶν κακῶν ἤρθη κλύδων[6],

[1] Bandin. *κυρίῳ*. Cod. M. fol. 66.

[2] Cod. Vat. XXXII, 4.

[3] Manetho, 1, 2 ex *Thesauro*. Add. Theod. Stud. *Iamb.* XXIX : *Ἐπευλογοῦντες αὐτὸν, ὡς κοσμοτρόφον.*

[4] Vox addenda lexicis. Forma *νεκταρόβλυτος* invenitur in epigrammate Jo. Eugenici diaconi, cod. Par. 2075, fol. 413 r° : *Ὁ τῶν βροτῶν ἥλιος, ἡ ξένη φύσις· Ἡ θεοχαρίτωτος τῶν λόγων βρύσις· Ἡ τῆς σοφίας νεκταρόβλυτος χύσις, Ὁ χρυσόρειθρος καὶ μελίῤῥυτος Νεῖλος, Ὁ χαριτώνυμος μέγας χρυσοῤῥήμων, Ὡς ζῶν καὶ λαλῶν καὶ βλέπων φαίνῃ, Πάτερ, Καὶ νῦν ποταμηδὸν γλυκὺ χέων νάμα· Ὡς γὰρ θανὼν, κ.τ.λ.* Sequentia vide ap. Bandinium qui, *Catal.* t. III, p. 322, et cum multa varietate, hoc edidit iambicum carmen, ubi *νεκταρόβρυτος* pro *νεκταρόβλυτος*. Eadem forma *νεκταρόβρυτος* ap. eundem Jo. Eugenicum, cod. Par. 2075, fol. 395 r° : *Ὁ θεοφύτευτος παράδεισος, ὁ νεκταρόβρυτος ποταμός.* Voces *νεκταρόβλυστος, νεκταρόβλυτος* et *νεκταρόβρυτος* addendæ lexicis. Sic dicebant *θεόβλυστος, θεόβλυτος* et *θεόβρυτος*. Conf. meum Catal. Codd. Escur. p. 39 et 40. Alia ejusmodi composita, omnino lexicographis ignota addam : *Ἀεἰβλυστος*, Anon. cod. Par. 39, fol. 119 r° : *Πηγὴ ἀεἰβλυστος.*—*Μυρόβλυτος, De S. Theodoro* cod. Par. 1192, fol. 273 r° : *Εἶτα τὴν μὲν μυρόβλυτον οἱονεὶ πηγὴν φημὶ δὲ τὸ θεῖον αὐτοῦ σῶμα ὑπὸ μυχοὺς κατέκρυψε γῆς.* — *Ξενόβλυστος* et *Ξενόβλυτος*, vide cod. Vat. XI, 1, ibique notam. — *Πετρόβλυστος*, cod. Par. CV. — Add. *Ὀμβροβλυσία*, Tzetz. *Allegor. in Il.* Υ, 343 : *Εἶτα δὲ καὶ τὸν Σκάμανδρον ἐκ τῆς ὀμβροβλυσίας Ἀνακυμήναντα δεινόν.* Et *Ὀμβροβλύτησις*, Eustath. *Spicil. Rom.* t. V, p. 324 : *Διὰ δρόσου καὶ λουτροῦ καὶ λουτηρίου καὶ ὀμβροβλυτήσεως.* De vocibus in *βρυτος*, vid. Append. XIII, not. ad v. 1.

[5] Cf. cod. Par. VI, 11.

[6] Cf. infra XCV, 122.

Ακαδημία Αθηνών / Academy of Athens

Πολλῇ καθ' ἡμῶν ἐμβριμώμενος ῥύμῃ,
Καὶ καθάπερ δύσοισλος ἐν ζάλῃ γνόφος,
Τῶν ἐλπίδων αὔτανδρα[1] συγκλῶν τὰ σκάφη,
Τότε ξένου[2] ζέφυρον ἐμπνεύσας λόγων,
Ὡς ἂν ὁ χειμὼν συσλαλεὶς ἀφυβρίσῃ,
Καθεῖλες εὐθὺς τὰς λαβὰς[3] τοῦ κινδύνου,
Καὶ λαμπρὰν ἐξήνεγκας ἡμῖν αἰθρίαν,
Οἰδοῦσαν ὁρμὴν δυσχερῶν κατευνάσας,
Ἀπέσβεσας δὲ τῆς ψυχῆς μου τὰς φλόγας[4],
Εὐεργεσιῶν δαψιλεῖς ὄμβρους χέας,
Μὴ πυρπολῃθὲν ἐκτακῇ μοι τὸ σλέαρ,
Καὶ πᾶς ὁ καπνὸς εἰσρυῇ[5] τοῖς ὀσλέοις,
Καὶ τῆς κεφαλῆς τοὺς πόνους ἐξήλασας,
* Ἐγκάρδιον πᾶν εὐχερῶς λύσας πάθος·
Κιρνᾷς γὰρ ἡμῖν σωσλικῶν ἔργων πόμα,
Γοργῶς ἀναιροῦν τὰς νομὰς[6] τῶν τραυμάτων·
Οὔτε ξυρῶν δ' οὖν, οὔτε καυτήρων δέῃ
Πρὸς τὰς ἀφανεῖς τῆς ψυχῆς περισλάσεις,
Ἐπεὶ Γαληνὸς πατριάρχης εὑρέθης,
Σοβῶν τὸ λυποῦν τῇ χρυσῇ χειρουργίᾳ[7].
Τίς οὖν ἔχων σλόματα καὶ γλώτλας δέκα,
Τῶν σῶν ἀγαθῶν ἐκροφήσει τὴν χύσιν[8];
Ἐγὼ πρὸ μακροῦ δυσχερῶν εἶλκον βρόχον,

[1] Infra CXXX, 44.

[2] Fort. ξένων. Cf. cod. Esc. CCXXIX, 6.

[3] Infra CV, 7 : Εἴργων πρὸ μακροῦ τὰς λαβὰς τοῦ κινδύνου. Id. XCVIII, 37 : Καὶ τῶν ὀδυνῶν τὰς λαβὰς ἀνατρέπει. Cf. infra CCIX, 23.

[4] Cod. Par. VI, 7 : Σβεννύντα γοργῶς τῆς ψυχῆς μου τὴν φλόγα.

[5] Cod. εἰσρυεῖ.

[6] Cf. cod. Esc. CLXIII, 16.

[7] Infra LXXXVI, 19 : Ταῖς τῆς ἀγαθῆς δεξιᾶς χειρουργίαις. Cod. Esc. CLVI, 12 : Τῇ πρὸς τὸ λυποῦν μυσλικῇ χειρουργίᾳ. Cod. Par. LVII, 17 : Εὐεργεσιῶν χειρουργία.

[8] Cf. cod. Esc. CLXXXVII, 1.

Καὶ μέχρι τινὸς τοῖς κακοῖς ἐνετρύφων,
Καὶ τοῦ ϖνίγους Φλέγοντος ἐν Θέρει [1] τύχης,
Ἐδυσπάθουν, ἤσχαλλον, ἐξετηκόμην,
Καὶ λειποθυμῶν δυσλυχῶς ἐπνευσλίων.
Αὐτὸς δὲ ϖηγὰς ἀργυρᾶς ἀνεσλόμους
Διψῶντα Φιλῆν συμπαθῶς ἀναψύχων.
Οὐκ ἦν γὰρ εἰκὸς τεχνικῶν γλῶσσαν κρότων
Ἀποφρυγῆναι [2] τῇ ζέσει τῆς Θλίψεως·
Οὔ, σῶτερ, οὔ, Φῶς, οὔ, Φυσικὴ χρησλότης·
Τὰ δὲ ϖρὸ τῆς χθὲς εὐγενῶς εἰργασμένα
Τῇ σῇ ϖρὸς ἡμᾶς ἀκλινεῖ κατασλάσει
Πῶς οὐκ ἀτεχνῶς τῶν Φθασάντων βελτίω;
Ἐμοῦ γὰρ ἀγνοοῦντος ἐξ ἀπουσίας,
Μᾶλλον δὲ καθεύδοντος ἐξ ἀθυμίας,
* Αὐτὸς τετακὼς τῆς ψυχῆς τὴν σΦενδόνην [3],
Καὶ σλερῤῥὸν εἰς ὕπαρξιν ἐξάρας λόγον,
Ὡς ἀδρὸν εἰς ἔκπληξιν ἐν μάχῃ λίθον,
Κατὰ κεΦαλῆς τοὺς ἐμοὺς ϖλήτΙης [4] ϖόνους,
Ὡς ϖαρδάλεις, ὡς κύνας, ὡς βάρεις λύκους·
Ἐγὼ δὲ ῥυσθεὶς εὐμαρῶς ἀναπνέω,
Καὶ ϖρὸς σὲ τὸν κάλλισλον ἀνθρώπων βλέπων,
Οὐδ' εἰς τὸν ἑξῆς μορμολύτΙομαι χρόνον·
Καὶ γὰρ ὁ σωτὴρ εὐμενὴς ἀΦ' ἑσλίας,
Κἂν ὁ δράκων δήϖουθεν ἑρπύσῃ ϖάλιν,
Ὃν ὁ Φθορεὺς ἤνεγκε τῷ γένει Φθόνος,
Ἀποκτενεῖ καὶ τοῦτον ἡ μάχαιρά σου·

[1] Cf. cod. Par. xcii, 3.

[2] Versus 38 et seq. in cod. Par. fol. 4 r° sine initio.

[3] Cod. Esc. clxxxix, 1 : Τῆς ψυχῆς τῇ σΦενδόνῃ Ἀνασόβει τὸν Θῆρα τῆς ἐμῆς λύπης. Supra xxxix, 1 : Καρδιῶν ἡ σΦενδόνη. Conf. cod. Par. ccxxxvii, 81.

[4] Fort. ϖλήτΙεις. Cf. infra xliv, 73.

Ακαδημία Αθηνών / Academy of Athens

Τομωτέρα γάρ ἐστι παντὸς Φασγάνου,
Πρὸς ἀντιπαράταξιν [1] ἐστομωμένη.
Τίς εἶδεν ἀντίμιμον οὐρανοῦ Φύσιν [2];
Ὥσπερ γὰρ αὐτὸς ἐκταθεὶς τῷ τεχνίτῃ,
Καὶ τήνδε τὴν γῆν ἡσυχῇ διαβρέχων,
Τὰς ἐκφύσεις δίδωσι τῆς πανσπερμίας·
Οὕτως ὁ λαμπρὸς πατριάρχης ἐνθάδε
Τὰς ἀφθόνους χάριτας ἡμῖν ἐγχέει [3],
Δι' ὧν ὁ καρπὸς [4] τῶν ἐμῶν λόγων βρύει.
Λέων μὲν οὖν ἄτρεστος εἰς λόχμας τρέχει,
Καὶ πλὼξ ἀγεννὴς ὑπὸ Θάμνον ἢ χλόην,
Καὶ δορκὰς εἰς ὕψιστον ἀσμένως ὄρος·
Μύρμηξ δὲ καὶ μῦς τὰς ὀπὰς ὑπέρχεται,
Καὶ πτηνὸν εἰς ἔνικμον ἐκρύβη κλάδον,
Ὅταν ὁ καιρὸς τὴν δορὰν καταψύχῃ,
Καὶ Φοινικῶν [5] αἴλουρος ὑπέδυ ξίφος,
Ὡς ἂν ἀπαθεῖς τὰς γονὰς ἔχοι τρέφων·
Ὕδωρ δὲ τοῖς ἰχθύσι καὶ πέτραι στέγη,
Καὶ πᾶσιν ἁπλῶς ἡ προσήκουσα σκέπη·
Ἐμοὶ δὲ τῷ σκώληκι τῷ σῷ τῷ ξένῳ
Σὺ τεῖχος, ἰσχύς, εὐκλεὴς ὄντως πόλις.
Ὢ χρηστότης ἄπειρος, ὡ πλούτου βάθος!

[1] Eustath. *De Thessalon.* p. 379. German. Cpol. cod. Coislin. 278, fol. 146 r° : Οὐδὲ πρὸς ἐχθρὸν σῶμα βλάπτοντα καὶ εἰς χρώματα ζημιοῦντα ἡ ἀντιπαράταξις. Id. fol. 149 r° : Καὶ ἔστι τοῦτο ἡμῖν ἐν ταῖς ἀντιμετώποις πρὸς οὺς δαίμονας ἀντιπαρατάξεσιν ὅπλον μαχον, ἀκαταγώγιστον.

[2] ὡραῖον in marg.

[3] Pari metaphora sed non eodem sensu, Anon. ap. Stob. XXIX, 16 : Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν.

[4] Cod. Par. LXI, 163 : Ὡς ἂν ὁ καρπὸς ἐκτραφῇ μοι τῶν λόγων.

[5] Fort. Φοινικοῦν, ob colorem sanguinis. Suidas : Φοινικοῦν· ἐρυθρὸν, πυρρόν. Homer. *Il.* Ψ, 716 : Αἵματι Φοινικόεσσαι.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀκουέτωσαν ταῦτα νῆσοι καὶ πόλεις
Καὶ πᾶσα Φυλή, μὴ καλυφθῇ τῷ χρόνῳ.
Μή, μὴ δὲ τὴν σὴν αὐτοκίνητον [1] Φύσιν
Τῇ πρὸς τὰ καλὰ τῆς ψυχῆς εὐεξίᾳ
Κρύψοι προϊὼν ὁ δρομεὺς ἅπας χρόνος.
Οὕτω προμηθεὺς καὶ θεὸς τῶν ἐμψύχων,
Οὕτω τριχῶν δίδωσι τοῖς ζῴοις σκέπην,
Οὕτω πετεινοῖς τῶν πτερῶν τὰς ἐκφύσεις,
Οὕτως ἔχει λεπίδας ἰχθὺς ἢ δράκων,
Καὶ κοχλίας ἔλυτρον, ἢ χρὼς ὀστρέων [2].
Ἀλλ', ὦ ποθεινὲ πατριάρχα τῇ κτίσει,
Γένοιτό σοι πᾶς εὐκλεὴς ὁ νῦν βίος,
Ὅσον δύνατόν ἐστιν ἀνθρώπου Φύσει,
Πρὸς τὴν πολιὰν ἐξιὼν τὴν ἐσχάτην,
Μὴ τῶν ἀγαθῶν τῶν τοσούτων τὴν χύσιν
Ῥυεὶς ὁ καιρὸς αὐθαδῶς ἐξικμάσῃ.

* XLIV. Εἰς τὸν βασιλέα ὅτε [3] οἱ ἐν Αἰγὸς Ποταμοῖς καὶ ἐν τῇ Συκῇ [4] βάρβαροι παρὰ τῶν ἡμετέρων ἀπώλοντο [5].

Τὴν ἔντονον δρῦν ἐκτεμεῖν τῶν βαρβάρων
Πληγῇ μιᾷ δήπουθεν οὐκ ἦν ἀξίνης·
Καὶ νῦν, βασιλεῦ, κέδρος ἡ δρὺς εὑρέθη

[1] Infra CCXIV, 62 : Αὐτοκίνητος τάπης. Cod. Par. XIV, 512 : Αὐτοκίνητον σθένος. Jo. Philop. *De anim.* fol. 16 v° : Αὐτοκίνητον ψυχήν. Leontius, in *Spicil. Rom.* t. X, p. 12, 2ª parte : Πρὸς τὸ εἶναι οὐσίαν ἀσώματον αὐτοκίνητον. Add. Pisid. *Hexaem.* 1254.

[2] Fort. ὄστρεον.

[3] Ὅταν secunda manus suprascripsit.

[4] Cf. Step. Byz. s. v. Συκαί.

[5] Hoc lemma legere non potuit Bandini qui in notis : Longior est titulus, sed partim characterum evanescentia, partim marginis interni restauratio oculis impervium reddidere; continet autem carmen acclamationes ac plausus in victoriam quandam ab imperatorio exercitu ex barbaris reportatam.

Ακαδημία Αθηνών / Academy of Athens

Τυπεῖσα ϖυκνῶς τῇ κρατίσῃ σου σπάθῃ.
Τὸ Δαυιτικὸν τοιγαροῦν ᾆσον μέλος,
Ἐπεὶ ϖαρελθὼν [1] οὐδαμοῦ ταύτην βλέπεις·
Ὁ σός γε μὴν ἔμεινε σὸς ϖάλιν τόπος,
Ὦ δένδρον οὐδὲν αὖθις ἀνθήσει νόθον·
Εἰ δ' οὖν, ϖάλιν ϖρόῤῥιζον ἐκσπάσεις τόδε,
Μοχλὸν σιδηροῦν ἐμβαλὼν σϱατευμάτων.
Ἐπεὶ δὲ καιρὸς τὴν Θεοῦ κροτεῖν χάριν,
Μήπως καλυφθῇ ϖρᾶγμα τῷ χρόνῳ μέγα,
Καινῆς ἐφ' ἡμᾶς εἰσβαλούσης αἰθρίας,
Ἥλιε τῆς γῆς Αὐσονάρχα, λαμπρύνου·
Ἐξίκμασας γὰρ τὸν κρυμὸν [2] τῶν ϖραγμάτων,
Ἐγκάρδιον ϖῦρ τοῖς [3] Θεοῦ σπλάχνοις χέας·
Τὸ βάρβαρον δὲ τετριγὸς λύσας νέφος [4]
Εἰς αἱματηρὰς ἐν σφαγαῖς ἐπομβρίας [5],
Πανηγυρικὴν δεικνύεις μεσημβρίαν,
Ἣ τῷ χρόνῳ κάλλιϭον εἰργάσω θέρος,
Ὦ ϖᾶς ἀτερπὴς ἐξελικμήθη [6] ϭάχυς,
Τμηθεὶς ἐπ' ἀκμῆς τῇ δρεπάνῃ τοῦ κράτους·
Καὶ νῦν ἔχει δράγματα νεκρῶν ἡ Θρᾴκη,
Πλησθεῖσα τῆς σῆς εὐτυχοῦς γεωργίας·
Μᾶλλον δὲ τὸν ϖρέποντα καιρὸν [7] ἁρπάσας,
Ὦ ϖᾶσα ληνὸς ἐμφορεῖται βοτρύων,

[1] Psalm. xxxvi, 10.

[2] Infra cxxxviii, 9 : Ἐπ' αὐτοῦ τοῦ κρυμοῦ τῶν ϖραγμάτων. *In Imperat.* 81, ed. Wernsd. : Καὶ ϖάντα γνόφον καὶ κρυμὸν ἐξαίρων τῶν ϖραγμάτων.

[3] Cod. τῆς pro τοῖς.

[4] Infra lxxxiv, 15 : Ἅπαν βάρβαρον ἀθροίσας γένος.

[5] Cod. Vat. xxx, 4 : Ὄμβρος συχνῶν αἱμάτων. Tryphiod. 20 : Φάργανον ἐχθρὸν ἔλουσε μεμηνότος αἵματος ὄμβρῳ. Anon. apud Cramer. *Anecd. Par.* t. IV, p. 271 : Νῦν, οὐρανὲ, ϭάλαξον ὄμβρους αἱμάτων.

[6] Cod. ἐξελικμήθω.

[7] Cf. cod. Par. xiii, 128.

Ακαδημία Αθηνών / Academy of Athens

Τὰς λυθροβαφεῖς[1] ἐκπεπάτηκας ῥάγας.
Οὐκ ἦν γὰρ εἰκὸς τῆς Ἄγαρ τὴν ἄμπελον
Τῇ σῇ, βασιλεῦ, μὴ τρυγηθῆναι σπάθῃ·
Καὶ νῦν ἀπ' αὐτῆς ἡδονῆς γλεῦκος πίνῃς
Κοινῆς μέθης ἄμεμπτον ἀθροίζων πόλον.
Ἐχρῆν δὲ καί σε τῆς ἀρᾶς τοῖς ἐκγόνοις
Ξηρὰν παρασχεῖν τὴν συκῆν τῶν ἐλπίδων,
Ὡς ἂν[2] ἐπὶ σοὶ μὴ φθονοῦντος τοῦ χρόνου,
Σιγῶν ποταμὸς ψαλμικὸν φθόγγον λάβοι[3].
Ναὶ Φαιδρύνου, κράτισλε, ναὶ χεῖρας κρότει,
Καὶ μέλψον ᾠδὴν τῷ Θεῷ σου δευτέραν,
Ἧς ἡ Μαριὰμ, ἡ Θεόκλητος[4] κόρη,
Τὸ λαμπρὸν ἐντρύφημα τῶν σῶν ἐλπίδων,
Ἐν σοὶ τὸν εἱρμὸν ὀργανοῖ πρωτοστάτην·
Κατέκλυσας γὰρ ταῖς ῥοαῖς τῶν δακρύων
Τὸ Περσικὸν σύνταγμα, τὴν κοινὴν ζάλην,
Ὡς πρὶν ὁ Μωσῆς τοὺς βαρεῖς ἐπιστάτας,
Τὸν ὑγρὸν ἐξάπινα χερσώσας πόρον,
Καὶ πάλιν ὑγρὰν τὴν καλὴν δείξας τρίβον·
Κοινῆς δὲ Μερρᾶς[5] ἐγλυκάνθη πικρία,

[1] Forma addenda lexicis quæ solam afferunt Λυθρόβαπλος, ex Const. Man. *Amat.* IX, 46.

[2] Hic incipit cod. Par. fol 1 r°.

[3] Alludit ad Psalm. XCII, 3.

[4] Unde vox Θεοκλησία, quæ addenda lexicis occurrit ap. Zosim. cod. Par. 2325, fol. 92 v° : Τί δήποτε οὖν τοσαῦτα βίβλοι καὶ Θεοκλησίαι, καὶ καμίνων καὶ ὀργάνων κατασκευαὶ τοῖς παλαιοῖς ἀνεγράφησαν; Theod. Stud. p. 690 C : Καὶ παρακαλοῦμέν σε τὴν Θεοπαράκλητον (add. lexx.) καὶ πανσύνετον. Hanc vocem πανσύνετος, æque a lexicographis prætermissam, usurpant Theod. Stud. p. 412 E; Julian. *Opp.* t. II, p. 10; Cyrill. Al. ap. Mai. *Bibl. Patr.* t. II, p. 107 : Πανσύνετος οὖσα ἡ σὴ Θεοσέβεια. Meliten. v. 1756 : Πολεμικὴ γὰρ ἡ Θεὸς καὶ πανσυνετωτέρα. Theod. Prodr. cod. P. 2831, f. 161 v°.

[5] Cod. Flor. Μερᾶς. *Exod.* XV, 23. Cf. Boisson. *Anecd. gr.* t. I, p. 261, et t. IV, p. 391.

Ακαδημία Αθηνών / Academy of Athens

Τοῦ σλαυρικοῦ σοι[1] γῆθεν ἀρθέντος ξύλου,
* Ὡς ἂν ὁ καινὸς Ἰσραὴλ μὴ γογγύσας
Σκηνὰς ἐν ἀγροῖς καὶ τρυφῆς τόπους λάβῃ·
Τὴν γὰρ ἀνακύψασαν ἐνταῦθα κνίδην,
Καὶ τὰς πονηρὰς ἐξεμόχλευσας βάτους,
Ὡς ἂν ὁ καρπὸς[2] εὐσλοχῇ τῶν πραγμάτων.
Νῦν πάντα μικροῦ[3] καὶ γελᾷ καὶ τέρπεται·
Στυγνὸς γὰρ οὐδεὶς ἀπὸ καπνοῦ καὶ πνίγους,
Ἃ δῆτα φυγὴ προξενεῖ τοῖς ἐκνόμοις·
Ἀλλ' ἔσλιν εὑρεῖν πανταχῇ γῆς ἐμπόρους,
Καὶ νυκτερινοὺς ὑπὸ λόχμαις ἀγρότας,
Καὶ καταγωγὰς, καὶ νομὰς ὑπαιθρίους[4].
Νῦν εἴδομεν φῶς εὐτυχῶς μετὰ σκότος·
Ἡ γὰρ καθ' ἡμῶν ἀσλραπὴ τῶν βαρβάρων
Φανεῖσα μικρὸν ἀπὸ δυσμῶν ἐκρύβη,
Καὶ νὺξ[5] ἀφεγγὴς δυσχερῶν οὐχ εὑρέθη,
Ταῖς σαῖς, βασιλεῦ, προσβαλοῦσα λαμπάσι.
Νῦν πάντα καινὰ, καὶ Θεὸς πάντως μέγας,
Ὃς ταῦτα ποιεῖ τῇ ῥοπῇ τῆς ἰσχύος,
Κατασλρέφων ἔπαρσιν ὑπερηφάνων[6].
Καὶ μὴν πρὸ μικροῦ συῤῥαγέντας ἀθρόους,
Καὶ γνόντας ὡς δεῖ μὴ θρασυνθῆναι πλέον,

[1] Cod. Par. omittit σοι.

[2] Idem versus ex Boisson. *Anecd. gr.* t. V, p. 171, not. 5, in Append. VI, 11 : Ὡς ἂν ὁ καρπὸς εὐσλοχῇ τῶν πρακτέων. Cod. Par. CXXXI, 60 : Ὡς ἂν ὁ καρπὸς μὴ ῥυῇ τῶν πρακτέων. Id. CLXXII, 15 : Οὕτω με καὶ νῦν.... εὔκαρπον ἀνάδειξον ἐκ τῶν πρακτέων.

[3] Cod. Par. πικροῦ.

[4] Supra XXX, 16 : Τείνουσιν ἰσλοὺς ταῖς πλοκαῖς ὑπαιθρίους. Cf. *De animal.* 1475, et *De plant.* 317.

[5] Cod. Flor. νῦν pro νύξ. Cod. Par. XCI, 10 : Τὴν νύκτα τῶν νῦν δυσχερῶν οὐ βαστάσω. Cf. cod. Par. CXXIV, 7.

[6] Unde ὑπερηφανευτικός ap. Germ. Cpol. cod. Coislin. 278, fol. 208 r° : Πλαδαροὺς ποιῶν ἐξ ὑδαρότητος ὑπερηφανευτικῆς καὶ εἰς ὄγκον ὑδερικώτερον ἐκφυσῶν. Hac voce augenda lexica.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐχρῆν ἀτεχνῶς μὴ ϖεριϖλαίειν [1] ϖάλιν·
Ἀλλ' ἦσαν αὐτοῖς τὰ Φρονήματα γνόφος,
* Ὡς ἂν ἐλεγχθῇ τῷ κρατίσλῳ ΦωσΦόρῳ.
Ὢ ϖῶς, βασιλεῦ, νῦν ἐδοξάσθης ϖλέον
Κατὰ κεΦαλῆς τοὺς Φθορεῖς ϖλήξας ϖόνους [2],
Ἢ μᾶλλον εἰϖεῖν τοὺς Θρασεῖς κτείνας λύκους,
Ὡς ἂν τὰ σὰ Θρέμματα ϖοιμαίνοις [3] ϖάλιν
Εἰς γῆν ἀγαθὴν, εἰς Θεόβλασλον χλόην!
Ὢ ϖῶς ἀκαμπεῖς ὑπεδέξω σατράπας
Λείχοντας [4] οἰκτρῶς τῶν ϖοδῶν σου τὴν κόνιν!
Ἐπεὶ ϖρὸς αὐτὴν ἤνπερ αὐχεῖς ϖροσλάτιν,
Ἧς κλῆρος ἐν σοὶ τὸ τρισόλβιον κράτος,
Ἀνέδραμες χθὲς ἐξ ἀνακτόρων βάδην·
Ὡς ἂν ϖαρ' ἀμΦοῖν τοῖν ϖοδοῖν σου συντρίβοι [5],
Πᾶν εἴ τι λοιπὸν ἐμποδὼν γένοιτό σοι·
Καὶ ϖεζὸν εἶδεν ἡ ϖόλις βασιλέα
Νικῶντα Περσῶν εὐδρομοῦντας ἱππέας.
Ἀλλ', ὦ κόρη ϖάναγνε, σεμνὴ ϖαρθένε,
Δι' ἧς ὁ λαμπρὸς εὐτυχεῖ σλεΦηΦόρος,
Σὺ ϖρόσθες αὐτῷ καὶ τὰ λοιπὰ τῆς τύχης·
Σὺ ϖῆξον αὐτῷ ϖανταχοῦ γῆς τὸν Θρόνον,
Σὺ Θάλψον αὐτὸν ὑπὸ τῇ ϖλέρυγί σου,
Τὰς νιΦάδας [6] λύσασα τῶν ἐναντίων.

[1] Cod. Escur. XCI, 54 : Καρηβαριῶν καὶ ϖεριϖλαίων βάδην.

[2] Idem prope versus XLIII, 48.

[3] Cod. Flor. ϖοιμαίνης.

[4] Theod. Hyrtac. *Not. des mss.* t. VI, p. 20 : Ἐχθροὺς δ' ἀσπόνδους, Εὐρωπαίους καὶ Λιβύας ὁμοῦ σατραπάρχαις Φαλαγγάρχας..... τοῖς αὐτοκρατορικοῖς ὡραίοις ϖοσὶ τοὺς σιδηροῦς τραχήλους συγκάμπλοντας καὶ χοῦν τὸν ὑποπόδιον λείχοντας.

[5] Fort. συνλρίβῃ.

[6] *De anim.* 1057 : ΝιΦάσι ϖυκναῖς εὐτελῶν ἀκοντίων. Ephræm. *Chronic.* 5088 : Βελῶν ταῖς νιΦάσιν. Id. 5503 : Λοιδορησμῶν νιΦάσιν ἀπειρίτων. Id. 5560 : ΝιΦάδας κακῶν. *Actt. SS. Oct.* t. VIII, p. 140 : ΝιΦάδες λίθων.

Ακαδημία Αθηνών / Academy of Athens

Σὸς οὗτος ἐστὶν, ἀλλὰ σὸν καὶ τὸ κράτος.
* Σὺ σφίγξον αὐτοῦ τῇ κεφαλῇ τὸ στέφος·
Σὺ γὰρ μόνη καύχημα καὶ φῶς καὶ σθένος
Καὶ κόσμος αὐτῷ καὶ τρυφὴ καὶ φαιδρότης.
Σὺ τοῦτον εἰς μήκιστον ἰθύναις βίον,
Ἕως μετ' αὐτῶν ὑπὸ σοὶ τῶν φιλτάτων
Εἰς ὠκεανὸν εὐτυχῶς ἐπιδράμῃ·
Ὡς ἂν δι' αὐτοῦ πᾶν κατακλύσῃς[1] γένος,
Ὃ τὸν σὸν ἠθέτησεν ἀφρόνως τόκον.

XLV. Τοῦ αὐτοῦ στίχοι εἰς διαφόρους ὑποθέσεις.

* Ἢ σωμάτων ἔμπνευσιν ἡ τέχνη γράφει
Καὶ τὰς χρόας κίρνησιν ἐκ τῶν ἐμψύχων,
Ἢ ζῶν ἀτεχνῶς καὶ Θεοῦ παῖς τὸ βρέφος
Τὴν νεκρὰν ἐψύχωσε τῶν τύπων φύσιν.
Φυγεῖν μὲν ὁρμᾷ τὸ σχεδὸν σκαῖρον βρέφος·
Οὐ γὰρ ἐπαινεῖ τοὺς ἀναισθήτους τύπους·
Ἀνείργεται δὲ μητρικὴν στέργον σχέσιν,
Κἂν εἰς τύπον μέλλοντος ἐγράφη τάχους.
Ἰοὺ φρενῶν δύναμις ἐν τοῖς ἀψύχοις·
* Θεὸς γάρ ἐστι καὶ Θεοῦ παῖς τὸ βρέφος,
Ὃ τάχα νικῶν τῆς γραφικῆς τὴν φύσιν
Κινουμένου σχήματος ἐμφαίνει δρόμον.
Ἔοικεν, ἁγνὴ, μὴ ῥιγοῦν σοι τὸ βρέφος·
Καὶ γὰρ ὁ χειμὼν[2] τῆς φθορᾶς ἀνετράπη,
Καὶ τὰς νοητὰς εἶδεν αὐγὰς ἡ φύσις,
Τῆς τοῦ βρέφους χάριτος ἐκ σοῦ λαμψάσης.
Τί τοῦτο; καὶ γὰρ ὁ στολιστὴς τῶν κρίνων,[3]

[1] Cod. Flor. κατακλύση.
[2] Infra CCXXXII, 2 : Καὶ γὰρ ὁ χειμὼν τῆς φθορᾶς ἀπερρύη. Conf. CI, 41.
[3] Luc. XII, 27, 28.

Ἁπλῆν δι' ἡμᾶς ἐνδιδύσκεται σκέπην,
Ὡς ἂν μάθῃς, ἄνθρωπε, μετρίως ἔχειν,
Καὶ τοῦ ϖεριτ|οῦ μηδὲ μικρὰ Φροντίσῃς.
Ἐπισ|ράφητε, Φησὶ, μικρὸν τὸ βρέφος,
Κἀγὼ ϖρὸς ὑμᾶς ἀντεπισ|ραφήσομαι [1].
Εἰ δ' οὐκέτι βούλεσθε μωροὶ τὸν βίον,
Ἐγὼ ϖρὸς ὑμᾶς ϖῶς ἐπισ|ραφήσομαι;
Ἄνθρωπε, συσ|άληθι τὸ βρέφος βλέπων·
Ζῇ μὲν ἀτεχνῶς, εἰ δὲ μὴ σκαίρειν Θέλοι,
Τῆς μητρὸς αἰδοῖ τοῦτο· σὺ δέ μοι σκόπει,
Πῶς καὶ ϖρὸς ὁρμὰς ἐκδρομῆς ἤδη βλέπει.

XLVI. Τῷ Πατρικιώτῃ.

Ἀναψυχῆς ὕδωρ σε τοῖς Φίλοις κρίνων,
Ὡς ϖῦρ Θεωρῶ τὴν τριχόπλοκον [2] σκέπην·
Σὺ γὰρ ἔχων Φρόνησιν ἀψευδεσ|άτην
Πρὸς ϖᾶσαν ἀκμὴν ἀντιτάτ|ῃ τῷ χρόνῳ.

XLVII. Ἐπιτάφιοι εἰς τὸν δεσπότην κῦρον [3] Μανουὴλ, ὡς ἀπὸ τῆς δεσποίνης.

* Ἀγνὴ κόρη, σὺ καὶ Θεὸν Φέρεις βρέφος,
Ἐγὼ δὲ γυνὴ γηγενοῦς μήτηρ τόκου·
Οὐκοῦν ἅπερ σὰ τοῖς καθ' ἡμᾶς ἀντίθες
Καὶ ϖαῖδα νεκρὸν ἀπαθανάτιζέ μοι.

XLVIII.

* Ἔμπνους [4] ὁ τύπος οὗτος, οὐχ ἁπλῶς τύπος·

[1] Matth. XVIII, 2-6.

[2] Hac voce augenda lexica. Supra XXX, 22 : Ἁπλοῦσι λοιπὸν τὴν τριχόπλοκον σκέπην. Id. XV, 4 : Δίδου ϖρὸς ἡμᾶς τὸ τριχόπλοκον Φάρος.

[3] Band. κύριον. Manuel Palæologus, despota, filius Michaelis Palæologi. Cf. Ducang. *Famil. Byz.* p. 236.

[4] Hoc et quinque seq. ex apographo amici mei Read.

Ακαδημία Αθηνών / Academy of Athens

Αἰσθάνεται γὰρ τῆς γραφικῆς ἡ Φύσις,
Ὡς καινὸν ἀρχέτυπον ἐκμιμουμένη
Ποιεῖ παρ' αὐτῷ ζωτικὰς τὰς ἐμφάσεις.
Τάχα πνοῆς ἄῤῥητον ἰσχὺν ἐγχέας
Τὸν ἡδὺν ἐψύχωσεν ὁ γραφεὺς τύπον·
Οὐκ ἦν γὰρ εἰκὸς εἰς δυσεύρετον [1] Φύσιν
Μὴ τὴν γραφικὴν ἡσυχῇ ζῶσαν πνέειν.
Ἴσως ἐπαινεῖς τόνδε τὸν τύπον, ξένε·
Δοκεῖ γὰρ ἐμπνεῖν ὑπὸ τῆς εὐτεχνίας.
Ἐθαύμασας δ' ἂν ἐκπλαγεὶς καὶ τὴν Φύσιν,
Ἂν ἦν δυνατὸν ζωγραφεῖν καὶ τοὺς λόγους.
Τοῦ σώματος τὴν ὥραν οὐ [2] γράφων ὅλην,
Καὶ τὴν ψυχικὴν οὐδ' ἀμυδρῶς ἐγχέεις;
Οὐ δῆτα, φησὶ τῆς γραφῆς ὁ τεχνίτης·
Οὐχ ἵσταται νοῦς εἰς τὸ τῆς ὕλης πάχος.
Ὁ πανσέβαστός ἐστιν οὗτος Ἀτζύμης [3],
Ὁ τῶν θεμάτων τῆς ἕω Δομέστικος·
Ὃς καὶ γραφικῆς δείκνυται νῦν βελτίων,
Σχεδὸν παρ' αὐτῇ καὶ πνοῆς ἕλκων χύσιν.
Ὑδροῤῥόην εὔστικτον [4], ὑγρὰν αἰθρίαν,
Πηγὴν Φορητὴν, ἀργυροῦν ἄκος πνίγους,
Φρέαρ φέρον πρόμηκες ἐν σφαίρᾳ στόμα
Λάμβανε καὶ πρόπινε καὶ τέρπου, ξένε.

XLIX. Εἰς τὸν μέγαν Δρουγγάριον [5].

* Ἄνθρωπε φιλάνθρωπε, τὴν χήραν δέχου

[1] Cod. Esc. CCXIII, 216 : Δυσεύρετον Φύσιν. Anon. cod. Par. 1277, f. 230 r°: Δυσεύρετον κτῆμα.

[2] Fort. ὁ pro οὐ.

[3] Cf. infra LXV.

[4] Leg. εὔτυκτον.

[5] Id est Ducas Muzalon. Cf. cod. Par. CLVI, 16.

Ακαδημία Αθηνών / Academy of Athens

Τοῦ κρυπτὰ γινώσκοντος ἀνθρώπων χάριν·
Τὸν γάρ σε δοξάσαντα καὶ σὺ δοξάσεις
Τοὺς ἀπογυμνώσαντας αὐτὴν Φαυλίσας.
Ἔπεμψά σοι τὸν παῖδα, θαυμασὶὴ Φύσις·
Ὀνηλάτην γοῦν τοῦτον ἀντίπεμπέ μοι
Φέροντα πυροὺς καὶ κριθὰς ἀσυγχύτους·
Τὸν ἄφθονον γὰρ φυσικῶς ἔχεις τρόπον.
Γραῒ καθαρᾷ προσφυῆ σῖτον πρόες·
Τῇ γὰρ ψυχῇ τὸ σῶμα συζευχθὲν φέρων
Σοφῶς γεωργεῖς τὴν φορὰν τῶν πρακτέων [1],
Ἐπεὶ τὸ κοινὸν προσδοκᾷς, πάτερ, θέρος.

L. Εἰς τὸν ἅγιον Στέφανον.

Λύτλῃ ψυχικῆς ἐμπεσὼν καχεξίας
Ἄκος φέρω τὸ τμῆμα τοῦ σοῦ λειψάνου·
Ὅλον γε μὴν ἔχειν σε κομπάζω σλέφος
Τερασλίοις, πρώταθλε [2], κοσμοῦν τὸν βίον.

LI. Εἰς τοὺς ἁγίους Θεοδώρους.

Ὁ Χρισλὸς ὑμᾶς ὡς ἐμοὺς ὑπερμάχους
Ὡπλισμένους δείκνυσι τοὺς Θεοδώρους,
Ἵνα με παντὸς ἐξάγοιτε κινδύνου
Ὡς ἡμεδαπὸν [3] τὸν Πλακιδᾶν οἰκέτην.

LII. Εἰς παναγιάριον [4].

* Λίθος πιανθεὶς ἐξ ὑαλίνης δρόσου
τὸ τεσσαρακονθήμερον τῆς νησλείας κατεβέβηκε σλάδιον.

[1] Pro πραγμάτων. Cod. P. XIV, 124: Σκοπῶμεν τὴν Φορὰν τῶν πραγμάτων.

[2] German. Cpol. cod. Coisl. 278, fol. 217 v°: Καὶ πρώταθλος οὗτος πρὸς

[3] Fort. ὑμεδαπόν.

[4] Cf. infra LXX et Par. CCXXXV.

Ακαδημία Αθηνών / Academy of Athens

Σταχυφορεῖ[1] τὸ βρῶμα τῆς ἀφθαρσίας·
Σὺ δὲ, ψυχὴ, τράπεζαν ἁγνείας βλέπε,
Καὶ τὰς ψίχας λάμβανε κἂν ζῇς ὡς κύων.

LIII.

Τοὺς[2] τέτταρας σιατῆρας οὓς ἠτησάμην
Μὴ δισσάσας δὸς μὴ[3] χρυσοῦ κρείττων φίλε·
Οὕτω γὰρ ἂν ἠκισσα φανείην πένης
Ὡς μηδὲ τετράκην[4] σὸν ἐκτίσαι χρέος.
Χιλιάκις εὖ τὸ χρυσοῦν ἦλθες φάος·
Πῶς οὖν ἔχεις γνώριζε, μαθεῖν γὰρ θέλω,
Κἂν τὰς πρὸς ἡμᾶς ἀνύσῃς ὑποσχέσεις,
Καὶ τοῦτο μαθεῖν ἀπὸ τῶν ἔργων θέλω.
Στατῆρας ἡμῖν πέμπε δὶς θᾶττον δύο,
Καὶ μηκέτι φαύλιζε φειδοῖ τὴν φύσιν·
Ἐγκαίνισον δὲ τὴν μαρανθεῖσαν σχέσιν,
Ἐγκαινίων, βέλτισσε, καιρὸν σεμνύνας.
Ἐγὼ φίλος σὸς, οὑτοσὶ δ' ἐμὸς πένης,
Τάχα δὲ καὶ σὸς, ἐξ ἐμοῦ γὰρ ἡ σχέσις·
Ὃ γοῦν πρὸς αὐτὸν ὁ χρυσοῦς πράξεις φίλος,
Ἐμός τε καὶ σὸς τῷ θεῷ πάντως φόρος.
* Τὸν νῦν[5] παρ' ἡμῶν ὁ χρυσοῦς παῖδα βλέπων
Ἢ πέπλον ἡμῖν ἢ χρυσῆν χάριν δίδου·
Τὰ γὰρ παρυφάσματα τῆς φαύλης τύχης
Ἀραχνίων ῥήγνυσιν ἡ χείρ σου τρόπον.
Πρὶν ἢ προελθεῖν τῆς φίλης Βυζαντίδος

[1] Cf. Append. VI, 12; mox v. 4, alludit ad Matth. XV, 27.

[2] «Tetrasticha X sine titulo, videntur tamen ad amicum quemdam, fortasse Patriarcham Niphonem.» Band.

[3] Fort. δός μοι, χρυσοῦ κ. φ.

[4] Fort. τετράκησον. Vox nova quidem, sed noti sunt ὁμόκησοι, qui eodem tributo censi sunt.

[5] νοῦν pro νῦν cod.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐπὶ τὰ βαθύτατα τῆς Θρᾴκης, χάριν
Πέμπε πρὸς ἡμᾶς τὰς γονὰς τῶν ὀσπρίων,
Ἔγκαρπε[1], φιλόσοργε, πατέρων πάτερ.
Ὁ βελτίων μέλιτος εἰς τέρψιν φίλων,
Πέμπε πρὸς ἡμᾶς ὡς ὑπισχνοῦ τοὺς ἄλας·
Τὸ νόσιμον γὰρ καὶ πρὸ τῶν ἔργων φέρεις
Εὐσοργίας[2] ἄλατι πηγυὺς τὸν βίον.
Ῥόδων χάριν μέλιτι συντεθειμένην
Πέμπε πρὸς ἡμᾶς τῶν παρισθμίων[3] χάριν·
Οἰδοῦσί μοι γὰρ αἱ περὶ ταῦτα φλέβες
Ἐκ τῶν πονηρῶν φλυκτίδων, ὦ δέσποτα.
Τὸ σχῆμα τῆς σῆς μαρτυρικῆς ἀνδρίας[4]
Ἐν συμβόλοις ἔδειξεν ὁ σκιαγράφος·
Τῇ γὰρ ἀφανεῖ τῆς ψυχῆς παντευχίᾳ
Τὸν τῆς πλάνης δράκοντα καθεῖλες, μάκαρ.
Ἢ καὶ ψυχῆς δύναμις ἐμπνεῖ τοῖς τύποις,
Ἢ σὺ, μάκαρ, ζῇς· εἰ δὲ καὶ ζῶν οὐ πνέεις,
Οὐδὲ τρέχεις ἔφιππος, ὡς νῦν ἐγράφης,
Καὶ τῆς γραφικῆς τάχα νικᾷς τὴν Φύσιν.

LIV. Πρὸς τὸν Πεπαγωμένον πρόσλαγμα ἐξαιτῶν δι' οὓς ἀπώλεσεν ἵππους αὐτοῦ.

* Πέμπε πρὸς ἡμᾶς τοὺς βρυχηθμοὺς[5] τοῦ κράτους,
Ὡς ἂν ὁ δειχθεὶς τοῖς ἐμοῖς ἵπποις λύκος
Τρουλληνὸς, ὦ βέλτισλε, τῆς γῆς ἡ νόσος,
Ἀναδοτικῶς[6] τὴν τροφὴν ἀποπλύσῃ[7].

+ Ἀλλὰ τὸ κάλλιστ. CXLII, 2

[1] Fort. εὔκαρπε.
[2] Cf. cod. Par. IX, 77. Ibid. CXLVII, 2 : Τὸν κρατῆρα τῆς εὐσοργίας.
[3] Cod. Par. CCXVIII, 12.
[4] Cod. ἀνδρείας.
[5] *De eleph.* v. 349 : Ὅταν βρυχηθμῶν ἐξερεύγηται κτύπους.
[6] Hoc adverbium deest lexicis.
[7] *De animal.* 183 : Τροφὴν δὲ τὴν χθὲς ἀνεμοῦσι τήμερον.

Ακαδημία Αθηνών / Academy of Athens

LV. Κυρῷ[1] Νίφωνι.

Τῷ πατριάρχῃ τῆς ὅλης οἰκουμένης
Κριθῶν χάριν πέπομφα δὶς δέκα σλίχους,
Οὓς[2] αὐτὸς ἐγχείριζε καὶ πέραινέ μοι
Δυνατὸς ὢν, κάλλισλε πατέρων πάτερ.
Ἢ θᾶτλον ἡμῖν τὸ χρυσοῦν σκεῦος δίδου,
Χρυσοῦν γὰρ ἐκ σοῦ καὶ τὸ χαλκοῦν ἐκρίθη,
Φύσις χρυσοῦ ξύμπαντος ὀλβιωτέρα,
Ἢ κατὰ τὸν Μέλητος[3] ἀπόειπέ μοι·
Τοὺς γὰρ ἀφανεῖς ἐκλογισμοὺς τῶν φίλων
Ἡ τοῦ χρόνου δύναμις εἰς φῶς ἐξάγει.
Σὺ χρησλὸς ἀνὴρ, ἀλλ' ἐγὼ φίλος μόνον·
Ὡς οὖν ἔχεις πέρανον οὓς ἔφης λόγους
Κριθὰς παρασχὼν τῶν ἐμῶν ἵππων χάριν,
Καὶ κυάμους θρέψοντας οἰκέτας φάγους,
Μᾶλλον δὲ βαρεῖς καὶ κατακράτος λάλους,
Καὶ καλάμην, εἰ μή τι φορτικὸν τόδε,
Νομεῦ λογικῆς ἀγέλης ἀκάματε.
Τῆς πενταρίθμου τῶν ἁλῶν σὺ[4] χάριτος
Τὴν μὲν τετάρτην μοῖραν ἀρτίως δίδου·
Πέμπλον δέ μοι φύλαξον ἐκ ταύτης μέρος,
* Ὡς ἂν δοθῇ καὶ τοῦτο νοσλίμῳ φίλῳ.
Πέμπε πρὸς ἡμᾶς καὶ τὸ τοῦ πέμπλου μέρος
Ἀνενδεῶς ἔχουσαν ἐμφαίνων σχέσιν·
Οἱ γὰρ ἅλες[5] κρίνουσι τοὺς ὄντως φίλους
Κοινωνίας τράπεζαν ηὐτρεπικότες.

[1] Band. κυρίῳ. Cod. M. fol. 71.
[2] Fort. ἅς, id est τὰς κριθάς.
[3] Respicit ad Homer. *Il.* A, 515 : Ὑπόσχεο καὶ κατάνευσον ἢ ἀπόειπε.
[4] Syllaba brevior. Addidi σύ.
[5] De noto proverbio : Alter alterum nosse non potest priusquam salem quem dicunt consumpserint, cf. *Thesaurus*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

LVI. Χαρτοφύλακι τῷ Κουτάλῃ [1].

Ὁ μὲν παλαιὸς τῆς παροιμίας [2] λόγος
Μασλιγίαν τίθησι τὸν κερασφόρον·
Σὺ δ' ὥσπερ ἀλγῶν κατὰ τῆς παροιμίας,
Ὡς τῷ κακῶς πάσχοντι συμπαθεσλέρας,
Τῷ Καραβιδᾶ καὶ φυλακὴν προσλίθεις·
Μὴ, κανόνων ἄγρυπνε καὶ νόμων φύλαξ·
Ἡ γὰρ ἀδικήσασα κομπάσει πλέον
Τῷ ψηφιδουργῷ [3] συμπαρατεταγμένη·
Πλὴν θᾶτλον ἡμῖν τὸν πεπονθότα πρόες,
Μήπως πάλιν δύσκλωσλον [4] ἐξάψῃ βρόχον.

LVII.

Γνώτω [5] βασιλεὺς, ἡ πνοὴ τῶν Αὐσόνων,
* Γνώτω βασιλεὺς, ᾧ θεὸς δοίη χρόνους,
Ὡς ἂν τὸ σεπλὸν μὴ τελευτήσῃ κράτος,
Ὡς ἡ μετ' ἐλπίδων με γεννησαμένη,
Καὶ γνησίῳ γάλακτι συσλησαμένη,
Καὶ τῶν ἐμῶν πλησθεῖσα δυσλυχημάτων,
Ἀπῆλθεν ἡμᾶς ὀρφανοὺς ἐάσασα.

[1] « Χαρτοφύλαξ erat *archivi et chartarum Ecclesiæ custos*, et inter dignitates, quas ἐξωκαταικοίλων vocant, quinta recensebatur. Hujus munera et jurisdictionem multis prosequitur Balsamon in meditato de duobus officiis Chartophylacis et Protecdici, lib. VII, *Juris gr. rom.* p. 453.» Bandin. qui nomen proprium legere non potuit. De Gregorio Cutala magno chartophylace conf. Cantacuz. I, p. 251 et 313.

[2] Cod. παροιμίας et supra παροινίας. Maritis, quorum uxores erant adulteræ, cornua in fronte tribuebant. Cf. infra XCVI, 13; Jacobs. ad *Anthol. Pal.* t. IX, p. 444; Huschk. *Anal.* p. 165, et Boiss. *An. gr.* t. III, p. 140.

[3] Hac voce carent lexica.

[4] Vox addenda lexicis.

[5] « Varia epigrammata iambica, nullo titulo, sed videntur ad imperatorem Ducam scripta.» Band.

Ακαδημία Αθηνών / Academy of Athens

Ναὶ τρανὲς ἀντίγλωσσον [1] εὖ δρῶν τὸν Φίλον
Τὸ συμβὰν ἀπάγγειλον εὐνοίας χάριν.

LVIII.

Τὴν ἐξ ἔθους ἡδίστα καινίζων σχέσιν,
Ὦ τῆς ἐμῆς ἄληκτε κοσμῆτορ τύχης,
Καὶ φιλοτιμότατε, καὶ ϖλωχοτρόφε,
Ῥύθμιζε καὶ ϖύκαζε καὶ σλόλιζέ με
Τῆς σῆς κεφαλῆς τῇ ϖρολῃφθείσῃ σκέπῃ·
Τὴν γὰρ ἀκαλλῆ καὶ κατεσπιλωμένην,
Ἧς μακρὸς ἐξέλυσε τὸν τόνον χρόνος,
Ὑπὲρ κεφαλῆς οὐ Φορητόν μοι σλέγειν·
Σὺ δὲ χρυσοῦς ὢν τὴν χρυσῆν ἔχε σκέπην,
Κἂν εἰς τὰ μὴ ῥέοντα σωφρόνως βλέπῃς.

LIX.

Δοῦκα σθεναρὲ ϖρὸς τὰ τῶν Φίλων βάρη,
Μᾶλλον δὲ Φιλάνθρωπε λιμὴν τῶν Φίλων,
Ὅταν ζέῃ δύσοισλος ἐνδείας κλύδων,
Πέραινε δή, ϖέραινε [2] τὰς ὑποσχέσεις,
Ἐπεὶ δυσωπεῖ καὶ τὸ ϖαρόν σε ψύχος

[1] Epistolium alloquitur *ἀντὶ γλώσσης* nuntiaturum. Vocem *ἀντίγλωσσος* ignorant lexica quibus addas alia ejusmodi composita : Κενόγλωσσος, Eustath. *Spicil. Rom.* t. V, p. 182 : Ἐμὲ γοῦν διδάσκαλος λάχοι ϖλήρης τὴν γλῶσσαν κατὰ τὸν Μωϋσῆν, καὶ μὴ ϖλερόεντας ϖροφέρων λόγους, καὶ οὕτω κενόγλωσσος. — Κουφόγλωσσος, Origen. cod. Coisl. 17, fol. 2 r° ; Ἀλλ' οὐδὲ βαρύγλωσσοι εἰσί· βάρος γὰρ καὶ σλίβος οὐκ ἔχει ὁ λόγος αὐτῶν· εἰσὶ δὲ κουφόγλωσσοι. — Πηλινόγλωσσος, Jo. Damascen. *Opp.* t. II, p. 835 D : Σήμερον βοήσωμεν καὶ ἡμεῖς οἱ ϖηλινόγλωσσοι, καὶ εἴϖωμεν τῇ μεγαλοδοξοτάτῃ (cod. Par. recte μεγαλοδόξῳ ταύτῃ) καὶ Φωτοφόρῳ μητρὶ τοῦ Θεοῦ. — Πυρίγλωσσος, Anon. cod. Par. 250, fol. 115 r° : Φωτίζετε τὴν οἰκουμένην ταῖς ϖυριγλώσσοις θείαις διδαχαῖς ὑμῶν.

[2] Cf. supra XIV, 1.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸν πρεσβυτικὸν καὶ πρὸ τῆς ἡλικίας,
Ὃς ἀπὸ θηλῆς καὶ τριχὸς πρωτοχρόνου[1]
Τὸν καθάπαξ ἄψευστον ἐκτήσω τρόπον.

LX.

Ἡράκλες Ἀσὰν, δυσμενῶν ἀντιστάτα,
Καὶ φάρμακον ζῶν τῆς ἐμῆς ἀῤῥωστίας,
Μὴ κανθάρους[2] νόμιζε τοὺς ἐμοὺς πόνους,
Μὴ, παρακαλῶ, μηδ' ἀγεννεῖς[3] βατράχους,
Μηδὲ πρὸς αὐτοὺς ἀναθαρσήσῃς πράῳως·
Ἀλλ' ὡς τὸν Οὐζπὲκ[4] τὸν σοβαρὸν σατράπην
Ὁ τρισαριστεὺς[5] ὁ χρυσοῦς ἥρως νίκα·
Θρασύτεροι γὰρ καὶ Σκυθῶν καὶ βαρβάρων
Τολμῶσι χωρεῖν, ἀλλὰ συντόνως μάχου,
Τὴν σιτίνην μάχαιραν αὐτοῖς ὀξύνας.

LXI.

Ὁ μὲν Λογαρᾶς ὁ χρυσοῦ[6] κρείττων φίλος,
Ὃν πρεσβύτην δείκνυσιν ἡβῶν ὁ χρόνος,
Σύσκηνον ἢ σύνδειπνον ἐκτήσατό σε,
Καὶ ζῇ παρὰ σοὶ καὶ τρυφᾷ καὶ τέρπεται·

[1] Infra CXXXI, 80 : Ὕβριν δὲ μισεῖς ἐκ τριχὸς πρωτοχρόνου. Supra I, 307 : Ἐμοὶ φίλος παῖς ἐκ τριχὸς πρωτοχρόνου. Cf. quoque infra LXXXI, 2 : Ἐκ φυῆς πρωτοχρόνου. Id. LXXXV, 28. Cod. Vat. XXV, 85 : Οὕτω σὺ καλὸς ἐκ τριχὸς πρώτης ἔφυς. Cf. etiam cod. Par. IX, 43. Supra I, 274 : Ἐγὼ τὸν ἄνδρα τοῦτον ἐκ πρώτης χνόης.

[2] Pari metaphora cod. Esc. CCLXIX, 3 : Τῶν παθῶν τοὺς κανθάρους. Eustath. *Opusc.* p. 37, 85 : Ἡ βίῳ κανθάρου προσήκων. Unde κανθαρόβιος ap. German. Cpol. cod. Coisl. 278, fol. 221 v° : Καὶ ὅσοις τὸ κανθαρόβιον (add. lexic.) μὴ κατηξιωμένοις τοῦ σωτηριώδους καὶ εὐώδους βαπτίσματος.

[3] Cod. ἀγενεῖς.

[4] Id est *Uzbek* de quo vid. Deguig. *Hist. génér. des Huns*, t. II, 2e partie, p. 281 sqq.

[5] Eustath. *Opusc.* p. 165, 28. Conf. supra I, 237 et 306.

[6] Cf. supra LIII, 2.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐγὼ δ' ἐπὶ νοῦν τὴν καλὴν ὄψιν στρέφων,
Καὶ μηδαμοῦ βλέπων σε τῶν ἀνακτόρων,
(Ἀπόκρυφον γὰρ καὶ τεθαλαμευμένον
Τὸ συγγενὲς καὶ Φίλον εἰργάσατό σε,)
Νῦν μᾶλλον ἀλγῶ καὶ τὸ λυποῦν οὐ στένω[1].
Ἢ γοῦν σεαυτὸν δεῖξον ἡμῖν ἐξ ἔθους·
Οὕτω γὰρ ἄν, βέλτιστε, τὸ θλίβον λύοις;
Ἢ τοῦ Λογαρᾶ πέμπε τὴν σημασίαν
Εἰς ἀπόδεσμόν τινα συγκεκλεισμένην·
Τὸ γὰρ ἐνεργὲς καὶ κατεσπουδασμένον
Ἡ Φύσις ἁπλῶς τοῦ σεβαστοῦ Παμφίλου[2].

LXII.

Χρῄζων καθαρᾶς ἐν χιτῶνι διφθέρας,
Καὶ γὰρ ἀπειλεῖ[3] προσβαλεῖν μοι τὸ ψύχος,
Ἐπὶ σὲ τὸν κάλλιστον ἀθρῶ τῶν Φίλων·
Εἰ μὴ γὰρ, αὐτὸς οὐχ ὁρῶ σοῦ διφθέρα.
Κἂν οὐ παρασχεῖν πᾶσαν ἡμῖν ἰσχύσῃς,
Μέρισον εἰς τμήματα τὴν χάριν δύο·
Τοὺς γὰρ ἀγωγοὺς τῶν Φιλανθρωπευμάτων[4]
Εἰς μυρίους ἄντικρυς ἐκχέεις Φίλους.

LXIII. Ἐπιτάφιοι[5] τῷ δεσπότῃ κυρῷ Μανουήλ[6].

Πρὶν ἂν διδαχθεὶς τοὺς ἐμοὺς κλαύσῃς πόνους
Ὃς εἶ τέως, ἄνθρωπε, μὴ παραδράμῃς·
Ἐκ Κιλίκων γὰρ ἦλθον εἰς γῆν Αὐσόνων,
Ἀμφοῖν βασιλὶς τοῖν γενοῖν τρισολβία,

[1] Leg. στέγω.
[2] Cf. infra LXVII.
[3] Cod. Par. 1, 22 : Ὅταν ἀπειλῇ κλαυθμυρίζειν τὸ ψύχος.
[4] Cf. infra LXVI, 16.
[5] Cod. M. fol. 72.
[6] Adde, ut supra XLVII, ὡς ἀπὸ τῆς δεσποίνης.

Ακαδημία Αθηνών / Academy of Athens

Πρώτῳ δὲ κοσμήσασα τὸν Θρόνου τόκῳ,
Καὶ δεσπότην δείξασα λαμπρὸν τῷ χρόνῳ,
Τὰς δυσλυχεῖς ἤνεγκα πᾶπαὶ Φιλτάτας·
Τῇ μὲν γὰρ αὐτῶν ζῆν τὸ Θανεῖν εὑρέθη,
Τῇ δ' αὖ τὸ βιοῦν ἐκβιοῦν τοὐναντίον.
Αἰ αἰ κτίσις, Θρήνησον οἰκτρῶς τὴν τύχην,
* Ἢ δακρύων πρόφασιν εἰργάσατό με!
Ὁ μὲν γὰρ ἀνὴρ, ὢ παλαμναίου πάθους!
Ὁ τοῦ κράτους ἥλιος[1], αἰ γῆ καὶ χρόνε,
Τὸν τοῦ τέλους ἄφυκτον ὑπέδυ γνόφον,
Κἂν ἡδὺς ἐξέκυψεν ὡς ὄρθρος πάλιν
Ὁ νῦν μετ' αὐτὸν ἀρχικῶς ἐπιπρέπων·
— Ὁ δεσπότης δὲ (ναὶ ῥάγηθι καρδία·
Τῷ γὰρ κατ' αὐτοῦ μᾶλλον ἐπλήγης βέλει),
Μήπω γενειῶν, ἀλλ' ἐπὶ[2] χνόης βρύων,
Ὥσπερ τις ἀσὶὴρ ἡμεραυγὴς[3] ἐκρύβη·
Ἐγὼ μὲν οὖν τὸ σῆμα φηγνύω τόδε,
Καὶ τοὺς τύπους ἵσ]ημι τοὺς προτυμβίους,
Καὶ ζῶν τις εἰμὶ συμφορῶν ἄλλος τάφος.
Σὺ δ', ὦ κόρη πάναγνε, πισ]οῖς ἐγγύη,
Τῷ κειμένῳ βράβευε τὴν σωτηρίαν·
Ἐκ σοῦ γὰρ ἡμῖν ὁ κριτὴς ὤφθη βρέφος.
Ξένη βασιλὶς ἡ ῥακενδύτις[4] τάδε.

LXIV.

Ἄλλην[5] διεκδὺς μήτραν ὁ σκύμνος, ξένε,

[1] Cf. supra 1, 541, et infra LXXXV, 18 et C, 25.

[2] Pro ἐπί leg. ἔτι.

[3] Infra CII, 3 : Ὦ τῆς ἐμῆς φῶς ἡμεραυγὲς καρδίας.

[4] De forma feminin. silent lexica. Vid. *Thesaur.* s. v. Ῥακένδυτος.

[5] Novum carmen quod cum præcedenti male jungunt Bandini et auctor Catal. Monac.

Ακαδημία Αθηνών / Academy of Athens

Ἄλλην ὑπῆλθεν, ἀλλ' ἐκεῖ μὲν ἐσφρίγα·
Νυνὶ δὲ σιγῶν οὐδ' ἀναπνεῖν ἰσχύει·
Καὶ γὰρ ἐκεῖ μὲν ὡς ἀπαλὸς τὴν Φύσιν,
Τὸν τῆς ματαιότητος ἐζήτει βίον,
Ἐνταῦθα δ' ὑπνῶν καὶ σχολὴν ἄγων φέρει[1]·
Τὸ φῶς γὰρ ἀεὶ προσδοκᾷ τῶν ἀγγέλων,
* Ἐκ τοῦ καταψύχοντος ἐν βάθει σκότους·
Τεχθήσεται γοῦν ἐκ σπορᾶς αὖθις νέας,
Ὅταν τὸ τῆς σάλπιγγος ἠχήσῃ σλόμα[2],
Καθάπερ ὠδὶς ἐν γονῇ πολυσλόνῳ,
Βλέψει δὲ Φῶς ἄσβεσλον ὡς δὶς ὢν τόκος.

LXV. Τῷ[3] Δομεσλίκῳ τῆς ἑώας[4].

Εἴ τις παριὼν εὗρεν εἰς ἐρημίαν
Ἢ ῥοιὰν, ἢ σίκυον, ἢ μήλου δρόσον,
Ὅταν τὸ θερμὸν ἐκπιέζῃ τὰς Φύσεις
Τοῖς τοῦ θέρους ἄνθραξι πυρπολουμένοις[5],
Οὐκ εὐθὺς ἂν ὕμνησεν ἡσθεὶς τὴν τύχην;
Πῶς οὖν σὲ Φιλῆς τὸν Δομέσλικον βλέπων
Ἐν τῷ καθ' ἡμᾶς δυσμενεῖ τῷδε χρόνῳ
Μενεῖ σιωπῶν ὁρμαθὸν[6] χαρισμάτων;
Ὁ μὲν γὰρ αὐχμὸς τῶν Φιλοσλόργων Φίλων,
Ὡσεὶ χλόην κλίβανος, ἐξέτηξέ με·
Τῆς σῆς δὲ χειρὸς ἡ μετὰ ῥύμης δρόσος[7]
Ὡς ὄμβρος ἡδὺς εὐφυῶς ἀναψύχει.

[1] Fort. *φθίνει*, nisi malis *ὕπνον καὶ σχολὴν ἄδην φέρει*.
[2] Idem versus in cod. P. IX, 95.
[3] Cod. M. fol. 20.
[4] Fort. Ἀτζύμης. Vid. sup. XLVIII, 17.
[5] Fort. *πυρπολουμένας*.
[6] Cod. Par. XIV, 75 : *Πολλῶν ἀγαθῶν ὁρμαθοὺς ἐπιβρέχει*. Manuel Holob. ap. Boisson. *Anecd. gr.* t. V, p. 163 : *Τόσων χαρίτων ὁρμαθός*. Ibiq. cl. edit. nota.
[7] Cf. cod. Esc. CLXXXI, 4.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ μὴν ϖόσας, κάλλισ|ε, λιπαίνεις βάτους,
Ὡς ἂν ἀπ' αὐτῶν καὶ χλιδῶν ἴδῃς ῥόδον;
Ἢν γὰρ ἔχεις ἄνωθεν οὐ κρύπ|εις χύσιν,
Οὐδ' ὥσπερ οἱ νοσοῦντες ἐξ ἀπλησ|ίας [1]
Παρακρατεῖς τὰ ῥεῖθρα [2] τῆς εὐσπλαγχνίας,
Ὡς ἂν ϖίνοις ἥδισ|α καὶ ϖάλιν ϖίνοις,
Καὶ τὰς χρυσᾶς ϖίδακας ἀντλήσῃς μόνος·
Ἀλλ' ὡς ἀγωγὸς Θριγγίων ἐλεύθερος,
Ἀνῆκας ἡμῖν ἐμφορεῖσθαι τοῖς φίλοις,
Κἄν τις ὑλακτῇ, κἂν ϖροσεμφύναι ϖάλιν
Ἢ κρύφα δακεῖν τὴν χρυσῆν ϖ|έρναν [3] θέλῃ,
Λάψει τάχα κἀκεῖνος, ὢ γνώμης ξένης!
Οὐδεὶς γὰρ οὐδεὶς εἰς τὸ ῥεῦμά σου φθόνος·
Οὕτω σὺ καὶ τὸ σχῆμα τῆς ἡλικίας
Καὶ τὴν ἀγαθὴν οὐ καπηλεύεις τύχην·
Οἷς γὰρ ἀκόσμως [4] ἄλλος ἂν ἐχρήσατο,
Τούτοις σὺ τὴν εὔκοσμον ἐμφαίνεις φύσιν,
Καὶ τὸ χρυσοῦν τάλαντον αὐξάνεις χύδην,
Καὶ τὰς ἀμοιβὰς ϖροσδοκᾷς τὰς ἀφθόνους,
Ὅταν ἐπισ|ὰς τῶν χρεῶν ὁ δεσπότης
Τὴν τῶν τόκων εἴσπραξιν ἀῤῥήτως γράφῃ.
Νεῖλον μὲν οὖν μετροῦσιν οἱ ϖήχεις [5] ἅπαξ,
Ὅταν ὁ καιρὸς ἐκραγεὶς ὑπερβλύσῃ [6]·
Τὰς σὰς δ' ἐφ' ἡμᾶς ἀργυρᾶς ἐπομβρίας [7]
Καὶ τὰς καθαρὰς ἂς δίδως ἀναχύσεις

[1] Cf. infra CCLI, 5.

[2] Cod. Esc. CCLXXXIV, 5 : Ῥεῖθρα μακροθυμίας.

[3] Cod. ϖλέραν.

[4] Zenon, cod. P. 2619, fol. 194 v° : Ἀκόσμως ϖεριπατεῖ.

[5] Cf. Georg. Cedren. t. I, p. 478, et Wernsd. ad Himer. XV, 1.

[6] Infra CXXXIV, 13.

[7] Infra CLVII, 19 : Τὰ ῥεῖθρα κινεῖ τῆς χρυσῆς ἐπομβρίας. Codex Paris. CCXXVIII, 6.

Ακαδημία Αθηνών / Academy of Athens

Οὐκ ἔσλι μετρεῖν ὑπὸ δακτύλων θέσει·
Ὃ μὲν γὰρ οὐκ ἔπραξεν ἡ χεὶρ, πολλάκις
Ἡ τῶν λόγων δύναμις εἰργάσατό σοι·
Ὃ δ' εὗρεν ἡ χεὶρ, οἱ λόγοι παρέδραμον·
Καὶ μὴν ὃ μὴ δρᾷς ἡσχολημένος τέως
Ὁ σύγγονος καὶ τοῦτο λαμπρῶς εἰσφέρει·
* Τίνας λόγων χάριτας[1] οὐ παρεγχέων[2]
Ὁ σύντονος νοῦς, ἡ σλιβαρὰ πυκνότης
Τὸ τῶν ἐν ἡμῖν ἀντιφάρμακον πόνων;
Ὦ τίς ἐρεῖ τὸ κάλλος, ἢ τίς τὸν λόγον
Καὶ τὴν ἐπιπρέπουσαν εὐαρμοσλίαν,
Κάλλισλε Νιρεῦ, Νέσλορ ἠθῶν, ἀγχίνου,
Κἂν τὸ ξίφος πρόκωπον[3] ἡ χεὶρ λαμβάνῃ,
Μόνος πρὸς ἐχθροὺς ἀντιτάλῃ δυσμάχους[4];
Τὴν βάρβαρον δὲ καὶ παλαμναίαν τύχην,
Ἣ τοῦ φθόνου τὸ κέντρον[5] ὑπέθηξέ μοι,
Ῥιπλεῖς ἀτεχνῶς ἀργυρᾶ τείνων βέλη·
Καλεῖ σε λοιπὸν τὸν χρυσοῦν εὐεργέτην
Ὁ Μυρέων πρόεδρος ὁ πλωχοτρόφος,
Ὦ τὴν ἑορτὴν συγκροτῶν τὴν ἐξ ἔθους
Πανηγυρίζω καὶ μάλα Φαιδρύνομαι[6]·
Πλὴν οὔτε πυροὺς ἐκ πυρᾶς ἐῤῥηγμένους,
Οὔτ' ἀμπέλου γέννημα παρὼν ἂν λάβοις,

[1] Cf. cod. Par. x, 44.

[2] Cod. Escur. cxix, 2 : Μικροῦ παρεγχεῖ καὶ πνοὴν ὁ ζωγράφος. Cod. Vat. xxxi, 1 : Δεῖ δὴ παρεγχεῖν εἰς τὰ κοῖλα τῶν τύπων Ὁλκὴν πνοῆς.

[3] Cod. πρώκοπον. Conf. cod. Par. ix, 37.

[4] Cod. Par. ix, 57 : Ἀλλὰ κατ' ἐχθρῶν ἐσλραλήγει δυσμάχων.

[5] Theod. Prodr. *Not. des mss.* t. VIII, p. 197 : Ὡς ἂν τὰ μισάνθρωπα κέντρα τοῦ φθόνου Ἑλὼν ἀράξω χερσὶν ἁδραῖς ἀσχέτοις. Const. Man. 295 : Κέντρον πότμου. Cod. Par. 854, fol. 229 v°. Theod. Hyrtac. *Ep.* 3 : Ὥσπερ φιλίας κέντρῳ νυλόμενοι. De κέντρον metaph. vide Boisson. ad Choric. p. 6.

[6] Post v. 58 fort. desunt quædam.

Ακαδημία Αθηνών / Academy of Athens

Οὐ ψυχρὸν, οὐκ ἄλυπον, οὐδ' ἔτι ζέον,
Ἀλλ' οὐδ' ὀπώραν, οὐδ' ὅσα τραγήματα·
Προσδεῖ γὰρ ἡμῖν εἰς τὸ ϖῦρ τῆς ἑσπέρας
Κηρῶν Φορυτοῦ[1] καὶ χλιδῆς μυριπνόου[2],
Προσδεῖ δ' ἐπ' αὐτοῖς καὶ τραπέζης ἀφθόνου,
Καὶ τῆς ϖεριτλῆς τῶν μελῶν μουσουργίας,
Ἧ καὶ τὰ Φαῦλα συντρέχει μειράκια
* Στρουθαρίων τρύζοντα δυσρίγων τρόπον.
Ἔτι γε μὴν δέδοικα τοὺς Θυηπόλους
Βακτηρίας Φέροντας ἐν τοῖς ἀμΦίοις,
Μήϖως ἐπ' αὐτῆς τῆς ἀμοιϐῆς τοῦ χρόνου
Πλήξωσι μασλίξαντες ἡμᾶς ἀθρόοι·
Καὶ γὰρ ὁ μισθὸς οὐδὲ μετρίως ἔχοι,
Κἂν εἰς ἕνα σλατῆρα χαλκοῦν ἡ σλάσις
Οὐκ ἔσλιν εὑρεῖν, οὐ μὰ τὸν Θλίϐοντά με,
Καύχημα καὶ ϖρόμαχε καὶ Θησαυρέ μου·
Οὕτω καθ' ἡμῶν ἔσχε ϖικρῶς ἡ τύχη,
Τὴν σὴν ἐΦ' ἡμᾶς ἀγνοήσασα σχέσιν.
Οὐκοῦν μεθ' ἡμῶν ὁ γλυκὺς ἥρως γίνου,
Καὶ χρῶ κατ' αὐτῆς τῇ χρυσῇ ϖανοπλίᾳ,
Καὶ[3] συμπανηγύριζε τῷ ϖνέοντί σε,
Κάλλισλε Φίλων τῆς ἔω Δομέσλικε.

LXVI. Εἰς εἰκόνα τῆς Θεομήτορος, ὡς ἀπὸ σλόματος Νικηφόρου τοῦ Ἀποκαύκου[4].

Ἡ τῶν Χερουϐὶμ ὑπερανῳκισμένη[5]

[1] Cod. *Φορητοῦ*.

[2] Sic semper apud nostrum pro *μυρόπνους*. Cod. Esc. CVI, 36 : Μυρ. *χρίσιν*. Ib. CCLXX, 3 : Μυρ. *χρίσιν*. Cf. *Spicil. Roman.* II, p. 2.

[3] Idem versus infra LXXXII, 27.

[4] Cf. Cantacuz. t. III, p. 364, et Lebeau, *Hist. du Bas Empire*, t. XI, p. 227.

[5] Anon. cod. Par. CCCLXII, fol. 14 r° :

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῶν Σεραφὶμ τοῦ θεοῦ τῶν πυρφόρων,
Ἡ τῆς ἀρᾶς λύσασα τὴν ἀκοσμίαν,
Καὶ τῷ γένει βλύσασα τὴν ἀφθαρσίαν,
Ὁ παρθενικὸς τοῦ βασιλέως θρόνος,
Ὁ μυστικὸς θάλαμος, ἡ θεία κλίνη,
Ἣν ἀγγέλων φρίττοντα κυκλοῦσι σίφη·
Τῆς φύσεως ὁ κόσμος, ἡ κοινὴ χάρις,
Ἡ παντοδαπὴ τῶν τερασσίων χύσις[1],
* Ἡ σωστικὴ δύναμις, ἡ καινὴ κτίσις,
Ἡ τοῦ γένους πόρρωθεν ἐξειλεγμένη,
Ὁ τῆς καθαρότητος ὡραῖος τόπος,
Τὸ τοῦ καθ' ἡμᾶς ἀντιφάρμακον πάθους,
Τὸ λαμπρὸν ἀπάνθισμα, τὸ βρύον τέρας,
Ἡ τῆς λογικῆς φλεγμονῆς ὑπερτέρα,
Ἡ ζῶσα πηγὴ τῶν φιλανθρωπευμάτων[2],
Δι' ἧς μεθ' ἡμῶν τῆς πνοῆς ὁ δεσπότης,
Ἔδει μὲν ἦν σέσωκας ἀνθρώπων φύσιν
Τῇ σῇ φύσει πρέποντας ἀθροίζειν φόρους·
Ἐπεὶ δὲ νικᾷς πανταχοῦ κατακράτος,
Τὰ γοῦν κατὰ δύναμιν εὐσπλάγχνως[3] δέχου,
Καὶ τοῦτον οἰκεῖν ἀξιοῦσα τὸν δόμον
Ἀφ' ἑσπέρας ὃ φασιν ἡμᾶς εὐλόγει.
Νικηφόρος σὸς Ἀπόκαυκος ἱκέτης
Μετὰ φόβου προσεῖπε, σεμνή, σοὶ τάδε.

Σὺ μόνος ὁ αὐτὸς ὢν ἀναλλοίωτος ἁπλοῦς ὑπεραναφαινόμενος ἁπάσης μεταβολῆς ὡσαύτως ἔχων καὶ μένων ἀεί.

[1] Infra LXXII, 5 : Τερασσίων δίδωσιν ἐντεῦθεν χύσιν. Cod. Escur. CLXI, 7 : Ζωὴ γὰρ εἶ σὺ καὶ τερασσίων χύσις· et CLXII, 7 : Καὶ τὴν χύσιν πήγαζε τῶν τερασσίων. De eadem metaphora vide supra p. 192, not. 4.

[2] Supra LXII, 7 : Τοὺς γὰρ ἀγωγοὺς τῶν φιλανθρωπευμάτων. Infra CX, 41 : Καὶ πᾶς ὁ χρόνος ὀψεται τὸ φιλανθρώπευμά σου.

[3] Cod. Coisl. 94, fol. 223 v°.

Ακαδημία Αθηνών / Academy of Athens

LXVII. Τῷ σεβασlῷ Παμφίλῳ [1].

Ὁσάκις ἁπλῶς ἑσlιᾶν δεῖ τὴν Φύσιν [2],
Τοσαυτάκις ἥδυσμα τοὺς ἅλας κρίνω·
Τῇ γὰρ Φύσει χρήσιμον εἰσφέρουσί τι,
Καὶ ταῖς μὲν ὑγρότησι τῶν ἐδεσμάτων
Τῆς οὐσίας ἴσχουσι τὸ σlύφον πλέον.
Ὅπου δ' ἀτερπὴς ἡ κατ' αὐτὰ ποιότης,
Καὶ γλυκύτης τὴν γεῦσιν εὐθὺς ἀλγύνει,
* Τῷ νοσlίμῳ κράματι Φαιδρύνουσί με·
Τὴν γὰρ τέως αἴσθησιν ἡ γλῶττα κρίνει,
Πρὸς τὰς βάσεις ῥέπουσα τῶν παρισθμίων·
Ὀρεκτικοὺς δὲ πάντας ἀνοίγει πόρους
Ληφθεὶς ὁ χιλὸς τῶν ἁλῶν τῇ συνθέσει·
Καὶ τῷ βάρει κάτεισιν εἰς τὴν γασlέρα,
Τοῦ νοσlίμου τρέχοντος εἰς πᾶσαν Φλέβα.
Ἐντείνεται δὲ πρὸς τὸ λυποῦν ἡ Φύσις,
Ὅταν ἁλισθῇ τῇ τροΦῇ τὸ σαρκίον.
Σὺ γοῦν ἀβαρῶς τοὺς βαρεῖς ἅλας πρόες·
ΚουΦίζομαι γὰρ τῆς ἐπ' αὐτοῖς Φροντίδος,
Ἂν μὴ πνιγηρὰν ἀπομετρῇς τὴν χάριν,
Μουσῶν ἐρασlὰ καὶ σεβασlὲ καὶ Φίλε.

LXVIII. Ὡραῖοι εἰς ναὸν τῆς Θεομήτορος.

Ναὸς Θεοῦ ζῶν ὀργανωθεὶς ἐκ βρέΦους,
(Καὶ γὰρ τὸ λουτρὸν τῆς ψυχῆς ἐδεξάμην,
Καὶ τῆς ἁρᾶς τὸν ῥύπον ἀπενιψάμην,
Ὡς ἂν ὁ νυμΦὼν μὴ Φθαρῇ τῆς καρδίας,)
Ἁμαρτίας οἴκημα σαπρὸν εὑρέθην,

[1] Bandin. σεμνῷ pro σεβασlῷ. Cf. supra LXI, 15.

[2] Cod. δὴ τῇ Φύσει et supra secunda manu τὴν Φύσιν. Cf. infra LXXX, 28.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ καταγωγὴ λησϑρικῆς ὁμαιχμίας[1].
Οὐκοῦν δέχου, ϖάναγνε, τὸν ϑεῖον δόμον,
Ὃν ἐκ ϖόθου ζέοντος ὠργάνωσά σοι·
Καὶ τῆς ἀμοιβῆς ἀντιμέτρει τὴν χάριν,
Οἶκον ϑεοῦ δεικνῦσα τὸν δοῦλον ϖάλιν,
Ὡς ἂν ὁ δεινὸς τῶν ϖαθῶν ὄχλος[2] φύγῃ,
* Καὶ μηδὲν ᾖ δύσοδμον ἐνταῦθα σκάτος[3].
Ἵνα δὲ τὴν σὴν αὖθις αὐξήσῃς χάριν,
Γίνου μεθ' ἡμῶν συμπαθῶς τῶν ἀϑλίων,
Καὶ τῶν ϖαρ' ἡμῖν ἀκροῶ ϖροσφθεγμάτων[4],
Λύουσα τὰ σκάνδαλα τῆς ϖαροικίας
Τῇ σῇ ϖοθεινῇ, μητροπάρθενε, σκέπῃ·
Καὶ γὰρ φθάνεις ἄνωθεν εἰ ϑέλεις κάτω,
Καὶ ϖάλιν ἐκ γῆς μυσϛικῶς ἀνατρέχεις·
Μᾶλλον δὲ σεμνὴ ϖανταχοῦ ζῶσα τρέχεις
Ταῖς ἀχρόνοις ϖλέρυξι τῆς εὐσπλαγχνίας·
Ὅταν δὲ λυθῇ τῆς ψυχῆς τὸ σαρκίον,
Ἄλλον ϖάλιν ϑάλαμον εὐτρέπιζέ μοι,
Τὰς ἐμπαθεῖς κηλῖδας ἐκφορήσασα,
Καὶ λυχνίαν ϖροθεῖσα καὶ Φαιδρὰν κλίνην,
Καὶ μυσϛικὴν τράπεζαν εἰς τόπον χλόης[5].

LXIX.

Οὐρανὸν[6] ἡμίτμητον[7] ἐνθάδε βλέπων,

[1] Infra CXVII, 7 : Μυσϛικῆς ὁμαιχμίας. Cf. cod. Par. CXXII, 2.

[2] S. Nili *Epist.* I, p. 3 : Ὁ τὸ ϖρὶν καταπονηθεὶς καὶ τεταριχευμένος τῇ ἐνοχλήσει τῆς ϖολυπαθείας.

[3] Cod. σκότος.

[4] Infra CXXX, 71.

[5] Psalm. XXII, 2.

[6] Tria sequuntur tetrasticha quæ male confundit Bandini cum præcedenti.

[7] Cod. Esc. LXXXV, 4 : Μὴ σφαῖραν ἡμίτμητον οὐρανοῦ βλέπω. Georg. Pisid. *Hexaem.* 98 : Ἣ σφαῖραν ἡμίτμητον ἀψίδος δίκην.

Ακαδημία Αθηνών / Academy of Athens

Σύνες, θεατά, μή τι συγχέας λάθῃς·
Χρισλὸς γὰρ αὐτὸς ὑπὸ μητρὶ καὶ Φίλῳ
Μυσληρίων θάλαμον[1] αὐτὸν δεικνύει.
Θεὸν βλέπων ἔνσαρκον ἀνθρώπων μέσον
Ἐσλῶτας ἐκτὸς εὐλαβοῦ τοὺς ἀγγέλους,
Μήπως ἐπαρθεὶς ὑπὸ τῆς μετουσίας
Καὶ κατενεχθῇς ὄσλις ἂν ἦς ἐνθάδε.
* Ὑπὲρ Χερουβὶμ τὴν Μαριὰμ ἐνθάδε,
Ἀντὶ Σεραφὶμ τὸν Ζαχαρίου βλέπω·
Θεὸς γὰρ ἀμφοῖν ἵδρυται τούτοιν μέσον,
Θεὸν καθισλῶν μυσλικῶς τὸ σαρκίον.

LXX. Εἰς πανηγύριον[2].

Γῆ πανθενικὴ ζωτικὸν φύει σλάχυν,
Ὃν εἰς χρυσῆν τράπεζαν ὡς ἄρτον φέρω,
Λιμοῦ δεδοικὼς εἰσβολὴν ψυχοφθόρου[3].

LXXI. Ἀπὸ σλόματος τοῦ Συργιάννη[4].

Ἔοικεν ὑμᾶς εὐλογῶν ὁ δεσπότης
Ἐμοὶ κατ' ἐχθρῶν συμμαχεῖν ἐπιτρέπειν,
Ἄβιβε[5], Σαμωνᾶ τε καὶ σὺ Γουρία·
Ὑμᾶς γὰρ αὐχῶν οὐδαμοῦ φρίτλω ξίφος,
Κἂν ἀπολιφθῶ συμπλακεὶς τοῖς ἐκφύλοις
Ὑμεῖς ἀρωγοὶ πανταχοῦ πρωτοσλάται,
Κἂν δεινοπαθοῦν οὐδὲ τὸ κτῆνος τρέχῃ,

[1] Cf. infra CXII, 2.

[2] Cf. supra LII.

[3] Cod. Esc. LXXXIX, 4 : Λιμὸν φύγῃς, ἄνθρωπε, τὸν ψυχοφθόρον. Meliten. 1990 : Τὸν βροτοκτόνον δράκοντα, Σατὰν τὸν ψυχοφθόρον.

[4] De Syrgianne pincerna conf. Lebeau, *Histoire du Bas Empire*, t. XI, p. 151, ed. 1820.

[5] De SS. Abibo, Samona et Guria conf. Fabric. *Bibl. gr.* t. X, p. 233, ed. Harl.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τοῦτο σαφῶς ὀτρυνεῖται ϑεῖν πάλιν.
Ὁ Συργιάννης ταῦτα πιγκέρνης[1] λέγει.

LXXII. Εἰς μυραλίην[2], ἔνθα ὁ προφήτης Δανιὴλ καὶ ὁ μέγας Δημήτριος.

Εἰς τὴν κιβωτὸν εὐτυχῶν[3] σε τῶν μύρων,
Μάκαρ Δανιὴλ, ἀσφαλῆ δρῶν τὸν βίον·
Δημήτριος γὰρ μὴ φθονῶν πάρεσλί σοι,
Καὶ τὴν φίλην σύναρσιν ἡμῖν εἰσφέρων,
* 5 Τερασλίων δίδωσιν ἐντεῦθεν χύσιν[4].
Ἀλλὰ πάλιν κοίμιζε τὰς περισλάσεις,
Ὡς λάκκον οἰκῶν τὴν προκόλπιον ϑίβην,
Ὁ ϑηρίων ἄμαχον ἰσχὺν ἀμβλύνας.

LXXIII. Ἀπὸ τοῦ αὐτοῦ[5].

Ὁ σλαυρὸς οὗτός ἐσλιν, ᾧ ζῶ καὶ πνέω,
Καὶ τὴν κατ' ἐχθρῶν τακτικὴν ἕξιν φέρω,
Καὶ πρὸς τὸν ἕξῆς πάντα κομπάσω χρόνον.
Ὑπόπλερος γὰρ τόνδε τηρεῖ μοι φύλαξ
5 Ἰσλὰς πέριξ φάλαγγα μικροῦ μαρτύρων,
Ἐν ᾧπερ ἐσλὶ καὶ τὸ πάντιμον ξύλον·
Ὅς τις δὲ ταξίαρχος[6] ὁ Ζαχαρίου
Τὸν βροντοφυῆ[7] δεῦρο συντάξας πάλιν,

[1] De voce πιγκέρνης quæ dignitatem Palatinam designabat cf. infra p. 262, notam Bandini et Ducang. *Gloss. med. græc.* s. h. v.

[2] Hac voce augenda glossar. med. gr. «Recte autem capsula, in qua magni Demetrii λείψανα, seu *Reliquiæ* servabantur, μυραλίη dicitur, ἀπὸ τοῦ μύρου, h. e. *unguento quodam odorifero*, quod ex iis profluere dicebatur; unde tam ipse, quam alii sancti, e quorum cadaveribus liquor hujusmodi promanabat, μυροβλύται sunt dicti.» Band.

[3] Fort. εὐτυχῶ.

[4] Cf. supra LXVI, 9.

[5] Refertur ad LXXI. Vid. infra v. 12.

[6] Michael Syncell. cod. Coisl. 146, fol. 225 r°: Χαίροις Μιχαὴλ ἀρχισλράτηγε τῆς ἄνω ταξιαρχίας.

[7] Cf. cod. Par. LXXIII, 4.

Ακαδημία Αθηνών / Academy of Athens

Τοῖς τοῦ λόγου κήρυξι καὶ ϖρωτοθρόνοις[1]
Κωνσλαντίνου δίδωσιν ἡμῖν τὴν χάριν·
Ἡτλᾶσθε λοιπὸν δυσμενεῖς γνόντες τάδε.
Ὁ Συργιάννης ταῦτα ϖιγκέρνης λέγει.

LXXIV. Παχωμίῳ[2] τῷ ϖρωτοσυγκέλλῳ[3].

Τὸ τοῦ βίου ϖέλαγος[4] ἐκπλεύσας ϖρᾴως
Πρὸς τὸν γαληνὸν τόνδε κατήχθης τόπον·
Ἐσκόρπισας γὰρ τὴν ϖεριτλὴν Φορτίδα[5]
Πρὸς τοὺς φίλους ϖένητας ἐκ βρέφους, ϖάτερ·
Ἐκούφισας δὲ τὴν ψυχικὴν ὁλκάδα[6],
Πλησισλίου ϖνεύματος εὐρὼν αἰθρίαν·
Ἐξήγαγες δὲ ϖρὸς τὸν ἰθύναντά σε
* Τῆς ἀρετῆς τὸν ὄλβον ἐμπόρου τρόπον,
Ὃς ἀναλαμβάνων σε φειδοῖ τῶν ϖόνων,
Ἐνταῦθα δὴ ϖαρῆκε καθεύδειν μόνον,
Ἕως ἂν αὐτὸς ὡς κριτὴς ἀφυπνίσῃ,
Τῆς δεσποτικῆς ἀξιῶν σέ ϖασλάδος[7]·
Ἀλλ' οὐρανὸς μὲν τοὺς ἀποκρύφους ϖόνους,
Ἡ γῆ δέ σοι τοὺς δεῦρο καὶ δήλους φέρει.
Πόσην γὰρ ἐξέβλυσας ἱδρώτων χύσιν,
Τῷ δημιουργῷ τάσδε ϖηγνὺς τὰς κτίσεις
Εὐθὺς ἀπ' ἀρχῆς εὐσεβοῦς μνήμης χάριν;

[1] Infra CLXXXIV, 1.
[2] Cod. M. fol. 72. Cf. infra XCVII, 1.
[3] De hac appellatione vide Bandin.
[4] Conf. cod. Par. CLVI, 1.
[5] Cod. *Φροντίδα* et supra *Φορτίδα*.
[6] Infra CXXIII, 3 : *Ἐκούφισας γὰρ τῆς ψυχῆς τὴν ὁλκάδα.* Id. CV, 18 : *Σοφῶς κυβερνῶν τῶν Φρενῶν τὴν ὁλκάδα.* Cod. Esc. CLXXXII, 4 : *Σοφῶς κυβερνῶν τῆς ψυχῆς μου τὸ σκάφος.* Cod. P. LXI, 27 : *Ἐγὼ δὲ τηρῶ τῆς ψυχῆς μου τὸ σκάφος.* Id. CCVII, 87 : *Μήπως βυθισθῇ τῆς ψυχῆς μου τὸ σκάφος.* Doxopater de S. Athan. *Opp.* t. I, p. CLXIV : *Φύλαξ γίνου μοι τῆς ψυχικῆς ὁλκάδος.*
[7] Cod. *ϖλασλάδος.*

Ακαδημία Αθηνών / Academy of Athens

Ἀλλ', ὦ ϖάτερ, ζῇς, οὐκ ἀποκρίνῃ δ' ὅμως·
Οὐ γὰρ ἐπαινεῖς τοὺς ϖαρ' ἀνθρώπων κρότους·
Ἐγὼ δέ σου τέθηπα καὶ τὰ ϖρακτέα
Καὶ τὴν τελευτὴν καὶ τὰ τῶν ϖόνων γέρα,
Πρωτοσύγκελλε[1] τὴν τιμὴν τέως μέγα,
Γέρον μαχητὰ κατὰ ϖαθῶν ἐκτόπων,
Καὶ νοῦ καθαρὲ, Δωριεῦ Παχώμιε.

LXXV. Ἀγγέλῳ Δούκᾳ[2] τῷ Σαραντηνῷ.

Ἀνδρὸς, Θεατὰ, νουνεχοῦς ἔργα σκόπει,
Καὶ τὴν Φύσιν Θαύμαζε συνεὶς τὴν κρίσιν·
Ὁ γὰρ ϖρὸς ἐχθροὺς εὐσθενὴς ϖολυσπόρους[3]
Κομνηνοφυὴς Ἀγγελώνυμος Δούκας
Σαραντηνὸς, τὸ Θαῦμα τῆς ϖανοπλίας,
Οὗ δὴ βλέπειν ἔξεσλι καὶ τὰς ἐμφάσεις,
* Γυμνασλικοῖς τὸ σῶμα κοσμήσας ϖόνοις,
Ἥρως μὲν ἐκ μείρακος ἀνὴρ εὑρέθη,
Κἀὶ τοῦτο σαφῶς μαρτυρεῖ τὰ ϖρακτέα·
Κήδους δὲ τυχὼν ὁ χρυσοῦς τρισολβίου,
Καὶ τέτλαρας δὶς ἐξενεγκὼν Φιλτάτους,
Καὶ γὰρ ὁ δενδρὼν[4] εὐθαλὴς ἦν τῆς τύχης,
Ἐπεὶ κατ' αὐτῶν τῆς γονῆς τῶν ὀμφάκων
Ἡ τῆς τελευτῆς δυσμενὴς ἦλθε τρύγη[5]·
Τοῦθ' ὃ βλέπεις Φρόντισμα λαμπρῶς ἱδρύει,
Χύδην ὃν ἐκτήσατο ϖαρέχων βίον,
Καὶ καταγωγὴν τῶν μοναχῶν δεικνύει,

[1] Codex ϖρωτοσύγγελλε et supra ϖρωτοσύγκελλος.

[2] Cf. Bandini notam.

[3] Supra 1, 777 : Ἐθνῶν ϖολυσπόρων. Anon. cod. Par. 2506, fol. 4 v°.

[4] Cod. Par. CVII, 9 : Δενδρὼν τῶν λόγων.

[5] Cod. Par. X, 33 : Τοῦ χρόνου τὴν τρύγην. Anon. ap. Cramer, *Anecd. Par.* t. IV, p. 271 : Πρὸ καιροῦ τῆς τρύγης.

Ακαδημία Αθηνών / Academy of Athens

Συνήγορον σχὼν τὴν καλὴν ὁμευνέτιν [1],
Ἣν καὶ κατ' αὐτὸν ὁ δρομεὺς ἔχει χρόνος.
Θεὸς γὰρ εἰδὼς ἀκριβῶς τὸ συμφέρον
Ἄπαιδα καθίσησιν ἀμφοῖν τὸν βίον,
Ὡς ἂν ὁ καρπὸς τῆς ψυχῆς ὑπεκδράμῃ,
Καὶ τῷ μόνῳ βλέποντι κρυπτὰ σερκάσῃ·
Προΐσηται δὲ τῆς μονῆς καὶ τῶν μόνων
Ὁ τῶν σροφητῶν μαρτυρηθεὶς βελτίων,
Τὸ σρόδρομον φῶς τῆς νοητῆς ἡμέρας·
Πάρεσι γὰρ ἥδιστος ἐξ ἐρημίας,
Καὶ νυμφαγωγεῖ τὰς ψυχὰς τῷ δεσπότῃ·
Πλὴν εἰ θέλεις ἄμεμπτον ἀθρῆσαι τρόπον,
Τὸν ἄνδρα σαφῶς ἀπὸ τῶν ἔργων μάθε.
Οὐ γὰρ ἀπεσκίρτησε νουθετούμενος,
* Ὅπερ τις ἂν σέπονθε τῶν οὐ σωφρόνων,
Ἀλλ' εὐψύχως ἤνεγκε τὴν ἀμετρίαν
Ὁ καλλίπαις χθὲς, νῦν δὲ σατὴρ οὐκέτι,
Ζηλῶν τὸν Ἰὼβ σρακτικῶς τὸν Αὐσίτην·
Ἵνα δὲ κερδάνῃ τι καὶ μεῖζον τάχα,
Αὐτὸς φέρων δίδωσιν αὐτοῦ τὸν βίον,
Μὴ φθὰς τὸ καλὸν ὁ φθορεὺς ἁφαρπάσῃ,
Πέτραν δὲ καλεῖ τόνδε τιμῶν τὸν τρόπον [2],
Ὦ τοὺς σόνους ἥδρασε καὶ τὰς ἐλπίδας,
Ὡς ἂν ἀπαθῶς τὰς σερισλάσεις φέρῃ,
Μὴ σαρασυρεὶς τῇ βροχῇ [3] τῶν κινδύνων.
Οὕτω συναιρεῖν καὶ διαιρεῖν τὸν βίον,

[1] Hanc vocem inscriptioni Corcyræ repertæ restituit Welcker, *Syllog. Epigr. græc.* Bonnæ, 1828, in-8°, p. 36 : Νέον δ' ἐν ἀκμᾷ κοῦρον, ᾧ σόρεν τέχναν, Ὁμευνέτιν τ' ἔλειψε. Forma masculina ὁμευνέτης cod. Esc. CLXXX, 18.

[2] Leg. τόπον.

[3] Idem versus infra LXXX, 17.

Ακαδημία Αθηνών / Academy of Athens

Ἄνθρωπε, διδάχθητι τὸν τύπον βλέπων·
Οὐ γὰρ τὰ τοῦ σώματος ἀσκήσεις μόνον,
Ὃ δὴ Φύσις δείκνυσι καὶ κρύπτει χρόνος·
Ἀλλ' εἴγε τὸν νοῦν εὐτυχεῖς ἐπίστάτην,
Καὶ τῇ ψυχῇ τὸ πλεῖστον ἀθροίσεις μέρος,
Ἀθάνατος γὰρ καὶ ζωῆς[1] ὑπερτέρα·
Πλὴν ἀλλ' ὁ μὲν δίδωσι τῷ Θεῷ τάδε,
Μᾶλλον δὲ τὴν ἄῤῥητον εἰσφέρει σχέσιν,
Οὐδὲν πρὸς αὐτὴν οὐδὲ τὸν κόσμον κρίνων,
Θεὸς δὲ μετρῶν καὶ τὸ μικρὸν ἀφθόνως
(Πίστιν γὰρ οὐχ ὕπαρξιν ἐν τούτοις βλέπει)
Τοῖς συζύγοις ἄφθαρτον ἱδρύσαι στέγην,
Καὶ καταγωγὴν εἰς Ἐδὲμ καὶ πασπάδα,
* Καὶ φῶς νοητὸν καὶ ποτὸν ζῶν καὶ χλόην,
Καὶ δόξαν ἁβρὰν καὶ μετ' ἀγγέλων βίον,
Ὡς ἂν μετ' αὐτῶν μυστικῶς τῶν φιλτάτων
Τῷ δεσποτικῷ συμπαρασταῖς θρόνῳ.

LXXVI. Ἐπιτάφιοι πρός τινα[2].

Τοῦ πατρίου δόγματος οὐδὲν προκρίνας
Ζήλου ψυχῆς ἔπνευσας ἐνθέου φλόγα·
Κἀντεῦθεν ὡς πῦρ εἰς τὸ φῶς τοῦ δεσπότου
Τῶν ἀρετῶν ὁ δίφρος[3] ἀνήγαγέ σε.
Ζῆς οὖν μετασταὶς ὡς ὁ Θεσβίτης, πάτερ,
Ἄλλην δὲ διπλῆν τῇ μονῇ δίδως χάριν,
Ἐνταῦθα παρεὶς τῆς ῥοπῆς τὴν διφθέραν·
Προὔστης γὰρ αὐτῆς εὐφυῶς καὶ κοσμίως·

[1] An ionice ζόης scribendum?

[2] Cod. M. fol. 73, ubi male editor Τοῦ πρίου δόγματος.

[3] Supra 1, 251 : Τῶν ἀρετῶν ὁ δίφρος ἐνθάδε τρέχει. Infra LXXXVI, 27 : Τῶν ἀρετῶν ὄχημα.

Πρέσβεις δὲ Χριστῷ τοὺς ἀναργύρους ἔχεις,
Εἴπου τις ἐν σοὶ καὶ μολυσμὸς[1] εὑρέθη.

LXXVII. Ἐπιτάφιοι[2] εἰς τὸν δεσπότην κῦρον Μανουὴλ τὸν Παλαιολόγον.

Ἐκκλησιαστὰ, καὶ τὰ πάρεργα σκόπει,
Καὶ τὸν βίον μάλιστα δακρύων γέλα·
Τὸ μὲν γὰρ ὀξὺ τῆς φθορᾶς πῦρ καὶ βρέμον,
Καὶ τὰς ἀγωγὰς τῆς παραβόλου ῥύμης,
Ὡς καπνὸν[3] ἂν δάκνοντα πενθῶν δακρύοις[4],
Τοὺς δὲ πρὸς ἃ βλέπουσιν ἐπλοημένους
Καὶ πρὸς τὸν ἐμπρόθεσμον[5] ὀκνοῦντας χρόνον,
Καθ' ὃν τὸ κοινὸν συγκομίζεται χρέος·
Τῷ γὰρ[6] δανειστῇ καὶ τοκιστῇ δεσπότῃ
Τάχ' ἂν ὁμαλῶς ἐγκαλῶν καταισχύναις·
Ὁ γὰρ νεαρὸς τῆς γονῆς οὗτος κλάδος,
* Ὃν εὐθὺς ἐξίκμασεν ἡ φλὸξ τοῦ χρόνου,
Κοσμῶν τὰ[7] λαμπρῶς τοῖς καλοῖς τοῖς ἐμφύτοις,
Τοῦ πνεύματος δείκνυσι τὴν προαίρεσιν,
Καὶ τὴν μάτην ὕπαρξιν ἣν δήπου λέγεις.
Ὢ ποῖον ἐτρύγησεν ὁ φθόνος ῥόδον!
Ποῖον δὲ κατήνεγκεν ἡβῶντα στάχυν
Τὸ τῆς τελευτῆς καὶ πρὸ τῶν κόκκων θέρος[8]!
Πλὴν ἀλλ' ὁ μὲν προΰκυψε καὶ φθὰς ἐκρύβη,

[1] Cod. Par. XIII, 157.

[2] Cod. M. fol. 73.

[3] Maxim. Planud. ap. Boiss. *Anecd. græc.* t. III, p. 461 : Ὡς ἐκ πυρὸς ἀνάπεμψον καπνὸν τῶν στεναγμάτων.

[4] Cod. πένθων δακρύεις et supra δακρύοις.

[5] Cod. Par. XCIII, 3 : Καὶ πρὸς τὸν ἐμπρόθεσμον ὀκλάζων χρόνον. Pisid. *Hexaem.* 407 : Ὦ μέχρι παντὸς ἐκδιδοὺς ὑπερθέσεις Ταῖς ἐκπροθέσμοις (cod. P. 854 : ἐμπροθέσμοις) τῶν χρεῶν προθεσμίαις.

[6] Fort. τῷ γοῦν.

[7] Leg. κομῶντα.

[8] Cf. cod. Par. XCII, 3.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τὴν φίλην ἔγερσιν ἐλπίζων μένει·
Θρηνεῖ δὲ ϖικρῶς ἡ καλὴ μήτηρ μόνη,
Καθάπερ εἰκὸς, τὴν χλιδὴν τοῦ Φιλτάτου
Καὶ συναποθνήσκουσα[1] μικροῦ δακρύει·
Σὺ δὲ βλέπων, βέλτισ|ε, τὸν τύπον σύνες,
Καὶ τοῦτον εὐχαῖς δεξιοῦ Φιλοφρόνως[2]
Ἐπὶ ξένης θανόντα, ϖαπαὶ τῆς τύχης!
Ὡς ἂν διεκδὺς τὸν βαθὺν τοῦτον ζόφον
Ἴδοι τὸ φῶς ἐκεῖνο τῆς ἀφθαρσίας.
Ζητεῖς μαθεῖν τίς ἐσ|ιν; οὐκοῦν σοι Φράσω·
Μίλος[3] Μανουὴλ ἀγαθῆς ῥίζης κλάδος.

LXXVIII. Δομεσ|ίκῳ τῷ Ἀτζύμῃ.

Τέως μὲν αὐταῖς γειτνιῶν ταῖς ἐξόδοις
Πρὸς τὴν μάλα σκόπιμον ὁρμὴν ἐσφρίγων·
Ἐπεὶ δὲ τῷ κρατοῦντι συνεταξάμην,
Οἱ μηδαμοῦ σ|ατῆρες ἐκθλίβουσί με,
Καὶ ϖαρακατέχουσι[4] δεσμώτου ϖλέον.
* Ὃ γοῦν σε ϖοιεῖν ὡς ὁμόψυχον δέον,
Φρέαρ, κιβωτὲ, κῆπέ μου, θησαυρέ μου,
Πρᾶτ|ε ϖρὸς ἡμᾶς· ἐν γὰρ ἀνάγκης χρόνῳ
Μέγισ|α καὶ τὰ φαῦλα ϖᾶς ἄν τις κρίνοι·
Πλὴν οὐδ' ὁ χαλάβουκας[5] ἐκπέφευγέ με
Πρὸ τῆς θερινῆς ἐκδοθεὶς ϖαγκαρπίας·
Οὗ δὴ χρυσοῦ μοι τοὺς φόρους τιμώμενος

[1] Synod. Cpolit. ap. Mai, *Spicil. Rom.* t. X, p. 20 : Συναποθανεῖν καὶ αὐτὸς τῇ τοιαύτῃ ὁμολογίᾳ μάλα θαῤῥούντως ἰσχυριζόμενος.

[2] Cod. Par. XIV, 76 : Καὶ τεκνοποιεῖ καὶ καλεῖ φιλοφρόνως. Conf. quoque CCXVIII, 28; CCXXXVII, 113, et Cosmas, *Spicil. Rom.* t. II, p. 52.

[3] In *Catalog. Monac.* male μέλος pro Μίλος et κλάος pro κλάδος.

[4] Cod. Par. LXXXIV, 4.

[5] Hanc vocem non novi.

Πέμπε, σιατὴρ [1] κάλλισιε Φιλοσιοργίας,
Μὴ δισιάσας ϖρὸς τόνδε τὸν γέροντά μου,
Ὦ καὶ τέλη Θέσπιζε, γῆν δοὺς αὐτόσε,
Μήπως ὁ λιμὸς εἰσφθαρεὶς τοῖς ὀσιέοις
Τὴν ϖρεσβυτικὴν συσιολὴν ἐξικμάσῃ·
Χεζητιᾷ γὰρ κατὰ τὴν κωμῳδίαν
Εἰς τοὺς βαθεῖς ϖώγωνας ὁ χρόνος βλέπων·
Κἂν ξυλοπομπὸν [2] τοῦτον ἡμῖν δεικνύοις,
Χρυσοῦν ϖαρασχὼν ὁ χρυσοῦς τὸ Φορτίον,
Ὀνηλατήσει καὶ βραβεύσει τὴν χάριν·
Ὁρᾷς γὰρ αὐτὸν καὶ ϖαρακεκυφότα
Νωταρίου δή τινος ἢ κτήνους τρόπον [3].

LXXIX. Ἐπιτάφιοι.

Εἰ μηδὲν ἦν ϖόῤῥωθεν ἄλλο τι, ξένε,
Παρασιατικὸν τῆς ῥοῆς [4] τῶν ϖραγμάτων,
Ἦν ἂν ἀποχρῶν ὁ ϖροκείμενος τύπος
Ἐκ τῶν καθ' αὐτὸν ζωγραφεῖν σοι τὴν Φύσιν,
Ὡς ἀσιραπῆς κίνησις, ἢ χλόης Θέρος,
Ἢ νιφάδων ἔκτηξις, ἢ σῆψις ῥόδων,
Ἢ ῥευμάτων ἔκθλιψις, ἢ λύχνου σβέσις.
Πλὴν, ὦ Θεατὰ, σιῆθι σιγῶν ἐνθάδε,
Καὶ τῆς τύχης μάνθανε τὰς ὑποκρίσεις,
Καὶ τὸν ϖλάνον Φαύλιζε καὶ μίμου βίον·
Πλὴν τίς τὸ ϖαρὸν ἐκτραγῳδῆσαι ϖάθος,
Ἥλιε καὶ γῆ, τοῖς ϖαροῦσιν ἰσχύσει;

[1] Cod. Esc. CLXXXVII, 2 : Στατῆρά μοι δὸς χαρμονῆς ἐγκαρδίου.

[2] Hac voce carent lexica.

[3] Versus XXIX numerat Bandini.

[4] Cod. Esc. CLXIX, 19 : Ἐκ τοῦδε τοῦ ϖλοῦ τῆς ῥοῆς τῶν ϖραγμάτων. Id. CCXXXI, 6 : Μεταξὺ τῆς ῥοῆς τῶν ϖραγμάτων.

Ακαδημία Αθηνών / Academy of Athens

Ποῖον γὰρ ἁπλῶς ἀρετῆς εἶδος, ξένε,
Οὐκ ἔσχεν εὐθὺς ἐκ βρέφους ἡ κειμένη;
Ἀλέξιος[1] πρόπαππος αὐτῇ πατρόθεν
Κομνηνοφυὴς βασιλεὺς γῆς Αὐσόνων,
Ὃν καὶ Μέγαν[2] καλοῦμεν ἐκ τῶν πρακτέων·
Πάππος δ' ἐπ' αὐτῷ Μιχαὴλ ὁ δεσπότης,
Ὁ τῆς δυτικῆς ταγματάρχης[3] ἰσχύος·
Οὗ παῖς ὁ λαμπρὸς ἐν μάχαις Νικηφόρος.
Ὁ σεβασλοκράτωρ δὲ πάππος μητρόθεν
Τῆς ἑσπέρας ὁ λύχνος ἁπλῶς ἁπάσης·
Δούκας δὲ πατὴρ, ᾧπερ ἡ κλῆσις Χάρις,
Μήτηρ δὲ Τορνικίνα Κομνηνὴ πάλιν,
Κόσμος γυναιξὶν ἐκ Ῥαοὺλ κατηγμένη.
Πλὴν ἀλλὰ τί χρὴ νεκρικὸν χοῦν σεμνύνειν
Πρὸς ἔμψυχον γῆν καὶ τελευτῶσαν Φύσιν;
Ταύτην καλὴν Φανεῖσαν ἐξ ἔργων πλέον
(Ὢ τῶν ἀτερπῶν εἰς τὸ μέλλον ἐλπίδων!)
Ἀνὴρ ἀγαθὸς εἰς γυναῖκα λαμβάνει·
* Καὶ τίς γὰρ αὐτὸν ἀγνοεῖ τὸν γεννάδαν
Στρατοπεδάρχην τὸν μέγαν τὴν ἀξίαν,
Τὸν νοῦν τὸν ὀξὺν, τὸν κεραυνὸν πρὸς μάχας;
Ἔγωγε μὴν δέδοικα μικροῦ τὸν τύπον,
Καὶ τῆς γυναικὸς εὐλαβοῦμαι τὸν τρόπον,
Μὴ πρὸς τὰ σεμνὰ δυσφορήσῃ τῶν λόγων·
Πλὴν ἡ τοσαύτη χάρις, ὦ πλάνε χρόνε,
Λῃσλὰ, σφαγεῦ, τύραννε, βάσκανε, φθόρε,
(Ἃ γὰρ φύεις θαύματα καλύπτεις πάλιν,)

[1] De Alexio Comneno cf. Ducang. *Famil. Byz.* p. 192.

[2] Georg. Acropol. p. 14 : Ἀλεξίου τοῦ τῆς Τραπεζοῦντος κρατήσαντος, ὃς καὶ Μέγας ὠνομάζετο Κομνηνός.

[3] Th. Prodr. ed. Mai, VI, 96.

Ακαδημία Αθηνών / Academy of Athens

Ἔῤῥευσεν[1] εἰς χοῦν, ἦλθεν εἰς γῆς ϖυθμένας.
Ἔρημος[2] ἀνδρὸς εὐκλεοῦς καὶ Φιλτάτης
Τὸ τῶν γνάθων ἔρευθος εὐρέθη ῥόδον,
Ὃ τοῦ Θέρους Φανέντος εὐθὺς ἐψύγη·
Τὸ γὰρ ἔαρ ϖαρῆλθε τῆς ἡλικίας
Τῶν ζωτικῶν Φεῦ ϖαραλυθὲν ἰκμάδων,
Καὶ τήκεται μὲν ἡ χλιδὴ τῶν ὀμμάτων
Τῷ τῆς τελευτῆς ὑποχωροῦσα γνόΦῳ[3],
Μελαίνεται δὲ τῆς δορᾶς ἡ λευκότης
Σκιᾶς ϖονηρᾶς ἐγχεθείσης τοῖς λίθοις·
Τὴν γὰρ Φυσικὴν ἐξεμύζησε[4] δρόσον
Ἡ κοσμοΦάγος[5] βδέλλα τῆς ἀπλησΐας,
Καὶ Φθείρεται μὲν ἡ καλὴ ῥὶς ἐνθάδε,
Ὅπου τὸ χόνδρον ἠρέμα σκεδάννυται·
Χείλη δὲ τὰ σΐάζοντα μικροῦ ϖορΦύραν
Ἐκ τῆς ἀπαλῆς τῶν μυῶν Φεῦ κογχύλης
* Ἐμφρύγεται δὴ καὶ σεσηρότα Φθίνει·
Αἱ δὲ χρυσαῖ ϖίπΙουσι τῷ κρύει τρίχες,
Ἐπεί ϖερ αὐτὰς οὐχ ὑΦίσΙησι ζέσις·

[1] Cod. ἔρευσεν.

[2] Fort. desunt quædam.

[3] Cf. cod. Esc. CLXXX, 5.

[4] Cod. Par. IV, 4.

[5] Hanc vocem ignorant lexicographi, quibus indicare possum : Κοσμοβόρος, S. Maximi *Opp.* t. I, p. LXXXVI. — Κοσμοθεάμων, Theod. Stud. *Ep.* 64 v°. — Κοσμοθρήνητος, cod. Par. 2403, fol. 49 r°. — Κοσμοκτισία, cod. P. 2494, fol. 190 v°. — Κοσμομήτωρ, Jo. Damasc. *Opp.* t. II, p. 836 B : Χαίροις ἡ τῆς κοσμήτορος (leg. ex cod. Paris. 396 κοσμομήτορος) καὶ ϖρώτης ἐν γυναιξὶν Εὔας Θύγατερ. — Κοσμοπάτωρ, Id. *ib.* : Χαίροις ἡ ἀπόγονος τοῦ κοσμοπάτορος καὶ ΘεοΠλάσΙου Ἀδάμ. — ΚοσμοσέβασΙος, Jo. Damasc. *Opp.* t. II, p. 835 C : ΚοσμοσέβασΙος τοῦ Θεοῦ κιβωτός. — Κοσμοφιλής, German. Cpol. cod. Coisl. 278, fol. 17 r° : Ἀλλ' ἔμελλεν ἔτι τὸ κοσμοφιλέσΙατον μάλαγμα καὶ τὸ μεγαλοπρεπὲς ἀλεξιΦάρμακον. — Κοσμοχώρητος, Jo. Damasc. *Opp.* t. II, p. 837 C : Τὴν μεγαλομέγεθόν τε καὶ κοσμοχώρητον καὶ ΘαυμασΙοθέατον Θάλασσαν.

Ὁ δ' εὐσταθὴς τράχηλος ἐν τοῖς σπονδύλοις,
Ὃν δεῖ καλεῖν καὶ πύργον ἐκ τῶν ᾀσμάτων[1],
Εἰς χῶμα λεπτὸν συμπεσὼν κατεστάλη·
Ναρκᾷ δὲ χειρῶν εἰς τὸ σώζειν ὀξύτης,
Οὗ μὴ πένης πάρεστιν, ἢ χήρας πόνος,
Ἢ κλαυθμυρισμὸς ὀρφανοῦ τινὸς βρέφους·
Ἡ δ' ἀναδενδρὰς τῆς Φυῆς, ἡ δὲ στάσις,
Ἡ δ' εὐπρεπὴς κίνησις, ἡ δὲ σεμνότης
Ὤχοντο, πᾶσαι τῆς κενῆς εὐεξίας·
Οὕτως Ἑλένην τὴν νέαν καὶ σώφρονα
Ὁ δυσμενὴς θάνατος ἁρπάσας φέρει·
Καὶ νῦν ὁ λαμπρὸς καὶ Μενελάου πλέον
Ὁ τρισαριστεὺς τῆς καλῆς ὁμευνέτης,
Τὸ δρᾶμα πενθεῖ δυσπαθῶς καὶ δακρύει·
Οὐ γὰρ ἔχει δήπουθεν ὃ σπάθη δράσει
Πρὸς τὴν πονηρὰν ἁρπαγὴν τῆς συζύγου.
Τίς οὖν Ἰλιὰς πρὸς τὸ πάθος ἀρκέσει;
Ὁ κλαὼψ ἀφανὴς, ἡ κλαπεῖσα νεκρότης,
Ὁ λίθος ἄδρὸς, ἡ σορὸς κεκλεισμένη·
Τὰ δ' ἔνδον ὀστᾶ καὶ σποδὸς καὶ σαπρία·
Ὦ πυκνότης, φρόνησις, ἡδύτης λόγων,
Ὦ καὶ σιωπὴ, κόσμε τῶν θηλυτέρων[2],
Οἵῳ τελευτῆς ἐγκαλύπτεσθε σκότει!
* Ὁ πλοῦτος ἀργὸς, ἀσθενὴς ἡ λαμπρότης,
Ἡ δόξα καπνὸς, ἐν κενοῖς αἱ Φροντίδες,
Ὁ χρυσὸς οὐδὲν, οὐδὲ γὰρ ἔχει στάσιν·
Ὁ πέπλος αἰσχρὸς, οὐδὲ γὰρ παραμένει·
Οἱ μάργαροι χνοῦς, οἱ λίθοι, λίθοι μόνον·

[1] Vide *Cantic. cantic.* IV, 4; VII, 4. σιγή τε καὶ τὸ σωφρονεῖν Κάλλιστον.
[2] Eurip. *Heracl.* 477 : Γυναικὶ γὰρ Conf. Sophocl. *Ajax*, 293.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ δ' ἄργυρος ῥοῦς καὶ ϖεπηγὼς καὶ τρέχων·
Ὅπου γε ῥεύσιὸν καὶ τὸν ἄνθρωπον βλέπω,
Δι' ὃν ϖαρήχθη τῆς ὕλης τὰ Φάσματα·
Πλὴν ἡ Φιλεργὸς[1], ἣν Σολομῶν σεμνύνει,
Καθάπερ εἰκὸς ἀῤῥενόΦρονα[2] κρίνων,
Ἄρτι καθεύδει τῶνδε τῶν λίθων μέσον,
Εἰς ἀναχωκὴν τῶν ϖρολαβόντων ϖόνων·
Μετὰ δὲ μικρὸν καὶ ϖνοῆς ἕξει δρόσον
Τοῖς ὀσιέοις ἵαμα καὶ τῷ σαρκίῳ·
Σὺ δὲ βλέπων, βέλτισιε, σωΦρόνως ἔχε
Καὶ τὴν γυναῖκα τήνδε τὴν ϖρὶν ὀλβίαν,
Καὶ νῦν ταπεινὴν καὶ μεμαγμένην κόνιν
Εὔχου ϖροελθεῖν εἰς τρυΦῆς Θείας τόπους,
Ὡς ἂν σὺν αὐτοῖς εὐθυμῇ τοῖς ἀγγέλοις.

LXXX. Τῷ[3] βασιλεῖ Παλαιολόγῳ κυρῷ Ἀνδρονίκῳ τῷ Πρώτῳ.

Οὐκ ἔσιιν ἁπλῶς οὔτε σου κρείττων Φύσις,
Οὔτ', ὦ βασιλεῦ, τῆς ἐμῆς χείρων τύχη,
Εἴ γε σκοπήσει τήν τε σὴν ϖᾶς τις[4] Φύσιν
Καὶ τὴν ἐμὴν, κράτισιε, ῥαγδαίαν τύχην·
Σὺ μὲν γὰρ ὡς ἥλιος οὐρανοδρόμος
Ἔκρυψας οὓς ἔδειξε λαμπροὺς ὁ χρόνος
Πτήξαντας ἢ μύσαντας ἐμπίδων τρόπον
* Πρὸς τὴν κατά σε γνωσιικὴν μεσημβρίαν·
Ἐγὼ δὲ ϖαρεὶς τὴν τρυΦὴν[5] τῶν ἐλπίδων,
ὙΦ' ἧς ϖοτε ζῶν εὐμαρῶς[6] ἐθαλπόμην,

[1] Cf. infra ccxv, 37.
[2] Cf. cod. Par. cxxxi, 1.
[3] Cod. M. fol. 22.
[4] De notissima loqutione πᾶς τις cf. v. cl. Boisson. *Anecd. nov.* p. 45. Anon. in *Notic. des mss.* t. VI, p. 501 : Τί οὖ (fort. οὖν) τὰ ἄνω εὖ Φρονῶν ϖᾶς τις κτᾶται. Pisid. *Hexaem.* 1193.
[5] Cf. cod. Par. xiv, 356.
[6] Cf. supra xliii, 50.

Ακαδημία Αθηνών / Academy of Athens

Στεναγμάτων τράπεζαν οἰκτρὰν ἀρτύω,
Καὶ τῷ βίῳ κίρνημι δακρύων ϖόμα,
Χρόνου τοσούτου καπνὸν εὐωχούμενος·
Πᾶσαν δὲ νικῶ συμφορῶν ἀμετρίαν
Ἐς τήνδε τὴν γῆν καὶ τὸ νῦν ἅπαν γένος,
Ὁ καὶ ξένης λαίλαπος ἀντιπνευσάσης
Μὴ ϖαρασυρεὶς τῇ βροχῇ τοῦ κινδύνου[1]
Μηδ' ἐν ϖεριτλῷ ϖανταχοῦ γῆς βορβόρῳ
Χρανθεὶς ὁπωσοῦν τῆς ψυχῆς τὴν ἀρβύλην·
Ἀλλ' εἰ μὲν ἀπόλωλα, μικροῦ γὰρ τόδε,
Καὶ ϖάλιν ἐκ γῆς τὴν βοὴν διαπλέκω·
Τί τάχα καινὸν τῷ σκοποῦντι σωφρόνως;
Καὶ γὰρ ὁ λιμὸς ὑπὸ κακοτεχνίας
Ἐγγασϛρίμυθός ἐσϛι καὶ ϖείθει γράφειν,
Ὡς νεκρὸν ἐν σήματι καθεύδοντά με·
Εἰ δ' ὡς λέγουσί τινες εἰσέτι ϖνέω,
Καὶ δεῖ λογισμοῦ[2] καὶ τροφῆς τῷ σαρκίῳ,
Τίς ἄλλος ἡμῖν ἑσϛιάσει[3] τὴν φύσιν
Εἰ μὴ σὺ, φιλάνθρωπε καὶ ϖλωχοτρόφε;
Ἐγὼ δ' ἀραχνῶν συμβολὰς[4] ἀναπλύων
Νόθων κρότων Θήρατρον[5] εὐτέχνως ϖλέκω·
Ζωγρῶ δὲ τὸ ζῆν ἡσυχῇ καὶ μετρίως,
Μυίας τε καὶ κώνωπας ἁρπάζων μόλις·
* Οὕτω γὰρ ἂν κρίνοι[6] τις ἃ χρὴ λαμβάνειν
Ἐκ τῶν καθ' ἡμᾶς δυσπαθούντων ὀλβίων·
Ὅταν δέ τις ἄνθρωπος ἐκδὺς τὸν βίον

[1] Supra LXXV, 42, idem versus invenitur, ubi *τῶν κινδύνων*.

[2] Fort. leg. *σϛολισμοῦ*.

[3] Supra LXVII, 1 : *Ὁσάκις ἁπλῶς ἐσϛιᾶν δεῖ τὴν Φύσιν.*

[4] Ad oram codicis *σκόπει*. Sententia sane obscura. Confer. nostrum *De animal.* v. 1466.

[5] Cf. infra XCIX, 14.

[6] Cod. *κρίνῃ* et supra *κρίνοι*.

Ακαδημία Αθηνών / Academy of Athens

Ῥιφῇ κατὰ γῆς καὶ γραφῇ ϖροτύμβιος [1],
Ἐνταῦθα ῥυθμοὶ καὶ τελευταῖοι κρότοι,
Καὶ ψυχρὰ μισθώματα, ϖαπαὶ τῆς τύχης!
Ἂν ζῶντα νεκρὸς καὶ μυδῶν ἔμπνουν τρέφῃ·
Κἂν ὁ σλολισμὸς εὐπρεπής μοι τυγχάνοι,
Τῆς ϖυρφόρου γῆς ἐσλι καρπὸς ὃ βλέπεις,
Εὔχρους μὲν ἐκτὸς, ἂν δὲ λαβών τις τέμῃ,
Δεινὴν σποδιὰν [2] ἐκφορῶν ϖαραυτίκα·
Τὰ γὰρ ὑπομνήματα τῆς ἁμαρτίας
Ἐκ τῶν ϖονηρῶν ἱσλορεῖται λειψάνων.
Πλὴν, ὦ βασιλεῦ, συμπαθῶς δίδασκέ με
Πῶς τῶν ἐπὶ γῆς ϖραγμάτων κινουμένων
(Καὶ γὰρ ὅλως μόνιμον οὐδὲν ἐν βίῳ)
Τὰ γοῦν ἀηδῆ ταῦτα νικᾷ τὴν Φύσιν·
Οὐ γὰρ φέρει κίνησιν ἡ τούτων σλάσις.
Νυνὶ δὲ ϖυρούς τοῖς ἐμοῖς τέκνοις ϖρόες,
Κλωθοῦς ἀγαθῆς [3] ἐκτροπὰς ἀνατρέπων·
Τὸ γὰρ ἐπεῖγον οὐκ ἔχει σοφίσματα.

LXXXI. Εἰς τὸν δεσπότην [4].

Τὸν ἀμπελῶνα [5] χέρσον ὑπάρξαντά μοι
Καὶ σφόδρα ϖυκνὸν ἐκ Φυῆς ϖρωτοχρόνου [6]
Ἄγρωσλις [7] οἰσλρήσασα δεινῶς ἐκθλίβει·
Προσίσλαται γὰρ τοῖς σκαφεῦσιν εἰς βάθος

[1] Hoc vocabulo carent lexica. Supra LXIII, 22 : Καὶ τοὺς τύπους ἵσλημι τοὺς ϖροτυμβίους.

[2] Supra XXXV, 22 : Οὗ (μήλου) καὶ ϖέπων, ὥς φασιν, ἀσβόλης γέμει. Cf. Flav. Jos. *Bell. Jud.* IV, VIII, 4; Tacit. *Hist.* V, VII, 4, et Solin. cap. XXXVI.

[3] Nisi hoc dictum per εὐφημισμόν, fort. leg. ἀρατῆς. Infra CXI, 29 : Τῆς κακοδαίμονος Κλωθοῦς.

[4] Cod. M. fol. 23.

[5] Bandini ἀμπελῶν. Male.

[6] Cf. supra LIX, 7.

[7] Vid. Dioscor. IV, 30.

Ακαδημία Αθηνών / Academy of Athens

* Πολυπλόκους[1] ἔχουσα τὰς ϖαρεκφύσεις[2]·
Καὶ τέμνεται μὲν ὑπὸ τῶν σκαφιδίων,
Ὡς ἐξ ὑπαρχῆς τοῖς φυτοῖς ἐναντία·
Ἐπαίρεται δὲ ταῖς τομαῖς αὖ καὶ βρύει,
Τῶν ἀντιλαβῶν ταῖς γονατῖς ἡδρασμένη.
Καὶ γὰρ ἔχει γόνατα, καμπὰς, ἐκτάσεις,
Καλαμοειδῆ[3] ϖαραφυλλίδων[4] σκέπην,
Καὶ συνεχῆ σύνδεσμον εἰς βάσεις νέας.
Σὺ γοῦν σταφυλὴ βασιλικῆς ἀμπέλου,
Τοὺς δεσποτικοὺς εὐτυχοῦσα μαργάρους,
Ὡς σφαιροειδεῖς καὶ καταλεύκους ῥάγας,
Γενοῦ βοηθὸς τῇ χλιδῇ τῆς ἀμπέλου,
Ἣν ἡ σοβὰς ϖόῤῥωθεν ὀργῶσα θλίβει,
Καὶ τὴν ϖολυκέφαλον[5] ὡς ὕδραν ϖόαν,
Ἥρακλες ἡμῶν, τῇ χρυσῇ τέμνε σπάθῃ,
Σκύμνε σταθηρὲ, δέσποτα στεφανίτα.

LXXXII. Σεβαστῷ τῷ Πατρικιώτῃ[6].

Ἐγὼ μὲν ὀκνῶ καὶ λαλεῖν τι καὶ γράφειν,
Καὶ ϖρὸς τὰ συμβαίνοντα θαῤῥεῖν τοῖς λόγοις·
Ἡ γὰρ τύχη ϖείθει με σιγῶντα στέγειν,
Ὡς ϖαῖδα νωθρὸν ἐμβριθὴς ἐπιστάτης.
Αὐτὸς δὲ λαλεῖν κἂν σιγᾷς ϖαροξύνεις,

[1] Cf. cod. Par. XII, 3.
[2] Vox addenda lexicis.
[3] Cod. Par. 2286, fol. 8 v°.
[4] Cf. cod. Par. CVII, 12.
[5] Meliten. v. 546 : Τοσοῦτον ϖολυκέφαλον ὑπῆρχε τὸ θηρίον. Id. 551 : Πολυκ. καὶ τερατῶδες ζῷον. Id. 555 : Ὕδραν τὴν ϖολυκέφαλον. Germ. Cpol. cod. Coisl. 278, fol. 209 v° : Τοῦ δὲ μοιχοῦ τὸ κακὸν οὐκ ἔστι τῶν ἐνιαίων, ἀλλὰ τῶν ϖολυσχιδῶν καὶ ϖολυκεφάλων. Theod. Studit. cod. Paris. 891, fol. 249 r° : Τὸν ὄφιν τὸν ϖολυκέφαλον. Heraclit. *De incred.* XVIII : Πολυκέφαλον ἱστορεῖται θηρίον.
[6] Cod. M. fol. 23.

Ακαδημία Αθηνών / Academy of Athens

Ὡς ἡλίου δύναμις ἐν μεσημβρίᾳ
Πτηνὸν σιωπῶν καὶ φιλόδροσον τέως.
Ὁ μὲν γὰρ εἰς σὲ καὶ τὸ σὸν κάλλος βλέπων
Καὶ τὴν λογικὴν ἐξ ἐπισ⟨ήμης χύσιν⟩ [1],
* Ἡ πάντα κινεῖ καὶ παρασύρει κρότον
Ὡς εὔδρομος ῥοῦς τὰς ἀχυρώδεις [2] ὕλας,
Ἄφωνος ἰχθὺς εὐθέως καθίσ⟨ταται.
Ὁ δὲ πρὸς αὐτὸν σωφρονῶν σου τὸν τρόπον,
Ὃ τὰς παλαιὰς ἐξεφαύλισας [3] φύσεις,
(Τὰς γὰρ καθ' ἡμᾶς οὐδὲ μετρίως κρίνω)
Πῶς ἂν ἔτι δύναιτο σιγῶν μὴ γράφειν;
Καλεῖ σε λοιπὸν ὁ χρυσοῦς εὐεργέτης
Ὁ Μυρέων πρόεδρος ὁ πλωχοτρόφος,
Καλεῖ δι' ἡμῶν τὴν φιλάνθρωπον φύσιν·
Ὁπλούς γε μὴν ἡκισ⟨τα πυροὺς ἂν λάβοις,
Οὐ γὰρ παρ' ἡμῖν, οὐδ' ἀπὸ γλεύκους δέπας,
Ἀλλ' οὐδ' ὀπώρας, οὐδ' ὅσα τραγήματα·
Εἰ δ' οὐκ ἀνεκτὸν, σύ γε τῆς χρείας γίνου,
Καὶ πέμπε μοι φθὰς ἀργυρᾶν εὐκοσμίαν,
Καὶ τῶν φιλῳδῶν [4] ἐκπριῶ τοὺς εὐλάλους
Κηροὺς ἐνεγκὼν εἰς τὸ πῦρ τῆς ἑσπέρας,
Καὶ συμπανηγύριζε τῷ πνέοντί σε [5].
Σὺ μὲν γὰρ οὐ κέκληκας ἡμᾶς ἐξ ἔθους,

[1] Cod. Par. LV, 23 : Νοημάτων χύσις.

[2] Infra CXLII, 1 : Πέμπε πρὸς ἡμᾶς τὴν ἀχυρώδη χάριν. Philes, ed. Wernsd. p. 82 : Τὰς ἀχυρώδεις τῶν ἐχθρῶν ἀπολίκμησας φύσιν (in not. φύσεις). Quæ vox mihi revocat in memoriam aliud compositum ἀχυρώνυμος, quo ditari possunt lexica, ex German. Cpol. cod. Coisl. 278, fol. 4 v° : Τὴν ἀχυρώνυμον πόλιν. Et mox : Ἀλλὰ παρεᾶσαι τοὺς ἐκεῖσε ὠρυομένους λέοντας, ὡς βόας τὴν ἀχυρώνυμον ἔδεσθαι.

[3] Cod. Par. 1087, fol. 115 r°.

[4] Fort. φρικωδῶν.

[5] Idem versus supra LXV, 81.

Ακαδημία Αθηνών / Academy of Athens

Ἡμεῖς δὲ καλοῦμέν σε, κἂν φεύγειν θέλῃς,
Παιγνιρικὴ τοῖς ἐρασταῖς Φαιδρότης.

LXXXIII. Τῷ αὐτῷ [1].

Τὴν ἔντονον σὴν καὶ πολύζηλον φύσιν,
Καὶ τὸν καθαρὸν καὶ φιλαλήθη τρόπον,
Εἰδὼς ἔχω πόῤῥωθεν ἐξ ὧν εἰργάσω·
Καὶ νῦν δὲ θαῤῥῶν εἰς τὸν ἕδραῖον πόθον
Καὶ τὴν ἀνεκλάλητον [2] εὐελπιστίαν,
Ἣν αὐτὸς, ὦ κάλλιστε τῶν φίλων, δίδως
Ἀναβεβηκὼς εἰς τὸ φάσμα τῆς τύχης,
Καὶ πρὸς τὰ χαμαίζηλα σωφρόνως βλέπων
Τὸν οἰκέτην πέμπομφα τὸν μείρακά σοι·
Καὶ πέμπε μοι δὴ τοὺς πυροὺς τοὺς δευτέρους,
Καὶ τὸν χρυσοῦν στατῆρα καὶ τὸν ὀξίνην·
Κἂν πάντα μὴ δοὺς Φαυλίσῃς τὸν φίλτατον,
Τοὺς γοῦν πυροὺς ἥδιστος ὀφθεὶς ἀπόδος·
Τὰ γὰρ κατατρύχοντα τὴν φύσιν πλέον
Οὐκ ἂν ἀγαθὰς τὰς ὑπερθέσεις ἔχοι [3]·
Ναὶ καθάπαξ ἄψευστε, ναὶ πῆξις [4] λόγων,
Καὶ [5] βάθρον ἑστὼς ὑπὸ μοχλοῖς πρακτέων,
Δεῖξον σεαυτὸν κατὰ τοὺς πρώτους τύπους,
Οἷς ἡ φιλικὴ ζωγραφεῖ σε καρδία.

LXXXIV. Ῥαοὺλ τῷ ἐπὶ στρατοῦ [6].

Τὴν ἐξ ὄνου μὲν ἵππον, ἐξ ἵππου δ' ὄνον,

[1] Cod. M. fol. 24.

[2] Isidor. Pel. 1, 377. Melit. 2967 : Καὶ γῆθος ἀνεκλάλητον. Theod. Stud. cod. Par. 891, fol. 239 v° : Χαρὰν ἀνεκλάλητον. Theod. Lascar. codex Paris. 1193, fol. 2 r° : Ἀνεκλάλητον φῶς.

[3] Cod. ἔχει et supra ἔχοι.

[4] Cod. Par. LXI, 3 : Τῶν δυσχερῶν τὴν πῆξιν.

[5] Fort. ναί pro καί.

[6] ὁ στρατοῦ, ὁ ἐπὶ στρατοῦ, dignitas de qua Ducang. *Gloss. med. græc.*

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ σύνθετον φρόντισμα, τὸν σλεῖρον τόκον,
Τὸ ϖοικίλον τέχνασμα τῆς ἀπλησλίας,
Τὸ ψυχρὸν ἀπόσφραγμα[1], τὴν δύσνουν φύσιν,
Τὸν εἰς τὸ κοινὸν ὑσλερόσπορον[2] γόνον,
Ὃν βελτίω κρίνουσι τοῦ φυτοσπόρου,
Πέμπε ϖρὸς ἡμᾶς τοὺς ὑπερθέρμους[3] φίλους,
Ἥρακλες, Ἑρμῆ, τῆς Ἀθηνᾶς ὁπλίτα,
* Πρὸ τῆς μεγάλης ἧς ἔτυχες φύσεως,
Καὶ τῶν ϖρὸς ἐχθροὺς τακτικῶν βουλευμάτων,
Καὶ τῶν ἱκανῶν τῆς ἐπισλήμης λόγων,
Οἷς σαυτὸν ὠλβίωσας ἁπάντων ϖλέον.
Προσδεῖ γὰρ ἡμῖν εὐσθενοῦς μυλωθρίδος
Εἰς τὴν ὁμαλῆ συντριβὴν τῶν ἀλφίτων,
Ὡς ἂν ἅπαν βάρβαρον[4] ἀθροίσας γένος
Ἐν φασγάνου σλόματι συντρίψῃς χύδην.

LXXXV. Πρὸς τὸν Φιλανθρωπηνὸν τὸν ϖιγκέρνην[5].

Σὺ μέν, μυριόφθαλμε, λαμπρῶς ἀγχίνου,
Τὴν ἡμεδαπὴν τακτικῶς διατρέχεις·

[1] Vocabuli forma inaudita. Corrigas ἀϖόφραγμα, «frigida separatio», animal quod a similibus segregat se nec coit.

[2] Hac voce ditari possunt lexica, quibus addam Ὑσλερογένεια, German. Cpolit. cod. Coisl. 278, fol. 113 r°: Ὅ τε τῷ χρόνῳ μείζων ὁ Κάϊν, καὶ ὁ ἐλαλλούμενος τὴν ὑσλερογένειαν ὁ Ἄβελ. — Ὑσλερόκροτος, codex Paris. 400, fol. 134 r°: Ἠχῶ σὺ φωνῆς ὑσλερόκροτον κρότον.

[3] German. Cpol. cod. Coisl. 278, 142 v°: Τὸ δὲ ἀνοικοδομῆσαν, ὑπέρθερμον καὶ ἀνάῤῥουν, εἰς ὀφθαλμοὺς καρδιόθεν φερόμενον.

[4] Cf. supra XLIV, 17.

[5] De Philanthropeno pincerna conf. Cantacuz. t. I, p. 479, et Lebeau, *Hist. du Bas Emp.* t. XI, p. 6. «Πιγκέρνης, *Pincerna* seu *Pocillator*, erat ex tertia pentade Palatinorum magistratuum, quibus ϖίλοις συρματείοις caput tegere fas erat, ut notat Matthæus monachus in Catalogo officialium Palat. Constantinopolit.» Bandin.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γὰρ τόπου κάμνοντος ἀμβλυωπίαν
Εἰς ϖραγμάτων ἤμειψας ὀξυδορκίαν,
Καὶ τοὺς φάγους ἤλασας ἐκ μέσου λύκους,
Ἀφεὶς ἐπ' αὐτοὺς τῶν [1] φρενῶν τὴν σφενδόνην [2],
Ὡς ἂν ὁ σηκὸς εὐπραγῇ τοῦ ϖοιμνίου.
Μᾶλλον δὲ τῷ θρέψαντι καὶ ϖέμψαντί σε
Φανεὶς ἀγαθὸς εἰς τὰ νῦν ἔργα σκύλαξ,
Φρικταῖς ὑλακαῖς [3] τὰς κλοπὰς ἐφαύλισας,
Καὶ βαρβάρων ἔθελξας ἀγρίων φύσεις
Τοῖς ἐμφύτοις κρούμασι τῆς εὐγλωττίας [4],
Καὶ νεκρὸν [5] ἐψύχωσας ἀνθρώπων γένος,
Παλιμβίους χάριτας ἀφθόνως χέας·
* Καὶ δυσμάχου λέλυκας ἀνάγκης νέφος [6],
Τὴν ἔμπυρον σὴν οὐχ ὑποσὰν αἰθρίαν,
Ἐπεί ϖερ ὡς φῶς εἰς τὸν αὐτόσε ζόφον
Ὁ τοῦ κράτους ἥλιος [7] ἐξήνεγκέ σε·
Καὶ σὺ μὲν οὕτω ταῦτα καὶ κρείττω δράσεις,
Εἴ ϖού τι μηδὲν ἐμποδὼν γένοιτό σοι·
Ἔγνων σε γὰρ ἔγνων σε τῶν ἄλλων ϖλέον,
Ἐκ τῶν ϖάλαι δήπουθεν ἀρισταυμάτων·
Ἐγὼ δὲ τυφθεὶς ὑπὸ τῆς φαύλης τύχης,
Καὶ μηδ' ἀναπνεῖν μηδὲ λαλεῖν ἰσχύων,
Κεῖμαι, στρατηγὲ, καὶ θανατῶ καὶ στένω·
Πλὴν ϖασχάδας ϖήγνυμι τοῦ γένους χάριν,
Καὶ νυμφίῳ ζεύγνυμι τὴν θυγατέρα,
Τὴν ἀπὸ φυῆς εὐγενῆ ϖρωτοσπόρου [8],

[1] Pro τῶν fort. σῶν.
[2] Cf. cod. Par. CCXXXVII, 81.
[3] Cod. φρυκταῖς ὑλακταῖς.
[4] Cf. cod. Vat. XI, 5.
[5] Cod. νεκρῶν.
[6] Infra XCIII, 21 : Νέφος τύχης. Et XCIX, 7. Cod. Escur. XXVII, 22 : Νέφη τελευτῆς.
[7] Cf. supra LXIII, 13.
[8] Cf. supra I, 67, et LIX, 7.

Ακαδημία Αθηνών / Academy of Athens

Θεοῦ πρὸς ἡμᾶς εὐμενὲς δεδορκότος·
Καὶ δεῖ φίλων μάλιστα τῷ δεῦρο χρόνῳ
Τῶν πραγμάτων πόῤῥωθεν ἐκζητουμένων,
Μᾶλλον δὲ, φιλόπλωχε, τίς λόγος φίλων,
Ἀλλ' οὐκ ἀγαθῶν οὐδὲ συμπαθεστέρων;
Τοὺς γὰρ φίλους ἤλεγξαν αἱ περιστάσεις.
Εἰ γοῦν σεαυτῷ μοῖραν ἐντεῦθεν δίδως,
Ὡς ἂν ἔχοις, κούφιζε τὸν πένητά σου,
Ἢ μικρὸν ἀπόδεσμον ἀφεὶς ἢ μέγαν,
* Ἢ σκεῦος ἢ ἔπιπλον [1] εἰς εὐκοσμίαν·
Πολυτελὴς γάρ ἐστιν ἡ σὴ καρδία,
Καὶ πραγμάτων θάλαμος [2] ὑπερκοσμίων [3],
Καὶ Ξανθόπουλος ὁ χρυσοῦς οὗτος φίλος,
Ὃν οἱ λόγοι μάλιστα συνδέουσί μοι,
Διακομιστὴς ἀσφαλὴς ὢν τυγχάνοι,
Γράμματα καὶ πράγματα συνθεὶς αὐτόθεν [4].

LXXXVI. Τῷ Ξανθοπούλῳ κυρῷ Θεοδώρῳ [5].

Χιτῶνος ὀφθεὶς ἐνδεὴς καὶ διφθέρας
Ἐν τῇδε τῇ νῦν τοῦ κρυμοῦ κατάστασει,
Σοφὲ προμηθεῦ τῶν ἀναργύρων φίλων,
Δέδοικα τὴν ἔμφυτον οὐ μάτην ζέσιν,
Μήπως συναχθῇ πρὸς τὸ τῶν στέρνων βάθος,

[1] Cf. Ducang. *Glossar. med. græc.* s. v. Ἔπιπλα.

[2] Supra LXIX, 4 : Μυστηρίων θάλαμον. Cf. infra CXII, 2.

[3] Sallust. IV, p. 10. S. Basil. *Opp.* t. I, p. 6, ubi cod. Par. 1277, ὑπερκοσμία pro ὑπερκόσμιος.

[4] XLV versus numerat Bandini.

[5] In cod. M. fol. 16. «Diversus omnino Theodorus iste Xanthopulus ab alio, cujus esse concilii Florentini Historiam ms. putat Allatius, quæ habetur in ms. codice Viennensi, teste Lambecio, VIII, p. 503. Hunc enim centenario saltem juniorem esse fatendum est.» Bandin.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῷ χρόνῳ σύντηξιν[1] ἡ κρᾶσις πάθῃ,
Εἶτα σληρηθῇ τῆς πνοῆς ἡ καρδία,
Καὶ ζημιωθῇς φίλον οὐ φαῦλον τάχα.
Περὶ μὲν οὖν χιτῶνος οὐ δεῖ μοι λόγων,
Ἄλλος γὰρ ἂν ἔρανος αὐτὸν εἰσφέροι·
Περὶ δὲ καινῆς ποτνιῶμαι διφθέρας,
Ὡς ἂν τὸ ῥιγοῦν εὐπαθῇ μοι σαρκίον·
Δεινὴ γάρ ἐσλι τῶν τριχῶν ἡ θερμότης
Τὰ ψυχρὰ καὶ δάκνοντα φαυλίζειν πάθη.
Ὅλως γε μὴν ἄηθες οὐδέν τι δράσεις
Ταύτην παρασχὼν ὁ χρυσοῦς μοι δεσπότης·
* Καὶ πρὶν γὰρ ἡμῶν ὑπεραλγήσας[2] ἔχεις,
Καὶ τοὺς ἐνοχλήσαντας ἀνεῖλες πόνους
Ταῖς τῆς ἀγαθῆς δεξιᾶς χειρουργίαις[3].
Εἰ δ' οὐχ ὅλῃ θάλπειν με διφθέρᾳ θέλεις,
(Οὐ γὰρ ἂν εἰς ἅπαντας ἀρκέσαις μόνος,)
Τὸ γοῦν μέσον τίμημα τῆς ὅλης πρόες.
Ποῖος γὰρ ὡς σὺ τόν τε[4] καθόλου τρόπον,
Καὶ τὴν πρὸς ἡμᾶς ἀπὸ τῶν ἔργων σχέσιν,
Ἐκκλησίας ἔρεισμα, δογμάτων βάσις,
Παίδευμα κοινὸν, κῆπε[5] χαρίτων βρύων,
Τῶν ἀρετῶν ὄχημα, τοῦ ζήλου θίβη,
Μᾶλλον δὲ παντὸς ἄφθονε πλωχοτρόφε.

LXXXVII. Ἐπιτάφιοι[6].

Λάθων ἀπαθὲς ἐκ χοὸς τὸ σαρκίον,

[1] Infra CXXXVI, 7.

[2] German. Cpolit. cod. Coisl. 278, fol. 201 r° : Εἶτα τῆς μὲν τῶν μελῶν βλάβης δεῖ κατολιγωρεῖν, τῆς δὲ τῶν χρημάτων ἀφαιρέσεως ὑπεραλγεῖν.

[3] Cf. supra XLIII, 27.

[4] Cod. τόνδε pro τόν τε.

[5] Infra CXXXIV, 10 : Κῆπε τῶν χαρισμάτων.

[6] Cod. M. fol. 24.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐμπαθὲς ἀπέδωκα τῇ γῇ τὸ χρέος·
Πολλῷ δὲ τοῦ πρὶν ὀλβιώτερον πάλιν
Ἔξω τὸ ληφθὲν ὑπὸ τῆς δανεισάσης.

LXXXVIII. Εἰς τὸν προφήτην Ἠλίαν καθεύδοντα [1].

Ἄνθρωπε, καθεύδοντα σαυτὸν εἰ βλέπεις,
Ἀφυπνίσας βάδιζε τὸν πρόσω βίον·
* Ἵνα δὲ καὶ δύναμιν ἀρκοῦσαν λάβῃς,
Τὴν πνευματικὴν ὡς ὁρᾷς βρῶσιν φάγε.

LXXXIX. Εἰς τὸν αὐτὸν τρεφόμενον ὑπὸ κόρακος [2].

Κόραξ μοναχὲ, δεῦρο καὶ σκόπει τάδε,
Καὶ πάντας ἁπλῶς εἰ δυνατὸν τοὺς ξένους
Ἐν παντὶ καὶ βρώματι καὶ χρόνῳ τρέφε,
Μή τις ἐν αὐτοῖς εὑρεθῇ καὶ Θεσβίτης.

XC. Εἰς τὸν προφήτην Μωσῆν λύοντα ἐκ ποδῶν τὸ ὑπόδημα [3].

Τὸ τῶν παθῶν πέδιλον ὡς Μωσῆς λύων,
Μυστηρίων ἄῤῥητος αὐτόπτης γίνου,
Καὶ τῆς ἁρᾶς, ἄνθρωπε, τῶν βάτων μέσον
Πῦρ ἐνθέου χάριτος ἀφλέκτως [4] δέχου.

XCI. Εἰς τὸν αὐτὸν, ὅτε ἀπέστρεψε τὸ πρόσωπον ἐνώπιον τοῦ Θεοῦ [5].

Μωσῆς Θεοῦ πρόσωπον οὐκ ἔχει βλέπειν·
Συστέλλεται γὰρ, σὺ δὲ μηδὲ τοῦ πέλας,
Ἕως ἂν, ὦ βέλτιστε [6], καὶ πλάκας λάβῃς,
Καὶ Μωσαϊκῶς [7] ἐξαμείψῃς τὰς φύσεις.

[1] Cod. M. fol. 74.
[2] Cod. M. fol. 74.
[3] Cod. M. fol. 74.
[4] Infra ccxix, 4.
[5] Cod. M. fol. 74.
[6] Cod. ὁ βέλτιστε.
[7] Hoc adverbium non indicat *Thesaurus Parisiensis*.

Ακαδημία Αθηνών / Academy of Athens

XCII. Εἰς τὸν αὐτοκράτορα.

* Ἔδει τὸ πᾶν, κράτισλε, Ῥωμαίων γένος,
Ὅσον μερισθὲν πολλαχοῦ κατεσπάρη,
Κοινῇ συνελθὸν εὐλογεῖν σου τὴν Φύσιν,
Καὶ μυρίους ἄνωθεν αἰτεῖσθαι χρόνους,
Ἐφ' οἷς τὸ σεπλὸν ἐκτενεῖς μᾶλλον κράτος,
Ἢ τοὺς ἑκάσλῃ τῶν Φυλῶν ὡρισμένους
* Εἰς τὸν σὸν εἰ δύναιτο συλλέγειν βίον·
Εἰ μὲν γὰρ ὡς ἄνθρωπος ηὐτύχεις μόνον,
Ἦν ἄν τις ἐν σοὶ καὶ τροπῆς ὑποψία·
Τὴν σύνθεσιν γὰρ ἡ διάσλασις λύει,
Καὶ τῆς ὕλης ἔλεγχος ὁ χρόνος ῥέων·
Ἐπεὶ δὲ νικᾷς τὴν κινουμένην[1] Φύσιν,
Πῶς οὐ Θεμιτὸν, πῶς δὲ μὴ πάνυ πρέπον
Ἑσλῶτά σε ζῆν εἰς τὸν ἄσ̣λατον βίον,
Καὶ τὴν ὕλην ἄῤῥευσλον ἐν σοὶ τυγχάνειν,
Ὡς ἂν μένῃς ἄτρεπλος ἠβῶν τῷ χρόνῳ,
Καὶ πρὸς τὰ τοῦ σώματος ἀντέχῃς πάθη,
Κοινῆς ὀφειλῆς ἐκφυγὼν προθεσμίαν;
Τὰ γὰρ κατά σε πάντα φαυλίζει κρότον,
Κἂν ὡς ποταμὸς ἀπὸ τῆς τέχνης ῥέῃ,
Κἂν πῦρ ἐπ' αὐτοῖς ὁσλισοῦν τύχῃ πνέων,
Οἷον Θέμις, Φρόνησις, ἀγνεία, σθένος,
Ὄψις, λαλιὰ, βῆμα, καθέδρα, σλάσις,
Ἀναδρομὴ σώματος, ὀξύτης, κρίσις,
Εὐωχία ξύμμετρος, ἐν ζυγοῖς πόσις,
Ὕπνος δοκῶν δήπουθεν, ἀγῶνες, λόγοι,
Νόμοι, πόλεις, χρήματα καὶ σλρατεύματα,

[1] Cod. *νικουμένην*.

Ακαδημία Αθηνών / Academy of Athens

Δι' ὧν ἀτεχνῶς εὐπραγεῖ σου τὸ κράτος,
Ὡς πνεῦμα καὶ φῶς εἰς τὸ πᾶν τόδε τρέχον.
Ἀλλὰ σὺ μέν, κράτισΤε, δεικνὺς τὴν φύσιν
* Ἤλγεις πρὸ μικροῦ μὴ κριθῇς καί τι πλέον·
Μείζων γὰρ ἐνσκήψασα τοῖς ἔνδον ζέσις
Ἀνώμαλον τὴν ἔξιν εἰργάσατό σοι·
Κυκώμενον δὲ πᾶν τὸ Ῥωμαίων γένος
Ὡς ἀπὸ συνθήματος[1] ἐκραδαίνετο·
Τῆς γὰρ κεφαλῆς ἐκτιναχθὲν τὸ ϑλίβον
ἝκασΤον ἁπλῶς τῶν μερῶν ἐπυρπόλει·
Καὶ τῆς ἑορτῆς ἡ κρατίσΤη Φαιδρότης
Σκυθρωπότητος εἶχε κοινῆς ἐμφάσεις.
Ἐγὼ δὲ τὸ ζῆν τοῦ ϑανεῖν χεῖρον κρίνων,
Ἠγωνίων, ἤσχαλλον, ἐξετηκόμην,
Ἕως τὸ σὸν πρόσωπον ἰδὼν ἀσμένως
Εἰς τοὺς παρόντας ἦλθον εὐτόλμως λόγους.
Πρὶν οὖν παρελθεῖν καὶ ῥυῆναι τὴν κτίσιν,
Καὶ συμπαρελθεῖν τὸ βροτῶν ἅπαν γένος,
Παντὸς[2] πάθους ἄγευσΤος ὀχλοῦντος μένοις,
Καὶ μηδὲ σὴν δήπουθεν ἐκτρίψαι τρίχα
Τὸ φθαρτικὸν, κράτισΤε, τοῦ χρόνου ϑράσος·
Σοῦ γὰρ ἄνευ ζῆν οὐδαμῶς ἄν τις ϑέλοι,
Τύχης τοσοῦτο καὶ φρενῶν χύμα βλέπων.

XCIII. Εἰς τὸν αὐτόν.

Θεοσ*Τ*εφὲς[3] κράτισΤε καὶ πρὸ τοῦ σΤέφους,
Γράφοντι μὴ γράφοντι συγγίνωσκέ μοι·

[1] *De animal.* 640. De formula ἀπὸ συνθήματος conf. *Thesaur.* s. h. v. col. 3911 C.

[2] Idem versus infra XCV, 192.

[3] Conf. German. Cpol. cod. Coisl. 278, fol. 220 v°.

Ακαδημία Αθηνών / Academy of Athens

Τοῖς γὰρ ἁμαρτήμασι τῶν ὑπηκόων
Ἡ σὴ φυσικῶς ἀντίκειται χρησιότης·
* Οὐ πείθομαι ζῆν, εἴ γε μὴ πνέοιμί σε,
Τὸν εὐγενῆ σωτῆρα τῆς οἰκουμένης,
Οὐδ' εὔχομαι πνεῖν, εἴ γε μὴ βλέποιμί σε,
Τὸν ζωτικὸν ζωσιῆρα[1] τῆς κραταρχίας·
Ἂν[2] λειποθυμῶ, σὺ δ' ἀναλάμβανέ με,
Καὶ γὰρ τὸ σὸν πρόσωπον ὡς ῥόδον βρύει.
Αἰ καρδιαλγῶ· σοῦ Γαληνὸς ἐνθάδε,
Χρισιοῦ μιμητὰ τοῦ περὶ πάντας πράου;
Διψῶ, βασιλεῦ, καὶ περικέχνηά σε,
Καὶ τὴν ἀναψύχουσαν αἰτῶ σου δρόσον·
Ἥλιε τῆς γῆς, Θάλπε καὶ φώτιζέ με
Καὶ τοῦ κρύους ἔξελκε τῆς Βυζαντίδος,
Γραφῆς ἐρυθρᾶς ἀῤῥαγῆ τείνας βρόχον.
Τοῖς μὲν γὰρ εὖ πράτιουσιν ἡ πόλις πόλις·
Ἐμοὶ δ' Ἐρινύς· ῥῦσια[3], μὴ μέλλε πλέον,
Σβέσον τὸ πῦρ, κοίμισον ὀφθεὶς τὴν ζάλην,
Λύσον τὸ βαθὺ τῆς ἐμῆς τύχης νέφος[4],
Ἡ βασιλικὴ πανταχοῦ γῆς αἰθρία[5],
Γλῶτταν δὲ σιγήσασαν ἐξ ἀθυμίας
Μεθαρμόσας τράνωσον εἰς νέους κρότους.
Εἰ γὰρ πρὸς ἐχθροὺς εὐτρεπίζῃ δυσμάχους,
Καὶ γῆν ἐπελθεῖν ἀξιοῖς ἀλλοτρίαν,
Βασιλέων Ἥρακλες αἰθεροδρόμε,
Δεῖ τάχα κἀμὲ παρομαρτοῦντα βλέπειν,

[1] Cod. Par. CXLIX, 239 : Τὸν φοινικοῦν ζωσιῆρα τῆς εὐανδρίας. Conf. *De animal.* 1021.

[2] Fort. αἰ λειποθυμῶ ut mox αἰ καρδιαλγῶ. Cf. etiam XCV, 160.

[3] Eustath. *Opusc.* p. 157, 88 : Ὦ θεὲ ῥῦσια.

[4] Cf. supra LXXXV, 15.

[5] Cod. Par. LXI, 4 : Καὶ βασιλικῆς ἐμφορηθεὶς αἰθρίας.

Ἐπεί σε λαμπρῶς ἀντιτάξω τῷ χρόνῳ
Καλαμίνῳ δόρακι [1] βαλὼν τὸν φθόνον.

XCIV. Τῇ Θεομήτορι.

Τέκνῳ τελευτήσαντι μητρὸς ἀθλίας,
Εὔσπλαγχνε, σεμνὴ, λύσιν αἰτοῦ πλαισμάτων·
Σὺ γὰρ μόνη σώζουσα κοινῇ τὴν Φύσιν
Ἁμαρτίας ἄγευστον ἐκτήσω τόκον.
Ὃν ζῶντα, σεμνὴ, σοὶ παρεσχόμην, κόρη,
Τοῦτον κομίζω καὶ τελευτήσαντά σοι·
Ἑτοίμασον γοῦν τὴν Ἐδὲμ τῷ φιλτάτῳ
Πρὸ τῆς γαμικῆς ἁρπαγέντι παστάδος [2].

XCV. Πρὸς τὸν αὐτοκράτορα.

Οὐδέν τι κοινὸν πρὸς τὸ πᾶν ἔχεις γένος,
Οὐ τὸ προτεχθὲν καὶ τελευτῆσαν μόνον,
Ἀλλ' ὃ βλέπει, κράτιστε, καὶ ζῶν ὁ χρόνος,
Ὡς μηδὲ τοὺς νῦν μηδὲ τοὺς πάλαι κρότους,
Ὅσους τὸ πᾶν ἐξεῦρε τῆς τέχνης κράτος,
Εἶναι δυνατοὺς καὶ τὸ σὸν μέλπειν κράτος·
Εἰ μὲν γὰρ εἰς Φρόνησιν ἀκμάζοντί σοι
Καὶ σωφροσύνη μὴ προσῆν, μηδ' ἀνδρία,
Μηδὲ σύγος [3] Θέμιδος εἰς τὰ πρακτέα,
Τάχα τις ἂν ὕμνος σε Θαρσῶν ἐκρότει·
Ἐπεὶ δὲ σαυτῷ πάντα συγκλείσας ἔχεις,
Ὄγκον δὲ τῶνδ' ἕκαστον οὐ φαῦλον φέρει,
Πῶς οὐκ ἂν οἱ γράφοντες αἰσχύνοιντό σε,

[1] Leg. sive δόρατι (Hom. *Il.* Φ, 113: Δουρὶ βαλών), sive δόνακι.

[2] Anon. in Append. *Anth. Pal.* 229: Ἐκ δέ με παστῶν Νύμφην κἀκ θαλάμων ἥρπασ' ἄφνως Ἀΐδας.

[3] Fort. σύλος?

Ακαδημία Αθηνών / Academy of Athens

Τὸν τῆς καθ' ἡμᾶς ῥητορικῆς βελτίω;
Πλὴν ἡ σιωπὴ συσκιάζει τὸν ϖόθον,
Κρότος δὲ ϖᾶς ἔνδειξιν εὐνοίας ἔχει·
Εἰσπράτ1εται δ' οὖν καὶ τὰ λεπτὰ ϖολλάκις
Ὁ τὸν βαρυτάλαντον[1] ἀθροίζων Φόρον.
Μέχρι μὲν οὖν ἤμελγες ἐκ σ1έρνων γάλα,
Καὶ τὴν τύχην ἔκρυπ1ες ἐν τοῖς σπαργάνοις,
Ὦ καὶ λεόντων σκύμνε, καὶ σκύμνων λέον,
Τὴν τοῦ κράτους ὕπαρξιν ἐσκιαγράφεις
Ἐκ τῶν ἀμυδρῶν τοῦ ϖροσώπου συμβόλων·
Ἐπεὶ δὲ καὶ ϖαῖς τὸ χρυσοῦν ὤφθη βρέφος,
Τὰς ἐμφύτους χάριτας ἐτράνους ἔτι,
Καὶ ταῖς ἐρυγαῖς τῆς μεγαλοφυΐας[2]
Τῶν ϖαιδαγωγῶν τὸν Φορυτὸν[3] ἐπλόεις·
Ἔπειτα δὲ ϖροὔκυπ1ες εἰς μείζω χρόνον,
Ὡς ϖ1όρθος ἡδὺς εὐφυῶς ἀνατρέχων,
Καὶ τῷ μὲν αὐτάνακτι ϖατρὶ συμπνέων
Ἔπρατ1ες ἃ χρῆν καὶ συναντελαμβάνου·
Τῶν γὰρ Φυσικῶν οὐκ ἀπεσκίρτας νόμων,
Ἀλλὰ σὺ μὲν ξύμπαντος ἐκράτεις γένους,
* Σοῦ δ' ἦρχεν αὐτὸς, μὴ νοθευθῇ τὸ κράτος,
Μηδ' ἐκκυλισθῇ τῆς κορυφῆς τὸ σ1έφος,

[1] German. Cpolitan. cod. Coisl. 278, fol. 164 v° : Οὐ γὰρ ἡμεῖς χρήζομεν τούτου βαρυτάλαντοι ὄντες καὶ ϖολυχρήματοι. Id. fol. 199 r° : Ἀλλὰ τὸ ῥῆμα τοῦτο γέγονεν αὐτῷ βαρυτάλαντος μόλιβδος ἐπαιωρηθεὶς τοῦ αὐχένος καὶ κατασπάσας τοῦτον εἰς γῆν. Id. fol. 201 r° : Ὥσ1ε καὶ εἰς ἑτέρων χεῖρας ἀποβλέπειν τὰς βαρυταλάντους. Id. codex Par. 1186, fol. 119 v° : Διατί βαρυκάρδιοι βαρυταλάντοις ἀργυρίοις αὐτὴν ἐπιβρίθοντες.

[2] Infra cx, 10 : Φρόνησιν καὶ μεγαλοφυΐαν. Et cxii, 27 : Βαβαὶ τοῦ ϖαρασ1ήματος τῆς μεγαλοφυΐας. Theod. Stud. cod. Coisl. 94, fol. 215 v° : Τῆς σῆς μεγαλοφυΐας καὶ Θεοσεβείας.

[3] Cod. Φορητόν.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ Χρισὸς ἐσφαίρωσε καὶ ϖροὔτεινέ σοι.
Καὶ μὴν ὅτε ζάλη τις ἡμᾶς ἐθρόει,
Τῆς ἐκ νότου λαίλαπος ἀντιπνευσάσης,
Ἔδειξας ὡς δεῖ τῶν δεδογμένων χάριν
Θεὸν ϖροτιμᾶν καὶ τύχης καὶ Φύσεως.
Γυμνασιικῆς δὲ τῷ βίῳ ϖροκειμένης,
Ἐπεὶ βάσανός ἐσιιν ἀλκῆς τοῖς νέοις,
Ὡς ἂν τὸν ἀτμὸν τῶν χυμῶν καθειργμένον
Ἡ τῶν ϖόρων χαύνωσις ἐξάγῃ ῥύδην,
Καὶ τοῦ καταφράτιοντος ὀργῶντος χρόνου
Πρὸς τὰς μάχας εὔτεχνος ἡ Φύσις μένοι,
Ἵππον μὲν ἐῤῥύθμιζες[1] ἐκ τῶν ἰσχίων,
Τὸ σφίγμα χαυνῶν καὶ τὸ μὴ σφίγγων ϖάλιν,
Καὶ ταῖς ἀγωγαῖς τὰς ῥοπὰς ἀπευθύνων·
Εἶχες δὲ τοῖς ἅλμασι τὰς κνήμας βάσεις,
Μὴ ϖαρενεχθῇ τῆς Φορᾶς ἡ γοργότης.
Ἄγχων δὲ ϖᾶν σκίρτημα κατεῖργες ϖράως,
Καὶ τοὺς ῥυτῆρας ἦγες ἀπλαίσιῳ δρόμῳ·
Σφαῖραν δὲ ϖαρήμειβες ὀξυχειρίᾳ[2],
Καὶ μήτε ῥιπιεῖν μήτε κατέχειν θέλων,
Τοῖς ἐκτιναγμοῖς[3] τὴν σιροφὴν ϖαρεκράτεις.
Ἡ σφαῖρά σοι δὲ τὰς ῥοπὰς ἐκαρτέρει,
* Καὶ τοῖς ἑλιγμοῖς τῆς ἀεικινησίας[4]
Ἑκλεπιεν εἰς ϖλόκανον[5] ἡ χεὶρ τὰς βάσεις,
Κἀν τοῖς ἀναπαύμασι τῶν κάτω δρόμων,
Κἀν τοῖς ῥιπισμοῖς τῶν ϖαρευθὺς ἀνόδων,

[1] Cod. *ἐρύθμιζες*.

[2] Cod. Esc. CCXIII, 80 : *Γυμνασιικῇ ὀξυχειρίᾳ*. De his omnibus exercitationibus cf. Mercurialis *De arte gymnast.* lib. II, cap. III et sqq.

[3] Cf. cod. Par. LI, 8.

[4] Anon. cod. Par. 39, fol. 92 r° : *Ἡ τῇ ϖρὸς Θεὸν ἀεικινησίᾳ διενοήθησαν*. Cf. Philopon. *De anima*, fol. 17 v°.

[5] Cf. supra I, 876.

Ακαδημία Αθηνών / Academy of Athens

Κἀν ταῖς κρεμασταῖς ἁρπαγαῖς τῶν ἐξόδων
Μὴ παρασυρῇ καὶ κατὰ γῆς ὁ δρόμος,
Ἦν ἀντίχειρ ὁ κύκλος ἐνδεῶς ἔχων·
Εἶλκες δὲ νευρὰν τοξικῆς εὐρωστίας,
Τὸ καθάπαξ ἄφυκτον ἐντείνων βέλος,
Καὶ κατὰ θηρῶν καὶ πετεινῶν ηὐστόχεις,
Ὡς ἄλλος οὐδεὶς οὐδαμοῦ γῆς τοξότης·
Τὴν μὲν γὰρ εὐώνυμον ἐστηριγμένην,
Τὴν δ' αὖ γε λοιπὴν εἰς τὸ συνέλκειν φέρων,
Καὶ μέχρις ἀκμῆς εὐσθενῆ δρῶν τὴν τάσιν,
Τὸ λαμπρὸν ἠκόντιζες εὐσκόπως βέλος·
Οὗ τὸ στερὸν φρικῶδες εὐθὺς ἐκτύπει
Τὸν ἀέρα πλήτλοντος ἐκτόπῳ ῥύμῃ.
Πάλης δὲ καιρὸς οὐ προσεσπούδασταί σοι·
Ποῖος γὰρ ἂν ἦν εἰς τοσοῦτον αὐθάδης,
Ὅσον βασιλεῖ συμβαλεῖν παγκοσμίῳ,
Καὶ πῦρ ἐνεγκεῖν ὑπὸ γυμνῷ σαρκίῳ,
Μᾶλλον δὲ σαρκὸς οὐρανοδρόμου θίγειν,
Εἰ μὴ θανατῶν πρὸς τὸ πᾶν ἐδυσφόρει;
Καὶ μὴν ὅσην τέτευχεν εὐαρμοστίαν
Τοῖς καθόλου σφίγμασιν ἡ πλάστις Φύσις,
* Ὡς εὐδοκιμεῖν καὶ κατ' αὐτὸ δὴ τόδε,
Τὴν σήν, βασιλεῦ, παντοδαπὴν ἀνδρίαν[1]
Ἔδειξε σαφῶς ἡ περὶ τἄλλα σχέσις,
Ἕως ἀπ' αὐτῶν μέμψις οὐκ ἦν τῷ χρόνῳ·
Τὸ γὰρ φέρειν θώρακα καὶ δόρυ στέγειν
Ἐν τῇ κατὰ πρόσωπον ἱππηλασίᾳ
Ῥᾷστον παρά σοι καὶ πρὸ τῆς ἡλικίας·
Ἔκλας δὲ πᾶν ἔνικμον ἢ κραῦρον ξύλον,

[1] Cod. ἀνδρείαν.

Ακαδημία Αθηνών / Academy of Athens

Ὡς κάρφος οὐδεὶς οὐδὲ καλάμην θέρους·
Ἀφ' οὗ δ' ὁ πατὴρ τὸν βαρὺν χοῦν ἐξέδυ
Τῶν βασιλικῶν ἀπανασλὰς[1] φροντίδων,
Σὺ τοῦ κράτους ἄγρυπνος εὑρέθης φύλαξ·
Καὶ πρῶτα μὲν τὸ σχῆμα τῆς ἐκκλησίας
Εἰς τὴν ἀκατάσεισλον ἕδρασας βάσιν,
Καὶ πᾶσαν αὐτῇ συμβαλὼν ἀποσπάδα,
Καὶ τοῦτ' ἀπαρχὴν τῷ θεῷ δοὺς τοῦ κράτους,
Εἶτα προχωρεῖς εἰς τὰ λοιπὰ τῆς τύχης,
Καὶ τῶν μὲν ἐθνῶν τὰς παρατάξεις λύεις,
Στρατευμάτων ἄπειρον ἰσχὺν συλλέγων·
Καὶ τὸ ξίφος πρόκωπον εἰς πάντας φέρων,
Οὓς εἶδεν ἐχθροὺς ὁ δρομεὺς τότε χρόνος,
Τῷ δὲ κράτει σχοίνισμα τὰς πράξεις δίδως
Αἷς βαρβάρων ἥρηκας ἀρχισατράπας[2],
Καὶ πᾶσαν ἁπλῶς δυσμενῶν ὁμαιχμίαν,
* Ὡς ἄχρις Ἰνδῶν καὶ Σκυθῶν καὶ Περσίδος
Καὶ γῆς Ἰταλῶν καὶ Μυσῶν πολυσπόρων,
Τὴν σὴν διελθεῖν εὐχερῶς κραταρχίαν·
Ποῖος γὰρ οὐκ ἔγνω σε πορθμὸς δεσπότην;
Ἢ τίς ὅλως ἤπειρος ἐκπέφευγέ σε;
Καὶ μαρτυρεῖ θάλασσα καὶ γῆ τὰς νίκας,
Ὅσας βραχὺς ἔσλησε τῷ[3] κράτει χρόνος·
Ὡς πῦρ γὰρ εὐθὺς ἐκ νεφῶν διηρμένον,
Ἐφαίδρυνας μὲν τὴν φυὴν τῶν ἐμφρόνων,
Εὐεργεσιῶν δαψιλῇ φῶτα βλύσας·

[1] Cod. Esc. CCXIX, 11 : Καὶ τῆς χοϊκῆς ἀπανασλάντα σλέγης.

[2] Xanthop. *Synaxar.* cod. Par. 1585, fol. 14 r° : Ὁ γοῦν ἀρχισατράπης Σάρβαρος τὴν ἕω λῃϊσάμενος ἅπασαν, ἔφθασεν ἄχρι καὶ τῆς Χρυσοπόλεως, ἣ νῦν Σκουτάριον καλεῖται.

[3] Pro τῷ fort. σῷ.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐξίκμασας δὲ τὴν σπορὰν τῶν ἀφρόνων,
Ὀργῆς ἐπ' αὐτοὺς δρασικῆς πνεύσας φλόγα.
Εἶχες δὲ κέντρον τῇ ψυχῇ πεπηγμένον,
Αὐτοκράτορ μέγισε, τὸν θεῖον φόβον,
Εὔκυκλον ἰσῶν τὴν στροφὴν τῶν πραγμάτων.
Ἐπεὶ δ' ὁ βαρὺς τῶν κακῶν ἤρθη κλύδων [1],
Καὶ θυμὸς ἐκλόνησε τὴν γῆν ὑψόθεν,
Καὶ συντριβῆς χάλαζα [2] κοινῆς ἐῤῥάγη,
Καὶ πῦρ καθ' ἡμῶν ἐξετινάχθη βρέμου,
Ἐκοίμισας μὲν τὴν κατασχοῦσαν ζάλην,
Καὶ τὸ σκάφος σέσωκας ἐν χρῷ [3] κινδύνου·
Ἐξήγαγες δὲ τὸν θορυβοῦντα κλόνον,
Στερῤῥὰν τετευχὼς τῷ [4] θεῷ τὴν ἐλπίδα·
Τῆς δὲ τρίτης [5] ἔσβησας ὀργῆς τὴν ῥύμην,
* Ἀποκρύφοις δάκρυσι τὴν φλόγα σβέσας.
Εἰ μὴ γὰρ αὐτὸς ἀντὶ πάντων εἷς μένων
Τὸν δεσπότην ἔπειθες οἰκτείρειν πάλιν,
Ποῦ κόσμος ἂν ἦν; ποῦ δὲ Ῥωμαίων γένη;
Ποῦ δὲ στρατηγοί; ποῦ δὲ τὸ κράτος τόδε;
Νυνὶ δὲ σὴν δήπουθεν ὁ χρίσας χάριν
Τείνων τὸ τόξον ἐκλύει τὸ σύντονον,
Κἀν τῷ ταραχθῆναί σε τὸν δοῦλον μόνον
Ἐκεῖνον ἀφεὶς τοὺς ἐν ὀργῇ κινδύνους [6]
Εὐσπλαγχνίας δίδωσι μισθοὺς ἐμφύτου.
Τὸν κοινὸν οὖν φύλακα τίς μέλψει κρότος,
Μᾶλλον δὲ τὸν σωτῆρα τοῦ παντὸς γένους;

[1] Supra XLIII, 7 : Ὅταν ὁ βαρὺς τῶν κακῶν ἤρθη κλύδων. Cod. Par. XL, 80 : Κοιμίζεται γὰρ συμφορῶν μέγας κλύδων.

[2] Cf. supra I, 554.

[3] Cf. cod. Par. XVIII, 134.

[4] Fort. ἐν pro τῷ.

[5] Dicere videtur respectu τρικυμίας in mari procelloso.

[6] Cum ἀφεὶς exspectes τῶν κινδύνων. Fort. τοῦ σὺν ὀργῇ κινδύνου.

Ακαδημία Αθηνών / Academy of Athens

(Ἐβάσιασας γὰρ τὰς ἐπελθούσας[1] νόσους
Ἑκὼν ὑποσχὼν ὁ πραῢς τὸν αὐχένα·)
Πῶς ἂν λόγων δύναιτο σεμνύνειν κράτος;
Ὁ γοῦν ἐπαινῶν τὴν Σολομῶντος Φύσιν
Σὲ μᾶλλον αὐτοῦ μὴ φθονῶν θαυμαζέτω·
Σὺ γὰρ, βασιλεῦ, καὶ Σολομῶντος πλέον,
Ὡς καὶ βασιλεῖς, οὐ βασιλίδας μόνον,
Εὐγλωτιίας[2] πόῤῥωθεν ἑλκύσας βρόχοις·
Καὶ πᾶν δέ σου τέθηπε τὴν Φύσιν γένος,
Ὡς ἀέρος κίνησιν, ὡς φωτὸς χύσιν,
Ὡς ἡλίου δύναμιν, ὡς πῦρ, ὡς ὕδωρ·
Φρονήσεως γὰρ ἀσφαλεῖ δόξῃ βρύεις,
* Καὶ καρδίας χύματι κοσμεῖς τὸ κράτος.
Κἂν οὐδὲ ταῦτ' ἦν ὑπὲρ ἀνθρώπου Φύσιν,
Ἀλλὰ τό γε πρόσωπον ἀπόχρη βλέπειν·
Ποῖον γὰρ ἂν ἔτερψε λειμῶνος ῥόδον
Ἢ λωτὸς ἢ νέκταρος ὡς τοῦτο δρόσος;
Αἳ λειποθυμῶ[3], καὶ σὺν ἐκπλήξει βλέπω
Τοσοῦτον ἔργον βασιλικῆς Φύσεως·
Οὐ δύναμαι γὰρ οὐδ' ὁπωσοῦν τι κρίνειν,
Ἀλλὰ παρευθὺς καρδιώτιω καὶ τρέμω·
Καὶ τὰς κόρας ἄῤῥητος ἀμβλύνει γνόφος,
Ὡς ἡλίου βάσανος ἐν μεσημβρίᾳ.
Ὅταν δέ σου, κράτισιε, τὰς χεῖρας βλέπω,
Καὶ τάσδε Φειδοῖ[4] καὶ μετ' αἰδοῦς καὶ Φρίκης
Ἐπηλυγασθεὶς εἰς τὸ τοῦ δήμου κνέφας,
Τοὺς μὲν χορηγοὺς τῶν ἀγαθῶν δακτύλους
Κοσμοτρόφου γάλακτος ἐκβλύσεις κρίνω,

[1] Cod. ἐπεχθούσας.
[2] Cf. cod. Vat. xi, 5.
[3] Cf. supra xciii, 9.
[4] Fort. Φιλῶ.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ δ' ἄλλο πᾶν κρύσταλλον εἰς ξένην ζέσιν,
Ἐπεὶ τὸ λευκὸν πορφυροῦσιν αἱ φλέβες,
Καὶ φωτοειδῆ τινα κιρνῶσι χρόαν.
Ὦ πῶς, βασιλεῦ, καὶ τὸ τῶν λόγων σθένος
Αἱ προσχύσεις κρύπτουσι τῶν χαρισμάτων!
Τοὺς γὰρ βασιλεύσαντας ἐκ πλείστου χρόνου,
Καὶ τὴν τύχην δείξαντας ἐκ τῶν πρακτέων,
Ἡ σὴ Φύσις τίθησι πιθήκους μίμους,
* Λέον πρὸς αὐτούς, εἰ παραβάλλοιντό σοι
Κατὰ τὸν ἁρμόζοντα τοῖς κρότοις νόμον.
Ἀλλ', ὦ βασιλεῦ, τῆς ἐμῆς γλώττης χάρις,
Μᾶλλον δὲ φῶς ἄδυτον ἐν τῇ καρδίᾳ,
Κἀν τῷ χρόνῳ ξύμπαντας ἀνθρώπους νίκα,
Καὶ χρῶ σεαυτῷ κατὰ τῆς φαύλης τύχης,
Ὑφ' ἧς ἀπαχθεὶς οὐδ' ἀναπνεῖν ἰσχύω·
Καὶ ζῆθι λαμπρῶς εἰς τὰ σεμνὰ τῆς τύχης·
Ζωὴ γὰρ ἡ σὴ τοῦ τὸ πᾶν ζῆν αἰτία·
Ναὶ μηδενὶ γένοιτο τῶν ὑπὸ χρόνον
Βιοῦν ἄτερ σου τῆς ψυχῆς τῶν πραγμάτων·
Ἕως δ' ἂν ἡ σύμπασα τυγχάνοι κτίσις
Τῷ τοῦ βίου σχήματι συντεθειμένη,
Παντὸς[1] πάθους ἄγευστος ὀχλοῦντος μένοις,
Κἂν πάντα ῥυῇ τῆς Φθορᾶς τῇ συγχύσει,
Τῆς παραγωγῆς ταῖς γοναῖς πεπαυμένης,
Σοῦ δὴ μόνου, κράτιστε, μὴ θίγοι φθίσις·
Ἐγὼ δέ σοι προὔθηκα τοὺς δεῦρο κρότους,
Φράσαι μὲν ἰσχύσαντας οὐδέν τι πρέπον,
Γνώρισμα δ' οὖν ἔχοντας εὐνοίας μέγα·

[1] Idem versus supra XCII, 46.

Ακαδημία Αθηνών / Academy of Athens

Ὃ γὰρ ἀπ' ἀρχῆς εἶπον εὐθὺς τῶν λόγων,
Οὐδέν τι κοινὸν πρὸς τὸ πᾶν ἔχεις γένος.

XCVI. Πρός τινα Πόθον[1] λεγόμενον.

Ἰδοὺ παρ' ἡμῖν ἀπὸ λαμπρᾶς τῆς τύχης
* Καὶ πασιάδες καὶ δεῖπνα καὶ πανηγύρεις.
Εἰς γὰρ ἔφηβόν τινα τῶν δεῦρο ξένων
Γραῦς ἦλθε νυκτὸς, Ἀφροδίτη μὴ φθόνει,
Καὶ τοῖς νόθοις κρύψασα τὴν σχέσιν γάμοις
Νῦν φανεροῖ τὸ δρᾶμα καὶ ζητεῖ γάμους,
Οὓς οἱ νόμοι κρίνουσιν ἀσφαλεσιέρους·
Ἐγὼ μὲν οὖν πήγνυμι τῷ τούτων βίῳ
Νυμφῶνα καινὸν εὐγενεῖς δρῶν τοὺς τόκους·
Ὄψον δὲ τοῖς ἔρωσι τοῖς ἀποκρύφοις,
Ὃς ἂν μένοι γνώρισμα λοιπὸν τῷ χρόνῳ,
Αἰνιγματωδῶς[2] τράγον αὐτὸς εἰσφέρω,
Καὶ ποικίλοις κέρασι κλεψιγαμίας[3]
Ἴσημι τὸν θάλαμον ἀμφοῖν τὸν μέγαν,
Σὺ δ' εὐθὺς αὐτόκλητος ἐνθάδε τρέχων
Ἅρπαζε μισθοὺς ὁ χρυσοῦς ὄντως Πόθος,
Καὶ τοὺς φίλους δείπνιζε καὶ νυμφοσιόλει,
Κριὸν παρασχὼν ὃν πρὸ τῶν λέκτρων θύσω·

[1] «Hoc ipsum Πόθου cognomen φίᾳ, ὃς εἰς τύπον Χρισιοῦ αἰνιγματωδῶς παρελήφθη. Germ. Cpol. cod. Coisl. 278, fol. 122 v° : Ὃ γὰρ καὶ εἶδον αἰνιγματωδῶς εἶδον καὶ ὡς ἐν ἐσόπιρῳ.

Joanni quoque Pediasimo, sive Galeno inditum fuit, utpote iambici carminis, *De muliere mala et bona*, Πόθος inscripti, auctori, qui quum eodem sæculo XIV floruerit, quo Manuel Phile, eumdem illum sub hoc nomine intelligi quid prohibet?» Band.

[2] Theod. Stud. *Epist.* p. 93 D : Τοῦ τε ὄφεως ἀπεμφαίνοντος τῇ θηριομορ-

[3] Cf. supra LVI, 1. Philo Carpath. *In Cantic. cant.* p. 10 : Κλεψιγάμοις εὐναῖς. Vocibus κλεψιλογέω et κλεψιλόγος ditari possunt lexica : hanc invenies, p. 92 edit. nostræ Φιλοσοφουμένων, illam p. 255.

Μᾶλλον δὲ καλλώπιζε τὴν συναυλίαν[1],
Κοινοὺς φέρων, ὅ φασι, τοῖς γάμοις ἄλας[2].

XCVII. Ἐπιτάφιοι[3].

Ἀλλ' οὐδὲ Παχώμιος[4], ὦ γῆ καὶ χρόνε,
Παχώμιος τὸ θαῦμα τῶν Δωριέων,
Τὸ κοινὸν ἐκπέφευγε τῇ φύσει χρέος·
Εἰσπράττεται γὰρ καὶ τὸ ληφθὲν ἐκτίνει
Μετὰ τόκου μάλισθα τῶν πεπραγμένων,
Ὃς ἀπὸ θηλῆς τῷ θεῷ δοὺς τὸν βίον,
Καὶ ταῖς ἀγωγαῖς τὸν Σατὰν καταισχύνας,
Μετὰ πανακμὴν τοῦτον οἰκεῖ τὸν λίθον·
Μᾶλλον δὲ τὸν θύλακον ἐκδὺς ἐνθάδε
Πρὸς οὐρανοὺς ἐκεῖνος ἀνέπλη, ξένε,
Καὶ παρὰ τοῦ βλέποντος εἰς τὰς καρδίας
Τὴν τῶν πόνων εἴληφεν ἀντιμισθίαν[5]·
Σὺ δὲ βλέπων θαύμαζε τὰς δεῦρο κτίσεις,
Ἃς αὐτὸς ὠργάνωσεν ἐκ γῆς πυθμένων
Τῷ δημιουργήσαντι κοινῇ τὴν κτίσιν,
Ἀλλὰ παρεὶς ἅπαντα παπαὶ τῷ χρόνῳ
Καὶ τῆς τιμῆς τὸν ὄγκον ὡς οὐδὲν πλέον
(Ἦν γὰρ περιὼν πρωτοσύγκελλος[6] μέγας)
Ἀπῆλθε γυμνὸς τῆς ὑποσπώσης[7] ὕλης·
Δοκεῖ δε σιγῶν ἡσυχῇ λέγειν τάδε·
Ὅσις ἂν ἦς, ἄνθρωπε, τὸν τάφον σκόπει,

[1] Cod. Esc. CLXXX, 26 : Ἡ τῶν μοναχῶν τῶν ἐμῶν συναυλία.

[2] Cf. *Thesaur.* t. I, col. 1580 B, et Schott in Zenob. *Prov.* 1, 62.

[3] Cod. M. fol. 77.

[4] Vid. supra LXXIV, 1.

[5] Supra 1, 714 : Ὡς ἂν ἔχοι τέρπουσαν ἀντιμισθίαν.

[6] Cod. πρωτοσύγγελος.

[7] Infra CVII, 9 : Τῷ βαρεῖ τῆς ὑποσπώσης ὕλης. Conf. cod. Par. x, 16, et *De animal.* 1818.

Καὶ τοῦ βίου μάνθανε τὴν ἀπισ|ίαν,
Τὸν Βροντοχίου[1] δεῦρο νεκρόν με βλέπων·
Ὃς πᾶν ἀγεννὲς πεπραχὼς φεῦ τῷ χρόνῳ
Κεῖμαι καλυφθεὶς, φροντιεῖ μου δ' οὖν πάλιν
Ὁ ζῶν ἰατρὸς τῆς ἀποκρύφου νόσου.

XCVIII. Εἰς τὸν ξενῶνα πρωτοσ|ράτορος τοῦ Γλαβᾶ.

Τὴν καταγωγὴν τῶν ἐπινόσων[2], ξένε,
Ἣν ὡς ἀλεξίκακον ἐνθάδε βλέπεις,
* Πάλαι μὲν ὑπέθηκεν ὁ πρωτοσ|ράτωρ
Εὐσπλαγχνίας πένησιν ἑδράσας βάσεις·
Πρωτοσ|ράτωρ ἐκεῖνος, ᾧ γῆ καὶ χρόνε,
Τῆς φύσεως ὁ κόσμος, ἡ κοινὴ χάρις·
Γλαβᾶς ὁ λαμπρὸς τὴν φυὴν καὶ τὴν τύχην,
Οὗ τὴν σπάθην ἔφριξε πᾶν δύσνουν γένος.
Ἡ σύζυγος δὲ καὶ τρυγὼν ἡ κοσμία
Κομνηνοφυὴς ἡ Παλαιολογίνα,
Ἡ χαρίτων γέμουσα παντοίων φύσις,
Ἡ δρασ|ικὴ φρόνησις, ὁ πρᾷος τρόπος,
Ἡ συμπαθὴς μάλισ|α καὶ πλωχοτρόφος,
Τοῦ συννόμου σ|έργουσα καὶ τὰς ἐμφάσεις
Καὶ τοὺς ἀμυδροὺς ἐν τελευταίοις λόγους
Εἰς ἄβρὰν[3] ὠργάνωσεν εὐαρμοσ|ίαν·
Οὐ γὰρ ἓν εἰσήνεγκε τῶν δηναρίων,
Οὐδ' οἶνον, οὐδ' ἔλαιον, οὐδ' οἶκτον μόνον·
Ἀλλ' οὐδ' ἑνὸς δήπουθεν ἀλγοῦντος χάριν,
Οὐδ' εἰς τὸ λοιπὸν ἐλπίσασα τοῦ χρόνου,
Τὸ πᾶρὸν ἐξέλυσε τῆς εὐσπλαγχνίας,

[1] Βροντόχιος, cognomen Theodori cujusdam, invenitur ap. Montfauc. *Paæogr.* p. 67. — [2] Cod. τῶν ἐπὶ νόσων. — [3] Fort. ἁδράν.

Ακαδημία Αθηνών / Academy of Athens

(Ὅ φησι Χρισὸς ϖαιδαγωγῶν τὸν βίον,
Καὶ ϖρὸς τὸ φιλάνθρωπον ἡμᾶς ὀτρύνων,
Ὃς τὰς νόσους ἤνεγκε τὰς ϖαγκοσμίους,)
Ὅλον δὲ συνήγαγε μικροῦ τὸν βίον,
Ἂν ᾖ δυνατὸν, εἰς τὸ ϖᾶν κάμνον γένος,
* Ἴσῃσι λοιπὸν τὸ ϖρυτανεῖον τόδε,
Πολυτρόπους νείμασα ταῖς χρείαις ϖόρους
Ὡς ἂν ἀγαθῇ συμπαραμένοι [1] τύχῃ,
Καὶ τῶν ϖεριτῶν μὴ σπανίζοι τῷ χρόνῳ·
Ἐνίδρυται δὲ τῇ φιλοξένῳ σλέγῃ
Ὁ ϖαρθενικὸς τοῦ Θεανθρώπου [2] θρόνος,
Ὃν ἀγγέλων, βέλτισλε, κυκλοῦσι τρόπον
Οἱ μυσλικοὶ σωτῆρες οὓς δεῦρο βλέπεις·
Ὁ γὰρ ἰατρὸς τῶν ψυχῶν καὶ δεσπότης,
Ὃς καὶ ϖάθη τρύχοντα σωμάτων λύει,
Καὶ τῶν ὀδυνῶν τὰς λαβὰς [3] ἀνατρέπει,
Σωτηρίας φάρμακα μιγνὺς ἀφθόνου,
Κἀν τοῖς τύποις ϖάρεσλι καὶ βλέπει τάδε·
Σκοπεῖν γὰρ εἰκὸς τὸν βραβευτὴν τὸν μέγαν,
Μή ϖού τις ἢ ῥάθυμος ἢ κλωὼψ ἐνθάδε,
Μηδ' αὐθάδης ἄνθρωπος ἐξ ἀσπλαγχνίας
Πρὸς τοὺς ταπεινοὺς καὶ ϖαραλελυμένους·
Ἄλλως δ' ἂν οὐκ ἄμισθος ἡ ϖρᾶξις μένοι,
Καὶ τῇ σχέσει ϖρέπουσα τῶν δειμαμένων·

Οὕτω φρονεῖν δεῖ καὶ συνισλᾶν τὸν βίον,

[1] Elias Monach. cod. Par. 362, fol. 243 v° : Συμπαραμενέτω τῷ νῷ ἡ εὐχή.

[2] Epitheton Christi. German. Cpol. cod. Coisl. 278, fol. 57 v° : Πρὸς τὴν ὑπὲρ τῶν ϖροβάτων ἀγάπην τοῦ Θεανθρώπου Χρισλοῦ. Id. *ibid.* fol. 201 r° : Ἐπάγει καὶ ὁ ἐκ Δαβὶδ τὸ κατὰ σάρκα Θεάνθρωπος. Adjectivum Θεανθρωπικός, e lexicis exulans, usurpat Joseph. Rhacendytes, codex Paris. 3031, fol. 166 r°.

[3] Cf. supra XLIII, 13.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῷ θεῷ τὸ πλεῖστον εἰσφέρειν μέρος·
Οἱ γὰρ κάτω χαίνοντες ἐξ ἀπληστίας,
Ἄνω δὲ μὴ βλέποντες ἐξ ἀβουλίας
Παραβόλῳ θνήσκουσι δυσελπιστίᾳ.
Θεὸς μὲν οὖν ἔχει σε τὸν λάτριν πάλιν,
* Καὶ βασιλεὺς τὸν ἄνδρα, τὸν νοῦν τὸν μέγαν,
Θρᾷκες δὲ τὸν σωτῆρα καὶ προμηθέα,
Αὐτὸς δὲ Φιλῆς τὸν χρυσοῦν εὐεργέτην.
Τοῦ σώματος γὰρ ἡ κατὰ λόγον πλάσις
Ἀνατρέχει καθάπερ εὐστοχὴς γίγας
Εἰς τὴν ἀρίστην κρᾶσιν, ἣν πρὶν ηὐτύχει·
Γένοιτό σοι γοῦν ὀλβιῶσαι τὴν τύχην,
Καὶ κρείττονα σχεῖν τῆς ὑπαρξάσης πάλιν
Ἐπὶ χρόνον μήκιστον οἷς ἔτι δράσεις,
Παλίμβιον φῶς, ἄκος ἀλγούσης τύχης,
Φίλων προμηθεῦ καὶ σφαγεῦ τῶν βασκάνων [1].

XCIX. Πρὸς τὸν αὐτοκράτορα, διαναστῆναι αὐτὸν κατὰ τῶν συκοφαντῶν ἱκετεύοντος.

* Τοιοῦτος ἡμῖν εὑρεθεὶς, αὐτοκράτορ,
Οἷος [2] λογισμοὺς καρδιῶν ἀποκρύφων
Καὶ σκέμμα καὶ βούλευμα πᾶν οὕτω βλέπειν,
Ὡς ἄλλος οὐδεὶς τὸ προκείμενον τάχα.
Τί μὴ τὸ τοῦ νοῦ δαψιλὲς φῶς ἐκχέας
Τῶν συκοφαντῶν ἐξελέγχεις τὸν δόλον;
Τί μὴ τὸ πυκνὸν τῆς ἐμῆς λύπης νέφος [3]
Θερμῇ λογισμῶν ἐξελαύνεις αἰθρίᾳ [4];

[1] Versus LXXII numerat Bandini.

[2] Cod. *οἷς*.

[3] Cod. Esc. CCVI, 6 : Τὸ *τῆς λύπης ἄδηλον ἐκθλίψας νέφος*. Cod. Par. LXI, 6 : Τὸ *ψυχρὸν ἐξίκμασε τῆς λύπης νέφος*. Id. LXIII, 6 : Ὁ *χειμὼν τῆς λύπης*.

[4] Cod. Par. CCVII, 90 : Ναὶ *δεῖξον ἡμῖν τῆς ψυχῆς τὴν αἰθρίαν*. Marc. An-

Ακαδημία Αθηνών / Academy of Athens

Τί μὴ τὸν ἀτμὸν τῆς ψυχῆς ἐξικμάσας,
Καὶ τὸν ϖαραμείναντα λεπλύνας γνόφον,
Τὴν τῶν ϖονηρῶν ἐκκαλύπλεις αἰσχύνην,
Ὡς ἐν καθαρᾷ, βασιλεῦ, μεσημβρίᾳ;
Τί μὴ κατ' αὐτῶν ὡς κυνῶν ὀλεθρίων
Θήρατρον [1] ὀργῆς εὐτρεπίζεις ἐνδίκου;
Τί μὴ δὲ Θυμοῦ ϖῦρ [2] ἐπιβρέχεις φλέγον
Τῇ νυκτερινῇ τοῦ Σατὰν ὁμαιχμίᾳ;
Τίς γὰρ κατά σε τὸν σοφὸν, τὸν ἀγχίνουν,
Τὸν ὑπὲρ ἡμᾶς, τὸν ϖυρίπνουν [3], τὸν μέγαν,
Ὁρᾷ σλοχασμοῖς τεχνικοῖς καὶ συμβόλοις
Ψυχῆς ϖονηρᾶς δυσδιάκριτον δόλον,
Ἢ ϖῦρ λογικὸν ἐνσαλεῦον [4] ταῖς δίκαις,
Ποιεῖ σποδιὰν τῶν κακῶν τοὺς ἐργάτας,
Τὸν ζῆλον αὐτοῖς ἐκτινάσσων ὡς φλόγα;
Τί νυκτομαχῶν [5] καὶ σφαδάζων ὁ Φθόνος
Σοβεῖ ϖρὸς ὀργὴν τοὺς ταχεῖς μωμοσκόπους;
Τρυφὴ γάρ ἐσλι τοῖς κριθεῖσι ϖρὶν Φίλοις
Ἡ τῶν ϖονηρῶν κατ' ἐμοῦ γλωσσαλγία.
Στῆθι Φινεὲς [6], ἴδε τὴν Θραῦσιν ὅση,
Καὶ σφάτλε γοργῶς τῷ ϖροσήκοντι ξίφει
Τὸ ϖορνικὸν σύνταγμα τῶν μιαιφόνων·
Οὐ γὰρ φέρω τὴν ὕβριν ἠδικημένος,

ton. VIII, 28 : Ἀλλ' ἔξεσλιν αὐτῇ (τῇ ψυχῇ), τὴν ἰδίαν αἰθρίαν καὶ γαλήνην διαφυλάσσειν.

[1] Supra LXXX, 31 : Κρότων Θήρατρον. Id. *De animal.* 13 : Θ. εὐνοίας. *Ibid.* 467 : Ἡδονῆς Θ.

[2] Supra XXXV, 17 : Πῦρ ψυχῆς.

[3] Cf. I, 228. *De animal.* 694 : Δράκοντας ϖυρίπνους. Meliten. 172 : Ἢ δράκοντας, ἢ λέοντας, ἢ Θῆρας ϖυριπνόους. Id. 455 : Καὶ ϖυριπνόας τὰς ϖνοὰς ϖέμπον καὶ φλογιζούσας. Id. 701 : Τῶν ϖυριπνόων ζῴων.

[4] Fort. ἐνσαλεύων.

[5] Cod. Par. LXIV, 12.

[6] *Numer.* XXV, 7 et seq.

Ακαδημία Αθηνών / Academy of Athens

Οὐδ' ἔσλι μοι ζῆν ἀσφαλῶς ἐν αἰσχύνῃ·
Σίγα[1] Σολομὼν, βασιλεὺς ἐμὸς κρίνει,
Καὶ σὺ[2] δικασλὴς εὐσλοχώτατος κρίνει.
Σίγα Σολομὼν, εἰ δὲ τέθνηκας πάλαι,
Σοφώτερόν σου πάλιν ἡ κτίσις ἔχει.

C. Τοῦ αὐτοῦ ἀναφορὰ[3] εἰς τὴν δέσποιναν.

Δέσποινά μου, τολμῶντι συγγίνωσκέ μοι·
Καὶ γὰρ ὁ καπνὸς[4] καὶ τὸ πῦρ τῆς καρδίας
Δριμὺν λόγων οἴσουσιν εἰκότως βρόμον,
* Ἐπεὶ τὸ θαῤῥεῖν ὡς διέξοδον δίδως,
Μήπως τὸ λυποῦν ἐγχρονίσαν εἰς βάθος
Κατασκεδασθῇ τῆς ψυχῆς πρὸς ἀγχόνην.
Δέσποινά μου, πεινῶντα, διψῶντα, ξένον,
Γυμνὸν, ταπεινὸν, δυσλυχῆ, τεθλιμμένον,
Δέσποινα φιλόπλωχε, μὴ παραδράμῃς·
Ἐτῶν γὰρ ὀκτὼ δυσπραγεῖν κατεκρίθην,
Εἰκῇ παρελθὼν ὡς κενὴν τὴν ἑβδόμην[5],
Ἣ κάματος[6] πᾶς καὶ πόνος κουφίζεται.
Δέσποινά μου, δέσποινα, συγγίνωσκέ μοι·
Βοῶ γὰρ ἀλγῶν ἐκ παθῶν ἀποκρύφων,
Οὐδὲν δὲ καινὸν εἰ τὸ φάρμακον βλέπων
Τὸ τραῦμα γυμνὸν τῆς ψυχῆς μου δεικνύω.

[1] Ad marginem codicis : Ἐνταῦθα Φιλῆς φλυαρεῖ διαῤῥήδην.

[2] Fort. σοῦ — εὐσλοχώτερος, quod mutaverit scriba, blasphemare veritus. Vide ultimum versum.

[3] Variæ sunt hujus vocis, ἀναφορά, acceptiones ac sensus : de qua vide quæ notat Bandini.

[4] Cod. Par. CXXII, 20 : Δριμὺς ὁ καπνὸς τῆς ἐμῆς φρεῦ καρδίας. Id. CXLIX, 83 : Καὶ γὰρ ὁ καπνὸς τῆς ψυχῆς ἀνατρέχει. Supra I, 488 : Θυμοῦ δὲ καπνὸν τοῖς πονηροῖς ἐγχέει.

[5] *Levitic.* XXV, 4 sqq.

[6] Eurip. *Bacch.* 66 : Πόνον ἡδὺν κάματόν τ' εὐκάματον.

Ακαδημία Αθηνών / Academy of Athens

Τίς[1] γὰρ θεωρῶν ἢ σκιὰν δένδρου ξένην,
Ἢ νᾶμα πηγῆς ἐκρεούσης ἀφθόνως,
Ὅταν ἔχοι φρύγουσαν ἐν θέρει ζέσιν,
Οὐ τῆς παρ' ἀμφοῖν ἀπολαύει χάριτος;
Ἢ τίς μαρασμῷ συσταλεὶς ὑπὸ κρύους
Οὐ τέρπεται ζῶν εἰς τὸ φῶς τῆς αἰθρίας;
Ἢ τίς τελευτᾶν κινδυνεύων ἐν ζάλῃ
Πρὸς ὄρθρον[2] ἐλθεῖν ἀσμένως οὐ βούλεται;
Δεῖξον, σελήνη, τοῦ κράτους τὸν ἥλιον[3].
Ναὶ δεῖξον αὐτὸν εὐμενῆ γίγαντά μοι,
Τὸ τῶν λυπηρῶν ἐκδιώκοντα σκότος[4].
Καὶ γὰρ ὁ χειμὼν[5] τῆς ἐμῆς ἁμαρτίας
Ἀποστροφῆς πήγνυσιν ἀτμῶδες νέφος,
* Ὃ δὴ προχωρεῖν οὐκ ἐᾷ μοι τὴν ζέσιν.
Ὑπερτάτη δέσποινα, συγγίνωσκέ μοι·
Εἰ μὴ γὰρ ἡμῖν ἐκ γυναικὸς ὡράθη
Τὸ φῶς τὸ καινὸν, τῶν ψυχῶν ὁ νυμφίος,
Οὐκ ἂν ὁ παχὺς τῆς φθορᾶς ἤρθη γνόφος[6].
Εὔσπλαγχνε, μακρόθυμε, συγγίνωσκέ μοι·
Ζῶ καὶ θανατῶν· εἰ δ' ἐπιπνεύσεις μόνον,
Ζωηφόρον δέσποιναν[7] ἡ κτίσις ἔχει·
Ποῖος γὰρ ἄλλος ὑπὲρ ἡμῶν φθέγξεται,
Λήμματος οὐ παρόντος, ὦ δίκη, σκόπει.

CI. Εἰς τὸν αὐτοκράτορα.

* Ἥλιε, τὸ πρόσωπον ἐμφάνιζέ μοι,

[1] Ad oram codicis : ὡραῖον.
[2] Leg. ὅρμον.
[3] Cf. supra LXIII, 13.
[4] *De anim.* 49 : Φῶς ἄνωθεν ὠθοῦν τὸ σκότος. Cf. cod. Par. XCI, 8.
[5] Conf. infra CI, 41, et cod. Escur. CLXXXIII, 4. Cod. Par. LV, 40 : Ῥυεὶς ὁ χειμὼν τῆς ἐμῆς ἁμαρτίας.
[6] Cf. cod. Esc. CLXXX, 5.
[7] Cod. δέσποινα.

Ακαδημία Αθηνών / Academy of Athens

Ὃ τὰ σλίφη κρύπλουσι καθάπερ νέφη·
Σοῦ γὰρ δίχα ζῆν οὐδὲ μετρίως ἔχων,
Ἐπεί με συχνὸς ἐντυχεῖν εἶρξε χρόνος,
Ὡς ἐκ νόσου κέκμηκα καὶ ϖαραπνέω.
Ἥλιε, τὸ ϖρόσωπον ἐμφάνιζέ μοι,
Ὃ τῶν ἀηδῶν ἐξελαύνει τὸν ζόφον [1],
* Θάλπει δὲ καὶ ῥιγοῦντα καὶ φρίσσοντά με,
Καὶ ϖαντοδαπῆς ἀξιοῖ μεσημβρίας,
Ὅταν ὁ χειμὼν [2] τῆς ἐμῆς ἁμαρτίας
Τὸ τῆς τύχης δύσοισλον ἐκμαίνῃ ψύχος.
Ἥλιε, τὸ ϖρόσωπον ἐμφάνιζέ μοι·
Δροσίζομαι γὰρ εὐτυχῶς ἀπὸ ϖνίγους,
Ὑπέρχομαι δὲ τὴν σκιὰν τῶν ἐλπίδων,
Ὡς ἐν Θέρει βρύοντας αἰγείρου κλάδους,
Ἢ κιτλὸν εὐπέτηλον [3] ἢ κλήθρης κόμην.
Ὅταν γε μὴν ᾄδειν με καὶ χαίρειν δέῃ,
Τῶν σῶν λόγων τὰ ῥεῖθρα [4] λαμβάνων ϖίνω·
Τοὺς γὰρ ἀγωγοὺς τῶν φιλανθρωπευμάτων
Οὐδὲ ϖρὸς ἡμᾶς ἀναχαιτίζειν Θέλεις,
Χαρισμάτων ἄβυσσε, ϖηγαῖον κράτος [5].
Ἥλιε, τὸ ϖρόσωπον ἐμφάνιζέ μοι·
Καὶ γὰρ τὸ Φυτὸν ἐμφρυγὲν δεῖται δρόσου,
Καὶ τοῦ κυβερνήσοντος ἡ ναῦς τῶν λόγων.

[1] Cf. 1, 479, et cod. Par. CCVII, 88.

[2] Cf. supra c, 28.

[3] Forma poetica pro εὐπέταλος, lexicis inferenda. Sic καλλιπέτηλος in *Anthol. Pal.* IX, 64, 3.

[4] Cod. Par. LVI, 13 : Καθάπερ ὁλκὰς εἰς τὰ ῥεῖθρα τῶν λόγων. Pisid. *Hexaem.* 3 : Τὰ ῥεῖθρα τῶν σῶν οὐρανοδρόμων λόγων. Anon. ap. Cramer, *Anecd. Paris.* t. IV, p. 276 : Τὰ ῥεῖθρα, ϖοῖα ῥεῖθρα τῶν λόγων Φράσοι. *Ibid.* p. 300 : Δι' οὗ τὰ χρυσᾶ ῥεῖθρα, Χρισλὲ, σῶν λόγων. Nicolaus Callicles, apud Bandin. *Catal.* t. II, p. 193 : Τὰ ῥεῖθρα τούτου ϖῶς ἐχεῖτο τοῦ λόγου.

[5] Cf. cod. Par. XIV, 514.

Ακαδημία Αθηνών / Academy of Athens

Κἂν πρὸς τὸ σὸν φῶς εἰκότως ὠφθαλμίων[1],
Τὰς εἰσόδους δήπουθεν οὐ ῥᾴσλας βλέπων,
Μάλισλά μοι πλαίσαντι συγγνώμην δίδου,
Ἐπεὶ μεταξὺ καὶ νόσοι καὶ Φροντίδες
Τὸν ἐκτόπως βρέμοντα κατεῖργον πόθον.
Οὐκ ἦν γὰρ εἰκὸς τὴν ἀπόσλροφον τύχην
Ἐν τοῖς μάλα τέρπουσιν ἀλγοῦσαν φέρειν·
Κἂν μὴ κατ' αὐτῆς ὁ βρυχηθμός σου δράμῃ
Τὰς τῆς ἀγωγῆς ἐσθιούσης ἐλπίδας,
* Πῶς ἂν πράως ἔγωγε δυναίμην σλέγειν
Στυγὸς πονηρᾶς ὑπεραλγῦνον Θράσος,
Ἢ σής τίς ἐσλιν ἐμφυεὶς τοῖς ὀσλέοις;
Ἥλιε, τὸ πρόσωπον ἐμφάνιζέ μοι·
Σὺ γὰρ ἔαρ[2] γόνιμον ἐλπίδων γίνῃ,
Εἴπερ Φυσικὴν εὐτυχεῖς τὴν αἰθρίαν,
Τρισήλιον φῶς μυσλικῶς δεδεγμένος,
Καὶ τὸν βαρὺν χειμῶνα[3] τῆς ἀθυμίας
Ὡς ἐξ ὑπαρχῆς εὐμενῶς κούφιζέ μοι·
Τὸ γὰρ ἱλαρὸν τῆς σοφῆς σου καρδίας
Τοῦ Σολομῶντος ἔσχεν ἡ κλῆσις μόνη[4].

CII. Τῇ Θεομήτορι[5].

Γνώρισον ἡμῖν τὴν παρὰ φύσιν ζέσιν,
Εἰ μηκέτι Θλίβοι σε ῥαγεῖσα πράως,
— Ὦ τῆς ἐμῆς φῶς ἡμεραυγὲς καρδίας·
Σὺ μὲν γὰρ ἀλγεῖς ἀπὸ λαβῆς μετρίας,

[1] Cod. *ὀφθαλμίων*.

[2] Conf. cod. Par. XIV, 538.

[3] Idem versus cod. Par. XIV, 554; II, 13 : X. *κακῶν*; LXIII, 6 : Ὁ *χειμὼν τῆς λύπης*; CCXIX, 9 : X. *πόνων*. Supra XLV, 14 : *Χειμὼν φθορᾶς*; C, 28 : *Χειμὼν τῆς ἐμῆς ἁμαρτίας*. Codex Escur. CCLXV, 4 : X. *τελευτῆς*.

[4] In Band. versus XLIX.

[5] Hoc lemma falsum.

Ακαδημία Αθηνών / Academy of Athens

Ἦν ἂν χρόνου τέρποντος ὀξύτης λύοι,
Τῆς ὑπὲρ ἡμῶν ὑπονυτλούσης τύχης,
Ὡς ἂν ἀγαθὴ μὴ ϖαραδράμῃ Φύσις·
Ἐγὼ δ' ἐμαυτὸν μυσλικῇ ζέσει Φλέγω,
Δροσισμὲ[1] καὶ ζέφυρε καὶ νέκταρ χύδην,
Ἀνωμάλως ἔχοντα νῦν δή σε βλέπων·
Καὶ δεινοπαθῶ, ϖλοῦτέ μου, Θησαυρέ μου,
Καὶ καρδιαλγῶ, κῆπέ μου κεκλεισμένε,
Καὶ ταῦτα ϖαπαὶ τῆς καλῆς Θρᾴκης μέσον,
Ἦν αὐτὸς, ὦ βέλτισλε, δεινόν τι κρίνω·
* Ἐπίνοσον γὰρ τὸν χρυσοῦν εἶδον Φίλον,
Ὃς τὰς ἐμὰς ἔλυσε[2] ϖολλάκις νόσους,
Εὐσπλαγχνίας Φάρμακα τοῖς ϖόνοις χέας[3]·
Πλὴν ἐξεγερθεὶς τοῦ Θορυβοῦντος ϖάθους
Ἐῤῥωμένος Φάνηθι τῷ ϖνέοντί σε·
Ποῖος γὰρ ὡς σὺ ϖαυσίκακον[4] Φάρμακον;

CIII. Εἰς τὴν ὑπεραγίαν Θεοτόκον[5].

* Εὐσπλαγχνίας ϖέλαγος[6], οἰκτιρμῶν βάθος,
Ἄκλυσλε λιμὴν, σωσλικὸν ϖάντων σκάφος,
Ἐγὼ μὲν ὡς γῆ καὶ σποδὸς καὶ σαπρία

[1] Theod. Lascar. cod. Paris. 1193, fol. 40 v° : Καινότερον δροσισμόν. Id. fol. 41 r° : Δροσισμῷ τῷ τοῦ ϖνεύματος.

[2] Infra CXIV, 19 : Καὶ τὰς νόσους λύσασα τὰς ἀποκρύφους. Boeckh, *Corp. inscr.* n° 2415, 8, et 3398.

[3] Supra XVII, 7 : Ποῖον δέ μοι Φάρμακον οὐκ ἔφθης χέας. *De anim.* 1363 : Μηδὲ Φάρμακον χέῃς.

[4] Supra VIII, 10 : Σῶτερ γλυκασμὲ, ϖαυσίκακον Φάρμακον. Cod. Esc. LXXIV, 4 : Τί πρός σε ϖαυσίκακον ἀντλοῦσαν χάριν.

[5] Ex persona mulieris alicujus.

[6] Infra CXC, 20 : Εὐσπλαγχνίας ϖέλαγος εἰς ϖάντας χέων. Theod. Lascar. ap. Mai, *Bibl. Patr.* t. VI, p. 262 : Τὸ τῆς εὐσπλαγχνίας ἀνεξιχνίασλον ϖέλαγος; Theod. Prodr. *ibid.* p. 403, v. 45 : Ὦ ϖέλαγος βασιλικῆς ἄκρας Φιλανθρωπίας; Nicephor. Cpol. *ibid.* t. V, p. 63 : Πέλαγος σοφίας.

Ακαδημία Αθηνών / Academy of Athens

Πᾶν ἐκ βρέφους ἄθεσμον ἐργασαμένη,
Καὶ μέχρις ἀκμῆς καὶ ϖαρακμῆς[1] ἐσχάτης
Τὸν τῆς ὕλης θόρυβον ἀσπασαμένη,
Καὶ τὰς ἀγωγὰς τῆς Φιληδόνου[2] ζάλης,
Ὡς νεκρὰν ἀπείρηκα τὴν σωτηρίαν·
Ἔδυν γὰρ εἰς ἄπειρα κακίας βάθη
Καὶ συναγωγῇ δυσχερῶν κατεσχέθην·
Σὺ δ' ὡς τὸ ϖᾶν σώζουσα τῶν βροτῶν γένος
* Τοῦ τῆς ϖλάνης κλύδωνος ἐξάγαγέ με,
Θείου φόβου ζέφυρον ἐγχέασά μοι·
Τὸν εὔδιον γὰρ τῶν ψυχῶν ὅρμον φέρεις,
Καὶ τὸν ϖλατυσμὸν τῆς ἀνεξικακίας.

CIV.

Εἰ[3] ϖρέσβις αὐτὸς ὑπὲρ ἡμῶν ἐκρίθης,
Ὁ νοῦς ὁ ϖυκνὸς, ἡ λογικὴ γοργότης,
Ἡ δρασ7ικὴ δύναμις, ἡ καινὴ Φύσις,
(Θάμβος γὰρ ὁ τρόπος σε μικροῦ δεικνύει
Τὸ καθάπαξ ἄωτον[4], ὃ γράφει Πλάτων,)
Τί δήποτε χρὴ τὴν βραδυτῆτα κρίνειν[5]
Εἰς ϖνεῦμα καὶ χοῦν καὶ φθορᾶς ὑποψίαν;
Ποῖον γὰρ ἂν μόνιμον ὁ χρόνος φέροι;
Τὸ ϖαρενεχθέν; ἀλλὰ μὴν οὐκ ἔσθ' ὅπου.
Τὸ ϖαρόν; ἀλλ' ἔκλεψε λαθὼν ὁ δρόμος.
Τὸ ϖροσδοκηθέν; ἀλλ' ὑφεσ7ὼς οὐ βλέπω·
Τὴν αὔριον γὰρ νῦν κατασχεῖν οὐκ ἔχω.
Πλὴν εἰ μὲν ἠσ7όχηκας ἐντείνας ἅπαξ,

[1] Schol. in Philostr. *Her.* p. 166, ed. Boisson. : Ἀκμὴ καὶ ϖαρακμὴ ἐπὶ νόσου λέγεται.

[2] Cod. Par. LXVIII, 2.

[3] Versus anepigraphi.

[4] Cf. supra 1, 744.

[5] Post hunc versum fortasse desunt quædam.

Ἐχρῆν ἀπειπεῖν, εἰ δὲ μὴ, βάλλειν πάλιν.
Καὶ μὴν ὁ δεινὸς μὴ βαλὼν εὖ τοξότης
Δὶς τάχα καὶ τρὶς ἐντενεῖ καὶ τετράκις,
Καὶ μᾶλλον εἰ δεῖ τὴν βολὴν ἀπευθύνειν,
Ἕως τὸ ῥιφὲν μὴ πλερῶν ἧττον δράμῃ·
Σὺ δ' ἀπὸ νευρᾶς τοῦ σκοποῦ ῥίψας πέλας,
Δέον βαλεῖν αὖ καὶ τὸ πᾶν σχεῖν εὖ μάλα,
Ἀφεὶς παρευθὺς τὸν βιὸν καὶ τὴν τάσιν,
Ἄλλης βολῆς ἄδηλον ἐζήτεις χρόνον·
Καὶ μὴν τὸ τῆς σῆς εὐγενοῦς τόξον τύχης
Οὐ παρὰ πολλοῖς, οὐδὲ χαῦνον ἂν μένοι.
Οὐκοῦν σεαυτὸν ἀφθονώτερον δίδου,
Καὶ πρᾶτλε παρὼν, (δυσπαθεῖ γὰρ τὰ βρέφη
Τὴν εἰσαγωγὴν τοῦ κρυμοῦ δεδορκότα,)
Μὴ καὶ φθάνοις ἄελπλος ἐκ βασιλέως
Εἰς τὴν φίλην ἔρημον ἀσμένως τρέχων·
Νυνὶ δ' ὁ καιρὸς ποτνιᾶται δακρύων
Ἐκ τῆς καθ' ἡμῶν ἐμβριθοῦς ἐπομβρίας·
Οὕτω γὰρ ἂν εἴποι τις ἀσλείως κρίνων
Εἰς ἔργα χωρεῖν τῆς ψυχῆς τὰς ἐλπίδας.

CV. Εἰς τὸν ἅγιον Νικόλαον.

Ἄλλα μὲν ἁπλῶς ὁσλισοῦν κομπαζέτω
Κτήμασι καὶ χρήμασι καὶ δόξῃ βρύων·
Ἐγὼ δὲ τὸν σὸν εὐτυχῶν, μάκαρ, τύπον,
Ἐν ᾧ σχεδὸν ζῶν θαυματουργεῖς ἀφθόνως,
Τοῦ παντὸς ἀντάλλαγμα τὸ πρᾶγμα κρίνω·
Ποίων γὰρ ἡμᾶς δυσχερῶν οὐκ ἐξάγεις
Εἴργων πρὸ μακροῦ τὰς λαβὰς[1] τοῦ κινδύνου;

[1] Cf. supra XLIII, 13.

Ακαδημία Αθηνών / Academy of Athens

Ἢ τίνας ἡμῖν οὐ βραβεύεις ἐλπίδας
Καὶ πρὸς τὸ λοιπὸν ἁμαρτῇ δρῶν[1] τὸν βίον;
* Οὐκοῦν παρ' ἡμῶν τὸν χρυσοῦν κόσμον δέχου,
Καὶ τοὺς ἐν αὐτῇ συντεθειμένους λίθους·
Τῇ γὰρ ἀφανεῖ[2] τῶν προσευχῶν σφενδόνῃ[3]
Καὶ τοῖς νοητοῖς τῶν τερασλίων λίθοις
Ὠθεῖς ἀφ' ἡμῶν τοὺς ἀποκρύφους λύκους·
Πλὴν ἀλλ' ἐπιβράβευε τὴν σωτηρίαν,
Διδοὺς ἁμοιβὴν εὐμενῶς τὴν βελτίω,
Καὶ τῶν πόνων κοίμιζε τὴν τρικυμίαν,
Σοφῶς κυβερνῶν τῶν φρενῶν τὴν ὁλκάδα[4].
Τοῖς γὰρ ψυχικοῖς εὐπλοοῦντες ἰσλίοις
Δραμούμεθα μὲν εἰς τὸν ὅρμον τὸν μέγαν,
Εὑρήσομεν δὲ τὴν τρυφὴν τὴν ἐσχάτην,
Ἣν συχνὸς οὐκ ἴσχυσε Φαυλίσαι[5] χρόνος.
Οἰκτρὸς Μανουὴλ Φακρασῆς[6] δοῦλος τάδε
Σιδηριώτης τῷ προέδρῳ Μυρέων.

CVI. Ἐπιτάφιοι[7].

Τῆς κειμένης Φεῦ τήνδε τὴν ὥραν βλέπων
Ἔλεγχον ἡγοῦ γῆς[8] γραφικῆς τὴν Φύσιν.
Ὥσπερ γὰρ εἰ γράφει τις ἐντέχνως ῥόδον,
Οὐκ ἂν σὺν ὀδμῇ καὶ χλιδῇ τοῦτο γράφοι,
Τὸν αὐτὸν ἂν, βέλτισλε, κἀνταῦθα τρόπον

[1] Lege ἁρματηγῶν, certa conject. et voce addenda lexicis.

[2] Cod. ἀφανῆ.

[3] Cf. cod. Esc. XLIV, 3.

[4] Cf. supra LXXIV, 5.

[5] Cod. φαυλίσας.

[6] In eumdem versus sepulcrales infra CCIX. Fuit quidam Manuel Cantacuzenus Phacrases, quem memorat Syropul. sect. 8, c. III. Cf. Fabric. t. XI, p. 707, et Boisson. *Anecd. nova*, p. 13.

[7] Cod. M. fol. 78.

[8] Pro γῆς γραφικῆς leg. τῆς γραφικῆς.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ κάλλος αὐτῆς ἐνδεῶς πᾶς τις γράφοι·
Βδελύσσεται γὰρ τῆς γυναικὸς ὁ τρόπος
Καὶ τὰς τυπικὰς ἐν σλοαῖς ἐπιχρίσεις,
Ἧς οὐδὲν ἠχρείωσε τὰς γνάθους νόθον,
Καὶ πρὶν ἐπελθεῖν τῆς τελευτῆς τὸν ζόφον [1].
Ἀλλ' ὦ πονηρᾶς εἰς τὸ πᾶν γένος τύχης,
Ἡ τρυγόνων τέθνηκε σωφρονεσλέρα·
Καὶ μὴν ἔδει φίλανδρον οὐ θνήσκειν φύσιν,
Ἢν ἡ τελευτὴ κατὰ τῶν ὑπευθύνων·
Νυνὶ δὲ καὶ σὲ τὴν καλὴν, τὴν ὀλβίαν,
* Τῶν δεσποτικῶν ἐντολῶν τὴν ἐργάτιν
Ἀνεῖλε πικρῶς τῆς φθορᾶς ὁ τοξότης·
Οὐ φείδεται γὰρ οὐδὲ τῶν ζῆν ἀξίων
Ἅπαξ τὸ δεινὸν τῆς ἀρᾶς θήξας βέλος,
Καὶ κατὰ τοῦ ξύμπαντός ἐντείνας γένους.
Ἥλιε καὶ γῆ, τίς τραγῳδήσει τάδε,
Κἂν ἐν δέκα σλόμασι [2] καὶ γλώτλαις λέγοι;
Ἦν γὰρ ἐκείνης ἥδε πατρὶς ἡ πόλις,
Τῆς γῆς ἀτεχνῶς ἡ βασιλὶς ἁπάσης·
Ἐπείπερ οὐκ ἦν οὐδὲ τῇ Φύσει πρέπον
Πρῶτον καλὸν φανεῖσαν ἐν θηλυτέραις
Πατρίδος αὐτὴν ἐκφυῆναι δευτέρας.
Γένος δὲ σεμνὸν ἐν τιμαῖς πολυτρόποις,
Ὡς ἂν ὁ καρπὸς ἐμφερὴς ᾖ τοῖς κλάδοις,
Καὶ μηδὲν ἀξύμβατον ἡ ῥίζα τρέφῃ.
Δουκῶν γὰρ ἦν καὶ τοῦτο Παρασπονδύλων
Κομνηνοφυῶν ὁπλιτικῶν Ἀγγέλων·

[1] Cf. cod. Par. CCVII, 88. Theodoret. *Cat. Patr.* in *Epist. ad Tim.* p. 597, ed. Cramer : Οἱ τὸν τῆς ἀπιστίας περικείμενοι ζόφον. Theod. Stud. cod. Par. 755, fol. 375 r° : Ζόφος ἀθεΐας.

[2] Ex Homero, *Il.* B, 489.

Ακαδημία Αθηνών / Academy of Athens

Τοῦ δὲ χρόνου πλέκοντος αὐτῇ πασλάδας
Ἡ Κολχὶς ηὐτρέπιζε καὶ τὸν νυμφίον,
Καὶ γίνεται δὴ συμφυὴς οὗτος γάμος
Ἀρθρῶν παρ' ἀμφοῖν καὶ ψυχὰς καὶ σαρκία.
Γαβρᾶς[1] γὰρ αὐτὴν ὁ σφαγεὺς τῶν βαρβάρων
Ἐκεῖθεν ἐλθὼν εὐκλεῶς ἠγάγετο,
Κομνηνὸς ἡδὺς, ἀρετῶν παῖς ἀγχίνους,
Ὃν αὐτάναξ[2] ἄριστος εὐνοίας χάριν
Ἔδειξε τιμῶν καὶ κριτὴν τοῦ Φοσσάτου[3].
Πλὴν ὡς ἀφιλόκομπος[4] ἡ τεθαμμένη
Πλούτου μὲν ἐφρόντισεν οὐδὲ μετρίως,
Πένησι δὲ προὔθηκε μικροῦ τὸν βίον
Πρὸς τὴν ἄνω βλέπουσα[5] νυμφαγωγίαν·
Τὰς γὰρ ἑαυτῆς φιλτάτας ἡ καλλίπαις
Εἰς τὸν βυθὸν καθῆκε τῆς ἀμνησίας,
Μᾶλλον δὲ τῆς ἄνωθεν εὐελπισίας·
Λόγου δὲ τιμήσασα καὶ σιγῆς νόμους
Καὶ τὴν τύχην[6] ἄμεμπτον ἐργασαμένη,
Καὶ τὴν ὕλην εἴργουσαν ἐκδυσαμένη,
Παρίσταται νῦν τῶν ψυχῶν τῷ νυμφίῳ·
Τούτῳ γὰρ αὐτὴν ὡς κρινοῦντι τὴν Φύσιν
Ὁ Μυρέων πρόεδρος αὐτὸς εἰσφέρει,
Συνηγορούσης ταῖς λιταῖς τῆς παρθένου,

[1] Nicephori Chumni epistola 30 inscripta est Τῷ Γαβρᾷ καὶ τῷ ἀδελφῷ αὐτοῦ. De quibus fratribus Michaele et Joanne cf. Boisson. *Anecd. nov.* p. 35. Quis sit ille Gabras de quo Philes ignoro.

[2] Hanc vocem omittunt lexica. Cod. Par. 11, 81 : Αὐτάναξ ἄναξ.

[3] Vid. Codin. *De offic.* p. 11, et not. p. 199, ed. Bonn. In nova edit. *Gloss. med. lat.* s. v. *Fossatum* legitur : «Judicium in Fossato. Vide in Judicium.» Ubi frustra quæras.

[4] Cf. infra CCXV, 195.

[5] Cod. βλέπουσαν.

[6] Fort. ψυχήν.

Ακαδημία Αθηνών / Academy of Athens

Ἦν εὐθὺς ἀνέπνευσεν ἐκ τῶν σπαργάνων·
Κάλλος δὲ φεῦ τοσοῦτον εἰς γῆν ἐῤῥύη,
Καὶ ϖᾶν τὸ σεμνὸν τῆς φυῆς ὑπεκρύβη,
Καταμαρανθὲν καὶ ϖρὸ τῆς ἡλικίας,
Ὡς ἂν μάθῃς, ἄνθρωπε, κἂν ὥραν βλέπῃς,
Κἂν ὄλβον ἁδρὸν, κἂν μετὰ δόξης γένος,
Ὅτι χλόης ἅπαντες οὐδέν τι ϖλέον [1].

CVI. A.

* Εἶδον [2] ἐγώ ϖοτε σοφὸν τεχνίτην φυτηκόμον,
Ὃς ἐπειδήπερ ἔμελλεν ἀποδημεῖν τῶν ϖόνων,
Τὰς ὑπαρδούσας ὀρυγὰς εἰς βάθος ϖερισκάψας,
Ἀφθονωτέρας τοῦ ϖοτοῦ ϖαρέσχε τὰς ϖροσχύσεις,
Μήπως ὁ χρόνος μηκυνθεὶς τὴν βλάσλην ἐξικμάσῃ,
Καὶ σλερηθῇ [3] τῆς ἀγαθῆς ὁ φυτουργὸς ἐλπίδος.
Ἐπείπερ οὖν ἀποδημεῖν καὶ σὺ ϖαρεσκευάσθης,
Ἐγὼ δὲ σόν εἰμι φυτὸν καὶ σύ μοι φυτηκόμος,
Ἀφθονωτέραν τῷ φυτῷ ϖαράσχου τὴν ἀρδείαν,
Ἀπὸ ξυλίνης τὸ ϖοτὸν ϖιθάκνης ἀγαγοῦσα,
Μὴ τῆς τοῦ χρόνου ϖαρολκῆς [4] τὴν δρόσον ἐκτοξεύσας [5]
Ἄκαρπον εὕρῃς τὸ φυτὸν ἐν τῇ ϖαλινοσλήσει·
Πλὴν ἔσλω δή σοι καὶ Φιλῆς ὁ μουσικὸς ἐν λόγοις
Ὡς ᾠδικόν τι ϖετεινὸν, καὶ μὴ κακοπαθείτω.
Τίς γὰρ ἐπιμελήσεται καὶ ϖοτιεῖ τὸν κῆπον;
Τίς δέ σοι Θρέψει λιπαρῶς τὸν ὄρνιν μὴ ϖαρούσῃ,

[1] Versus 62 et deinceps aliud carmen. Male confundit Band.

[2] Versus anepigraphi.

[3] Jo. Chrysost. t. I, p. 6 B : Πάσης ἑαυτὸν ϖρολαβὼν ἐσλέρησεν ἐλπίδος ὁ βασιλεύς.

[4] Fort. τῇ τοῦ χρόνου ϖαρολκῇ. Aristoph. *Pl.* 34 : Τὸν ἐμὸν — ἐκτετοξεῦσθαι βίον. Nicet. Præfat. : Ἀθανάτοις ἐοίκασι δήπουθεν Θνητοὶ καὶ ἐπίκηροι γεγονότες, καὶ ϖάλαι τὸ ζῆν ἐκτοξεύσαντες.

[5] Fort. ἐκτοξεῦσαν.

Ακαδημία Αθηνών / Academy of Athens

Φιλόμουσε[1], φιλάνθρωπε, καὶ φιλοδωροτάτη[2],
Καὶ Θεοφύτευτε[3] λειμὼν[4] τῆς καλοκαγαθίας;

CVII. Εἰς τὸν σπρουθοκάμηλον[5].

Ἀπὸ καμήλου καὶ σπρουθοῦ σύνθετον εἶδον τέρας
Οὔτε πτηνὸν οὔτε πεζὸν, ἐξ ἑκατέρων γένος·
Ὃ καὶ τῇ χέρσῳ σπένδεται[6], καὶ πρὸς αἰθέρα τρέχει,
Καὶ γίνεται μεταίχμιον τούτοιν ἀμφοῖν τὸ ζῷον,
Ἀξύμβλητον, οὐδέτερον, ἡμιτελὲς, ἀσπεῖον.
* Εἰς γὰρ ἀγώνισμα κοινὸν τοῦ σκήνους προκειμένου,
Καὶ μαχομένης πρὸς τὴν γῆν τῆς ἐν αἰθέρι βίας,
Τὸ μὲν παχὺ τοῦ σώματος καὶ πτῖον καὶ γεῶδες
Ἐναπομένει τῷ βαρεῖ τῆς ὑποσπώσης[7] ὕλης.
Καὶ τοῦτο δῆλον ἐξ αὐτῶν τῶν σπέρνων καὶ τῶν νώτων
Καὶ τῆς πυγῆς καὶ τῶν ποδῶν καὶ τῆς ἀδρᾶς ἰγνύης·
Ὅσον δὲ κοῦφον καὶ λεπτὸν, αὖθις αἰθὴρ λαμβάνει
Καὶ γίνεται τὸ σπάραγμα τῆς ἀνθολκῆς τῆς ξένης.
Τράχηλος[8] κοῦφος καὶ λεπτὸς καὶ γλίσχρος καὶ προμήκης·
Ἡ μέντοι παραπλέρωσις[9], ἠρέμα πτημμελοῦσα,
Περισκεπὲς καθίσπησιν ἐν μέρει τὸ σαρκίον,
Ὥσπερ τοῦ τάχους τῶν ποδῶν ἀρκοῦντος πρὸς τὸν δρόμον·
Τὸ δὲ πτηνόν τε[10] καὶ πεζὸν ἀνασοβοῦν καὶ τρέχον,

[1] Confer. supra in Cantacuz. I, 569. Infra CCXIII, 80 : Τὸ *φιλόμουσον ὀρνίθων γένος*. Eustath. *Opusc.* p. 351, 35 : Ἐν αὐχμῷ καὶ ταῦτα φιλομούσου καὶ γλώττης καὶ ἀκοῆς.

[2] Cf. infra CXI, 39.

[3] Germ. Cpol. cod. Coisl. 278, fol. 143 r° : Ἐκ τοῦ Θεοφυτεύτου παραδείσου καὶ τῆς Ἐδέμ. Id. fol. 226 v°. Verbum Θεοφυτεύομαι, quo carent lexica, usurpat Meliten. v. 2973 : Τοῦ παραδείσου τὰ φυτὰ τὰ Θεοφυτευθέντα.

[4] Cf. infra CXXXIV, 10.

[5] Cod. M. fol. 80. Edidit Ideler in *Phys. gr. min.* vol. I, p. 289.

[6] Leg. σπέρχεται.

[7] Cf. supra XCVII, 19.

[8] Idel. τράχηλοι.

[9] Hac voce augenda lexica.

[10] Idel. πτηνὸν δὲ καί.

Ακαδημία Αθηνών / Academy of Athens

Περικολποῖ τὴν πλέρωσιν τοὺς πόδας ὑπεξαῖρον,
Καὶ δείκνυται κουφότερον ἀπὸ τῶν ἐξαλμάτων·
Εἶτα δοκοῦν ἀφίπλασθαι, πάλιν ἐκτρέχει βάδην,
Καὶ πάλιν ὑπερίπλαται [1], καὶ πάλιν ὑφιζάνει [2]·
Νικᾷ δὲ πρὸς τὴν ἄμιλλαν ἡ χέρσος τὸν αἰθέρα·
Κἀν τούτῳ δή μοι θαύμαζε τὸ πλερωτὸν χερσαῖον·
Καὶ γὰρ συνελαυνόμενον καὶ περαιτέρω τρέχον
Ἐνολισθαίνει ταῖς καμπαῖς ὑπὸ τῆς τραχυτῆτος,
Καὶ τοῦ τραχήλου τὸν ὁλκὸν εἰς τὸ λοξὸν ἐπαῖρον
Εὐθὺς [3] τὴν πλῆσιν ἀπειλεῖ [4] τῇ τῶν πλερῶν ἐντάσει,
Τῶν δὲ σκελῶν τὰς ἀγωγὰς ἀνέλκον ἐπ' εὐθείας
Καθάπερ ἐπιπρόσθησιν [5] τὸ δάπεδον ἀμείβει,
Καὶ τηνικάδε κάμηλον τετράπουν εἰκονίζει,
Κλεπλούσης τῆς γοργότητος τῆς ἀμοιβῆς [6] τοὺς πόδας·
Δεῖ γὰρ τὰς Φύσεις, βέλτισλε, καὶ τῶν ἀλόγων ζῴων
Δωροφορεῖν [7] τῷ βασιλεῖ τὰς θαυμασλὰς γενέσεις.

CVIII.

Ὁ [8] δεσπότης ἔμοιγε τὴν πεῦσιν λύσας,
Προευτρεπισλὴν τῆς ὁδοῦ μου σὲ φράζει.
Κύρωσον οὐκοῦν τὸ πρόσλαγμα τοῦ κτίσλου,
Ὦ νοῦ πλερωτὲ [9], ἀγγέλων ἐφάμιλλε [10].

CIX.

Πάλιν [11] ὁ παῖς ὁ μὴ κομῶν καὶ μασλιγίας οὗτος,
Ἑκάσλῃ δὲ αἰσθήσει θαυμασίως ἥδε ἡ χώρα πομπεύει τε καὶ δωροφερεῖ (leg. δωροφορεῖ).

[1] Idel. ὑπεφίπταται.
[2] Cod. Flor. ὑφιζάνοι.
[3] Idel. δοκεῖ pro εὐθύς.
[4] Idel. ἀπειλεῖν.
[5] Cf. supra, 1, 10.
[6] Idel. ἐναλλάξ pro ἀμοιβῆς.
[7] Conf. infra ccx, 4. Eugenici *Laus Trapez.* ap. Eustath. *Opusc.* p. 372, 30 :
[8] Sine titulo.
[9] Fort. πτερωτῶν ἀγγ.
[10] Hoc tetrastichon, ut videtur, seazontibus constat.
[11] Sine titulo.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ Σκύθης τὴν ἀναβολὴν καὶ κοῦφος καὶ γυμνόπους[1],
Ἥκει σοι φέρων μετ' αἰδοῦς τὸ σισλευθὲν βιβλίον·
Ὑποσλρεφέτω τοιγαροῦν μὴ σκυθρωπὸς ὁ δοῦλος,
Ἀλλὰ φαιδρὸς καὶ χαροπὸς ἀνύσας τὴν ἐλπίδα,
Φιλόσλοργε, σανσέβασλε, μελεδωνὲ τῶν φίλων.

CX. Εἰς τὴν μεγάλην Δύκαιναν[2].

Τρισευγενὲς[3] καλλώπισμα τοῦ γυναικείου γένους,
Καὶ τῶν σοτε σεριφανῶν ἀῤῥενοφρονεσλέρα[4],
Ῥίζης καρπὲ βασιλικῆς, ἀπάνθισμα τοῦ γένους,
Τοῦ μητραδέλφου κράτορος τὴν τύχην ἀδελφόπαι[5],
Καὶ σάππου βασιλεύσαντος καὶ μάμμης Θυγατρόπαι,
Μάμμης ἐκείνης τῆς σοφῆς τὸν τρόπον βασιλίδος
Καὶ τῆς ἀρίσλης ἀτεχνῶς τῶν γυναικῶν φιλτάτη,
Καὶ τέκος μάλα σοθεινὸν γεννήτορι δεσπότῃ,
* Φύσις νικῶσα καθαρῶς τῶν γυναικῶν τὴν φύσιν
Εἰς σύνεσιν καὶ φρόνησιν καὶ μεγαλοφυΐαν[6],
Καὶ κάλλους βρύων Θάλαμε[7], καὶ σωφροσύνης ῥόδον
Ὅλως οὐκ ἔχον μαρασμὸν οὐδὲ λυποῦσαν φθίσιν,
Ἔχων σολλὰ τὰ νύσσοντα καὶ σαροτρύνοντά με
Θαῤῥεῖν εἰς τὸ φιλότιμον καὶ τοὺς χρησλούς σου τρόπους,
Μέχρι τοῦ νῦν ὑπὸ φειδοῦς καὶ συσλολῆς εἰργόμην,
Νυνὶ δὲ τῆς ἀνάγκης με σειθούσης μὴ δισλάζειν[8],

[1] Cf. infra ccviii, 59.

[2] Leg. Δούκαιναν. In Magnam Ducænam, i. e. in Magni Ducis uxorem.

[3] Hac voce carent lexica. Forma feminina utitur Theodor. Prodr. ap. Mai, *Bibl. Patr.* t. VI, p. 402 : Τρισευγενὶς τὸν εὐγενῆ, τὸν νέον ἡ νεᾶνις.

[4] Cf. cod. Par. cxxxi, 1.

[5] Niceph. Xanthop. *Synaxar.* cod. Par. 1585, fol. 23 v° : Ἀνεψιὸν εἶναι τοῦ Χρισλοῦ τὸν εὐαγγελισλὴν Ἰωάννην ὡς ἀδελφόπαιδα.

[6] Cf. supra xcv, 26.

[7] De hac notissima metaphora conf. infra cxii, 2.

[8] Cod. μηδ' ἰσλάζειν.

Μηδὲ ναρκᾶν, μηδὲ σιγᾶν, μηδὲ τὸν νοῦν συμπνίγειν,
Θαῤῥούντως σοι ϖροσέρχομαι τῇ Φιλανθρώπῳ Φύσει,
Καὶ ταῦτα δὴ τὰ γράμματα κομίζων ὑπ' εὐνοίας
Ἐξαγορεύω τὸ λυποῦν καὶ Φράζω τὴν ὀδύνην,
Καὶ τῆς ἀΦθόνου σου χειρὸς τὴν ἀρωγὴν [1] αἰτοῦμαι·
Τοὺς ἵππους γὰρ τοὺς εὐγενεῖς καὶ κούΦους καὶ γεννάδας,
Οὓς ἔσχον εἰς ἀνάψυξιν τῶν ἀποκρύΦων ϖόνων,
Ὁρῶ ϖεινῶντας δυσλυχῶς καὶ κάμνοντας ἐκτόπως.
Ποῦ γὰρ καλάμη, ϖοῦ κριθαὶ, ϖοῦ δὲ καὶ Φάτναι ϖλήρεις;
Ὁ Φυσητὴρ ἐξέλιπεν, ὁ μόλιϐδος ἐῤῥύη,
Τοῦ γένους τὸ Φιλότιμον ἀπῆλθεν ἐξ ἀνθρώπων·
Οὐκ ἔσλιν ἄρχων οὐδαμοῦ, ϖάντες ψυχροὶ τὴν Φύσιν,
Οὐκ ἔσλιν ὁ Φειδόμενος, οὐκ ἔσλιν ὁ δανείζων,
Πάντες ἐξέκλιναν ὁμοῦ, ϖάντες εἰσὶν ἀχρεῖοι,
Σὲ μόνην δείκνυσι λαμπρὰν ἡ ϖείρα τῶν ϖραγμάτων·
Οὐδὲ γὰρ ἐκαπήλευσεν ὁ τρόπος σου τὸ γένος,
Ἀλλ' ἔχεις ϖᾶσαν τὴν ἀκμὴν τῶν ἀγαθῶν αὐτόθεν,
Ὡς ϖῦρ ὡς ὕδωρ ὡς ἀὴρ, ὡς ἀκραιΦνὴς ΦωσΦόρος,
Καὶ Θησαυρὸς ἐν κιϐωτῷ, καὶ ϖοταμὸς εἰρήνης.
Οὐκοῦν ϖαράσχου μοι κριθὰς, καὶ Θρέψον μου τὰ κτήνη,
Καὶ ϖαραμύθησαι ψυχὴν καταδαπανωμένην
Ὑπὸ τῶν ἔνδον λογισμῶν καὶ τῆς κρυπλῆς Φροντίδος·
Εἰ δὲ ϖυροὺς ἀντὶ κριθῶν, Φιλόδωρε, ϖαρέχοις,
Κεῖσεται χάρις ϖαρ' ἡμῖν ὑπὲρ τῶν δεδομένων,
Καὶ ϖᾶς ὁ χρόνος ὄψεται τὸ Φιλανθρώπευμά [2] σου,
Καὶ γνώσεται ϖᾶς ἄνθρωπος ἀπὸ τῶν ϖεπραγμένων
Ὡς ἡ μεγάλη Δούκαινα, τοῦ γένους ἡ Φαιδρότης,
Ἡ σύνεσις, ἡ Φρόνησις, ἡ Φυσικὴ σεμνότης
Ἐφείδετο τῶν λογικῶν ἀλλὰ καὶ τῶν ἀλόγων,

[1] Cod. ἀῤῥωγήν. — [2] Supra LXVI, 16.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῶν ἀρίστων εὐμενῶς ἐπεμελεῖτο φίλων,
Λαμπρῶς ὑπελαφρίζουσα[1] τὰ βάρη τῶν φροντίδων.

CXI. Εἰς τὸν αὐτοκράτορα.

* Κράτιστε, θεῖε βασιλεῦ, κοσμῆτορ τῶν πραγμάτων,
Θυμῆρες περιλάλημα[2], βάθρον τῆς γῆς ἁπάσης,
Λύχνε καὶ φῶς ἀπὸ φωτὸς τοῦ πρώτου κεχυμένον,
Ἵνα μὴ γνόφος καθ' ἡμῶν μηδὲ κρυμὸς κομπάσῃ·
Τὰ γὰρ δεινὰ τῶν σκυθρωπῶν ἀποῤῥαπίζεις νέφη[3],
Καὶ σταθηρὰν ἁπανταχοῦ πηγάζεις τὴν αἰθρίαν.
Οὐκ ἔστι κρότος ἀποχρῶν ἐκ τῶν τῆς τέχνης λόγων
Τῇ θαυμαστῇ σου καὶ λαμπρᾷ καὶ περικλύτῳ φύσει·
Ἐμπίδες γὰρ, καὶ κώνωπες, καὶ σκώληκες, καὶ κνίπες,
Καὶ κανθαρίδες χαμερπεῖς, καὶ δυσαχθεῖς[4] κοχλίαι,
Καὶ τέττιγες, καὶ μύρμηκες, καὶ σφῆκες, καὶ κηφῆνες,
Καὶ μηλολόνθαι δυσπετεῖς, καὶ βάτραχοι, καὶ φθεῖρες,
* Ὅσοι τι λέγειν περὶ σοῦ τολμῶμεν ὑπ' εὐνοίας.
Ὅμως καὶ τῆσδε τῆς κραυγῆς (τὸ τοῦ προφήτου[5]) σύνες.
Αἱ μὲν ἁπλαῖ καὶ σύνθετοι δυνάμεις τῶν φαρμάκων
Κατὰ βραχὺ τοῦ σώματος τὰς νόσους ἐξισταῖσιν[6].
Ὑποχωρεῖ γὰρ τὸ θερμὸν, ἂν τὸ ψυχρὸν ἰσχύῃ,
Καὶ πάλιν εἴκει τὸ ψυχρὸν τῇ τοῦ θερμοῦ δυνάμει·
Τῇ δὲ καθάρσει τῶν χυμῶν προσγίνεται καὶ χρόνος,

[1] Hac voce augenda lexica.

[2] German. Cpolit. cod. Coisl. 278, fol. 195 r° : Μέση δὲ χίμαιρα δεινὸν πνείουσα (ἀποπνείουσα ex Hom. *Il.* Z, 182) μένος πυρὸς αἰθομένοιο, ὑφ' οὗ κατεβοσκήθη καὶ εἰς αἰθάλην λεπτὴν καὶ ἀφαυρὰν σποδιὰν κατηντήκει τὸ μέγα τῆς οἰκουμένης περιλάλημά τε καὶ καύχημα.

[3] Cod. Vat. XXIX, 53 : Νέφη ἀθυμίας. Cod. Par. CCVII, 92 : Νέφος συμφορῶν.

[4] Ignatius in Gregor. Decapol. cod. Par. 501, fol. 103 v° : Πρὶν ἢ οὖν τούτου τοῦ δυσαχθοῦς πάθους πεῖραν λαβεῖν.

[5] Psalm. v, 2.

[6] Cf. cod. Par. XIV, 83.

Ακαδημία Αθηνών / Academy of Athens

Ἂν εἰς τὰ κοῖλα τῶν φλεβῶν τὸ θλίβον ὑφιζάνοι·
Τὰ γὰρ παραφωλεύοντα[1] φεύγει τὴν κρᾶσιν πάθη,
Καὶ ῥώννυται τοῦ σώματος ἐξ ὑπαρχῆς ἡ φύσις·
Τῆς δὲ μορφῆς σου, βασιλεῦ, τῆς θαυμασίης ἡ χάρις
Ἀχρόνως πάντας τοὺς χυμοὺς τῶν σκυθρωπῶν ἐξάγει·
Τῶν γὰρ ὀμμάτων ἡ βολὶς ἀντὶ παντὸς φαρμάκου
Τὰς ἀλγηδόνας τῆς ψυχῆς ἐκτρίβει παραυτίκα·
Τῇ δὲ φωνῇ σου καὶ σιροφῇ τῆς γλώτης, αὐτοκράτορ,
Ἀναλαμβάνεις τὰ σαθρὰ καὶ μεταπλάτεις πάλιν
Τῆς κακοδαίμονος[2] Κλωθοῦς ἀπορρήγνυς[3] τοὺς μίτους[4].
Ὅταν δὲ πάσχῃ συσιολὴν ἡ ζωτικὴ θερμότης
Ὑπὸ τοῦ γνόφου[5] τῆς ψυχῆς καὶ τοῦ κρυμοῦ τῆς λύπης,
Ἡ τοῦ προσώπου σου χλιδὴ τὸ πνίγος ἀνατρέπει·
Ἡ δὲ κρατίση φρόνησις ἐκκύπτουσα τῶν λόγων
Καὶ τὰς νεκρὰς ἀνίσησι τῶν οἰκετῶν ἐλπίδας·
Νυμφαγωγὸν δὲ τὸν Ἑρμῆν τῆς Ἀθηνᾶς δεικνύεις,
Θάλαμος ὢν περικαλλὴς ἑκ βρέφους ἑκατέρων.
Ὢ πῶς τῇ ξένῃ, βασιλεῦ, τῶν λόγων σου δυνάμει
* Τῶν ἀβουλήτων καθαιρεῖς τὰς ἀφανεῖς προσχύσεις,
Ἀνίκμους ἐργαζόμενος τοὺς ἀγωγοὺς τῶν πόνων!
Ὢ πῶς καὶ νέκταρ ἐκ τῶν σῶν ἐχεῖτό μοι χειλέων,
Καὶ τὰς ἀδήλους τῆς ψυχῆς ἐπέκλυζεν ὀδύνας!
Φρίτω γὰρ μόνον κατὰ νοῦν καὶ τὰ λοιπὰ λαμβάνων,
Ἡνίκα περιπλύξασαν παρῆκας τὴν ἀρβύλην·
Τὰ δὲ τῆς νόσου λείψανα τῆς πρὸ μικροῦ συμβάσης

[1] Cf. cod. Par. CCIII, 78.
[2] Cf. supra LXXX, 53.
[3] Cod. ἀποῤῥιγνύς.
[4] Theodor. Hyrtac. *Not. des ms.* t. V, p. 730 : Καὶ Κλωθοῦς μίτοις λαμπρὰν τὴν ἐσθῆτα θάτερον ἐξυφανεῖς.
[5] Cod. Par. XIV, 583 : Καὶ τὸν μαρασμὸν τῆς ψυχῆς καὶ τὸν γνόφον. Id. LXIII, 5 : Δι' οὗ ψυχικὸς ἐξελαύνεται γνόφος. Nicephor. *Onirocr.* p. 11 : Γνόφος φροντίδων. De hac metaphora cf. cod. Esc. CLXXX, 5.

Ἐξέσλιπλέ μοι [1] τῶν φλεβῶν καὶ τῶν εἰς βάθος πόρων,
Καὶ ῥῶσις ὑπεσλήριξε τὰ κεκμηκότα μέλη.
Πόσους γὰρ ἔχει βασιλεῖς ὁ χρόνος ἀναγράπλους!
Πόσοι δὲ ῥήτορες αὐτῶν ἐξαίρουσι τὰς Φύσεις!
Ἀλλὰ νικᾷς περιφανῶς πάντας ἁπλῶς ἐκείνους,
Ψόφους ἐλέγχων καὶ κραυγὰς τοὺς ὄγκους τῶν ἐπαίνων,
Πρὸς γάργαρον περίλογον συντεθειμένους μόνον.
Αἱ γὰρ ἐξ ὕψους χάριτες ἐπεσκευάσαντό σε
Τῷ γάλακτι θηλάσασαι τῆς καλοκαγαθίας,
Μή τις λαμβάνοι ἀπὸ γῆς τὰς παρ' ἡμῶν συγκρίσεις,
Οὐρανοδρόμε βασιλεῦ τῆς ὕλης πλερουμένης.
Ὢ πῶς ἀντέσλης εὐγενῶς τῇ ζάλῃ [2] τῶν πραγμάτων,
Οἰκοδεσπότης Φρόνιμος ὑπάρξας αὐτοκράτορ!
Ὢ πῶς ὑπέσχες τῇ κοινῇ τὴν χεῖρα καταπλώσει,
Καὶ πᾶσαν ἥδρασας εὐθὺς τὴν κλονηθεῖσαν κτίσιν,
Καὶ μηδαμῶς παρασυρεὶς τῇ λαίλαπι [3] τοῦ χρόνου!
* Πάντα σοι ξένα, βασιλεῦ, πάντα νικᾷ τὴν Φύσιν,
Ἀλλὰ βιῴοις εὐτυχῶς ἐπὶ μακροῖς ἡλίοις,
Πλατύνων τὰ σχοινίσματα τῆς αὐτοκρατορίας [4]
Καὶ τοῖς οἰκέταις εὐμενῶς περαίνων τὰς ἐλπίδας·
Ἂν δὲ τῆς ὕλης ἐλεγχθῇ μετὰ μικρὸν ἡ Φύσις,
Τότε σοι γένοιτο ῥευσλὸν τὸ γῆρας [5], αὐτοκράτορ,

[1] Leg. ἐξέπιπτε.

[2] Infra CCXV, 2 : Τὴν ζάλην τῶν πραγμάτων. German. Cpol. cod. Coisl. 278, fol. 209 v° : Εἰ δὲ πονηραὶ τῇ ζάλῃ τῶν πραγμάτων ὡς λύκαιναι χαίρουσι καὶ κατατρυφῶσι τῆς ἀταξίας. Cf. cod. Par. XCVIII, 2.

[3] Cod. Esc. CCXXIX, 13 : Εἰς πραγμάτων λαίλαπας ἀντισυσλρόφους. Id. CCXXXI, 7 : Τῆς τοῦ βίου λαίλαπος ἀγριουμένης.

[4] Philes, ed. Wernsd. p. 88 : Πλατύναις τὰ σχοινίσματα τῆς αὐτοκρατορίας. Id. p. 82. Leo Grammat. p. 27 : Τοῖς ἀλλήλων σχοινίσμασιν ἀνὰ μέρος βοηθοῦντες.

[5] In margin. Σαφὴς κολακεία, μᾶλλον δὲ καὶ φληναφία.

Ακαδημία Αθηνών / Academy of Athens

Ὅταν ὁ κόσμος κατελθῇ ϖρὸς ἐκτροπὴν ἐσχάτην,
Καὶ ϖᾶν ἁπλῶς ἀφανισθῇ τὸ γένος τῶν ἀνθρώπων,
Ἵνα μηδεὶς ὑπολειφθῇ μὴ δοῦλος, μὴ δεσπότης,
Μηδὲ φροντίδες ἀρχικαὶ, μηδὲ γενναῖοι κρότοι.

CXII. Εἰς τὸν αὐτόν.

Μὴ δυνηθεὶς ἀνατεμεῖν τὴν ἐμαυτοῦ καρδίαν,
Καὶ δεῖξαί σοι τὸν Θάλαμον [1] τῆς ἀκραιφνοῦς εὐνοίας,
Ἧπαρ τοῦ γένους, βασιλεῦ, καὶ τῆς ἀρχῆς καρδία,
Καὶ ζωτικῆς ἐγκέφαλε καὶ γνωστικῆς ἰσχύος,
(Σὺ γὰρ τὸ σῶμα συντηρεῖς τῆς αὐτοκρατορίας,)
Πρὸς ἄλλον ϖλοῦν [2] μεταχωρῶ καὶ χρῶμαι τοῖς συμβόλοις,
Εἴπερ διδάσκαλος σαφὴς οἱ λόγοι τῶν ἀδήλων·
Ἀλλὰ καὶ τούτους ϖαρευθὺς ἐλέγχεις καὶ Φαυλίζεις,
Ἀμηχανοῦντας ἠρεμεῖν αὐτόθεν ἐπιτρέπων.
Καὶ μὴν σιγᾶν σου, βασιλεῦ, τὰς ϖράξεις οὐκ ἐθέλων,
Οὐδὲ τὴν ἀπαράμιλλον [3] ϖρὸς ϖαραθέσεις Φύσιν,
Πείθομαι δὴ τῇ τοῦ Δαυὶδ [4] συλλήβδην ϖαραινέσει,
Κινοῦντος ϖρὸς τὸν ἔπαινον τοῦ ϖαντουργοῦ δεσπότου
* Καὶ τὰς ἀψύχους καὶ νεκρὰς καὶ δυσαισθήτους Φύσεις,
Ἐπεὶ καὶ ξύλα, καὶ κρυμὸν, καὶ ϖάχνας, καὶ χιόνας,
Καὶ νύκτας αὖθις ἀλαμπεῖς, καὶ Φερανυγεῖς ἡμέρας,
Καὶ Φῶς, καὶ σκότος συγκαλεῖ, καὶ καύσωνα, καὶ δρόσον,
Καὶ Θῆρας ἔτι, καὶ ϖληνὰ, καὶ χόρτον, καὶ καλάμην,
Ὧν οὐ Φαυλότερος ἐγὼ ϖρὸς τοὺς ἐνταῦθα κρότους·

[1] Supra LXIX, 4 : Μυσληρίων Θάλαμον; LXXV, 40 : Πραγμάτων Θάλαμος; CX, 11 : Κάλλους βρύων Θάλαμε. Infra CXIII, 13 : Φρονήσεως Θάλαμε; CCIX, 13 : Χαρίτων Θάλαμος. Cod. Par. LXI, 168 : Ὁ τῶν λόγων Θάλαμος. Append. IV, 10 : Οὐρανίων Θάλαμε Θησαυρισμάτων.

[2] Allusio ad prov. Δεύτερος ϖλοῦς.

[3] Codex Par. CXXXIX, 12 : Τὴν γὰρ ἀπαράμιλλον ἣν ἔχεις Φύσιν.

[4] Psalm. XVIII.

Ακαδημία Αθηνών / Academy of Athens

Τὴν γὰρ ἐσχάτην συντριβὴν μικροῦ με ϖεπονθότα,
Δημιουργὲ καὶ ϖρομηθεῦ, μετὰ τὸν ϖρῶτον ϖλάσην
Ἀναχωνεύεις[1] εὐμενῶς καὶ μεταπλάτ1εις ϖράως,
Οὐκ ἐπαινῶν τοὺς ἀλγεινοὺς τῶν ἰατρῶν καυτῆρας,
Οὐδὲ ϑαυμάζων τὰς τομὰς τὰς ἐν ταῖς χειρουργίαις.
Τῶν γὰρ ἀτέχνων καὶ σμικρῶν καὶ ϖαραβόλων τάδε·
Ἀλλὰ βαβαί σου, βασιλεῦ, τοῦ κατὰ ϖάντων κράτους,
Βαβαὶ τοῦ ϖαρασ1ήματος τῆς μεγαλοφυΐας!
Ὅλως οὐκ ἔσ1ι σοὶ κοινὸν ϖρὸς τὰς τῶν ἄλλων φύσεις,
Ὁπόσας τεθαυμάκασιν αἱ γλῶσσαι τῶν Ἑλλήνων.
Ἥλιος εἷ ϖεριφανὴς ἐπὶ λαμπρᾶς αἰθρίας
Τοὺς ϑρυλλουμένους ἀπ' ἀρχῆς ἐμπίδας ἀποφαίνων·
Ἵνα γὰρ δείξῃ καθαρῶς ὅσον ἐσ1ὶν ἡ φύσις,
Καὶ μέχρι ϖόσου δυνατὸν ἀναδραμεῖν τὴν ϖλάσιν,
Ἣν ὁ κοινὸς ὑπέσ1ησε τεχνίτης καὶ κοσμήτωρ,
Σοὶ μόνῳ συντετήρηκεν ἀκίβδηλον τὴν φύσιν,
Καὶ μόνον ὑπερύψωσεν ἐκ τοῦ ϖαντὸς αἰῶνος
Σὲ τὸ τοσοῦτον ἀγαθὸν, ᾧ ϑαυμασ1ὸς ὁ τρόπος,
* Ἵνα μηκέτι καθ' ἡμῶν ὁ μῶμος ἐπιτρέχῃ,
Τοῦ φθόνου τὴν ϑρασύτητα κατὰ ϖαντὸς ἁρπάσας.
Ἄλλοις μὲν οὖν τὰ τῆς ἀρχῆς κόσμος ἁπλῶς ἐφάνη,
Σὺ δὲ τῷ κόσμῳ τῆς ἀρχῆς ἄλλος εὑρέθης κόσμος,
Εἰς οὐρανὸν δ' ἀπὸ τῆς γῆς ἀῤῥήτως ἀνατρέχεις,
Ὡσεὶ τροχὸς ἁπλόμενος τῆς ὑποσπώσης ὕλης.
Καὶ ϑαῦμα ϖεριλάλητον[2] τυγχάνεις τοῖς οἰκέταις,
Σιγῶν τε καὶ φθεγγόμενος· εἰ δὲ καὶ ϖράτ1ειν ϑέλεις,
Οἰχέσθω ϖᾶς ἀλλόφυλος, ϖᾶσα ϖιπλέτω μάχη,

[1] Schol. ad Gregor. Naz. *Orat.* XXXII, p. 580 B : Κάθαρσιν γὰρ οὐ τὴν διὰ ϖυρὸς λέγει οἷον ἀναχώνευσιν καὶ τῶν ἁμαρτημάτων ἐξάλειψιν. Conf. *Thesaur.* vet. ed. s. v. Ἀναχωνεύω.

[2] Cf. Cod. Par. LXI, 82.

Θρηνείτωσαν οἱ δυσμενεῖς, πενθείτωσαν οἱ φθόροι,
Καὶ συνολολυζέτωσαν οἱ τῶν ἐθνῶν σατράπαι·
Κατευσλοχεῖς[1] γὰρ, βασιλεῦ, τῶν ἐπιτιθεμένων,
Τὴν τοξικὴν[2] τῆς Ἀθηνᾶς κομίζων ἐπισλήμην,
Ὡς ὁ γεννάδας Ἡρακλῆς, ὡς ὁ πυρφόρος Ἄρης,
Οὓς ἐπαινεῖ περιλαλῶν καὶ τοῖς ἑξῆς ὁ χρόνος,
Ἵνα μὴ ῥεύσῃ τὸ καλὸν ὑπὸ τῆς ἀμνησλίας.
Ὅλος εἶ χάρις, βασιλεῦ, καὶ τέρψις, καὶ φαιδρότης,
Καὶ πλατυσμὸς, καὶ γλυκασμὸς, ὅλως οὐκ ἔχων κόρον·
Σὺ γὰρ σπουδῇ φιλονεικεῖς τὴν φύσιν ὑπερβαίνειν,
Καὶ γίνῃ κρείτλων ἀτεχνῶν[3] τῶν παρ' ἡμῖν ἐπαίνων,
Ὡς πάντα συγκαλύπλεσθαι καὶ φρίτλειν ὑπ' αἰσχύνης
Τοὺς ἐγχειροῦντας αὐθαδῶς τοῖς προτερήμασί σου·
Πρὸς μὲν γὰρ τόνδε τὸν λαμπρὸν φωσλῆρα τῆς ἡμέρας
Ἔχοι τίς ἄν τι καὶ κομψὸν ἀπὸ τῆς τέχνης λέγειν,
Τὸ κάλλος καὶ τὴν δύναμιν σεμνύνων καὶ τὸ τάχος,
* Καὶ τὸ θερμὸν καὶ θρεπλικὸν καὶ ζωτικὸν καὶ βρύον;
Εἰς δὲ τὴν ἀνυπέρβλητον[4] ἥνπερ ἐκτήσω Φύσιν
Ἐξ οὐρανοῦ καταπεμφθεὶς πρὸς τὸ κοινῇ συμφέρον,
Οὐκ ἔσλι λόγος ἀποχρῶν, οὐδὲ προσήκων κρότος·
Ἐσμὲν δὲ πάντες ἀτελεῖς ὥσπερ ἐν ψάμμῳ βρέφη,
Μηδ' αἰσθανόμενοι τῶν σῶν ὑπερτελῶν φασμάτων·
Οὐκ οἶδε γὰρ οὐκ ἄργυρον, οὐδὲ χρυσὸν τὸ βρέφος,
Οὐδὲ λυχνίτην, οὐδὲ πῦρ, οὐδὲ τὰς ἄλλας ὕλας,
Ἀλλὰ πρὸς πάσας ἀκαλλῶς[5] εἰσλήκει περιχαῖνον.
Οὕτω καὶ σοῦ μὲν τὴν καινὴν πάντες ὁρῶμεν Φύσιν,

[1] Eustath. *Opusc.* p. 212, 5 : Μὴ οὐκ εἰς τὸ πᾶν κατευσλοχεῖν τοῦ κοινωφελοῦς. Id. p. 314, 1 : Ἔσλι γὰρ οὗ κατευσλοχεῖν μὲν οὐκ εἶχεν εὐχερῶς τοῦ σκοποῦ.

[2] Fort. ταχτικήν.

[3] Leg. ἀτεχνῶς.

[4] Cf. cod. Par. CXXXIX, 13.

[5] Niceph. Chumnus apud Boisson. *Anecd. nov.* p. 38.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀλλ' ἀγνοοῦμεν τὰ κρυπτὰ τῆς καλοκαγαθίας,
Οἷς μόνοις ἔδει τῆς Φωνῆς εἰκότως τῶν ἀγγέλων,
Ὡς ἐξ ἀπόπλου καθαρῶς τὰ κάτω σκοπουμένων·
Εἰ δὲ προσδεῖ σοι, βασιλεῦ, καὶ κάτωθεν ἐπαίνων
Μόλις ἂν εἴη κατά σε καὶ[1] τῆσδέ σοι τῆς γλώττης
Καὶ τῆς Φωνῆς καὶ τοῦ νοὸς τῶν πάντη ἀμιμήτων.
Ἀλλὰ βιώῃς, βασιλεῦ, πρὸς τοῦ παμβασιλέως
Ὑπὲρ ἀστέρων ἀριθμὸν καὶ ψάμμον θαλατίαν
Καὶ λόχμης κόκας[2] καὶ φυῆς φυλλοβολούσης[3] μέτρον
Τὸν ζηλωτὸν ἰσῶντός σοι μετὰ τοῦ κράτους βίον·
Ἂν δὲ τοῦ κόσμου φυσικῶς τὸ σχῆμα παραδράμῃ,
Καὶ σύμπαν γένος ἐκτριβῇ ἀφανισθὲν συλλήβδην,
Μετατεθείης ἀπὸ γῆς τοῦ σώματος ἡβῶντος,
Καὶ περιμείναις τὴν Χριστοῦ δευτέραν παρουσίαν,
* Τρίτος ὀφθεὶς πρὸς τοῖς δυσὶ τοῦ γένους ἀθανάτοις,
Μετασχοιχειουμένου σοι τοῦ σώματος κρείττονος[4],
Ἵνα κἀκεῖ μετὰ σαρκὸς ἀῤῥεύστου[5] βασιλεύοις,
Καὶ τῆς Ἐδὲμ τῶν ἀγαθῶν ἀφθόνως ἀπολαύοις.
Νυνὶ δὲ βλέψαις τοὺς ἐχθροὺς λείχοντας[6] χοῦν, ὡς λόγος,
Καὶ τούτων σου τοῖς πέλμασι τὰς κεφαλὰς συνθλάσαις[7],

[1] Fort. τά pro καί, et v. seq. πάντως. Mox de voce παμβασιλέως conf. *Anthol. Palat.* I, 8. Eustath. *Opusc.* p. 127, 7; 129, 96; 256, 10. German. Cpolit. cod. Coisl. 278, fol. 225 r° : Ἡ δὲ ἀλλὰ καὶ Θυγάτηρ εἶναι τοῦ παμβασιλέως ἱερολογεῖται. Meliten. v. 2052 : Δέομαι νῦν, παμβασιλεῦ, τῆς σῆς φιλανθρωπίας.

[2] Fort. κόκκους.

[3] Theophrast. *Hist. plant.* I, 1, 3, et I, III, 5. Eustath. *Opusc.* p. 360, 48 : Οὐδὲ φυλλοβολεῖ ἡ συκῆ.

[4] Cod. Esc. LI, 3 : Παῦλος γὰρ αὐτὸν κρείττονος ἀπογράφων. German. Cpol. cod. Coisl. 278, fol. 215 v° : Εὖ ἐπισήμης ἔχοντες σκηνοποιεῖν κρείττονος.

[5] Infra CCXIII, 584 : Νῦν ἀετοῦ πτέρυγας ἀῤῥεύστους (al. ἀῤῥεύστως) φέρει. Th. Stud. cod. suppl. 287, p. 82 : Ἀϊδίως ὁ πατὴρ καὶ ἀῤῥεύστως τὸν υἱὸν ἐγέννησε.

[6] Cod. λίχοντας. Alludit ad Psalm. LXXI, 9, et ad Esai. XLIX, 23.

[7] Psalm. LXXIII, 15.

Ακαδημία Αθηνών / Academy of Athens

Τῶν τε καθόλου τῆς ὑγρᾶς καὶ τῶν ἐκ τῆς ἠπείρου·
Δεῖ γὰρ τὸν ἐκνικήσαντα τὴν τῶν ἀνθρώπων Φύσιν
Ἐπὶ συνέσει θαυμασῇ καὶ χύματι σοφίας
Μεμενηκέναι καὶ φθορᾶς καὶ τελευτῆς βελτίω.
Ἀλλ', ὦ τοῦ κράτους βασιλεῦ, συγγίνωσκε τοῖς λόγοις
Τρανές τι φράζειν ἐπὶ σοὶ μηδόλως δυναμένοις.

CXIII. Εἰς τὸν αὐτόν[1].

Ἥλιος εἶ· φώτιζε τυφλώττοντά με·
Ποταμός· ἀνάψυχε διψήσαντά με·
Σωτήριον πῦρ· θάλπε ῥιγώσαντά με,
Παγκοσμίων ἤδισέ νυμφὼν[2] ἐλπίδων,
Ὡς ἂν ὁ καρπὸς ἐκφυῇ σοι τῶν τρόπων[3],
Καταλιπανθεὶς τῇ χλιδῇ[4] τῶν πρακτέων,
Καὶ μὴ τοσοῦτο[5] θαῦμα καλύψῃ χρόνος,
Παραπεφυκὸς τῆς ῥοῆς τῇ συγχύσει.
Ποῖος γὰρ ὡς σὺ τήν τε γενναίαν Φύσιν,
Ἢ χαρίτων ἤμελξεν ἐκ βρέφους γάλα[6],
Καὶ τὴν λογικὴν ἧς τὸ πᾶν ἔχεις κράτος,
Σκώληκας ἢ μύρμηκας ἡμᾶς δεικνύων,
* Ὅταν κινῇς τὴν γλῶσσαν εἰς λόγων δρόμον[7],
Ὦ νοῦ κυβερνῶν τὰς φυλὰς ἀκινδύνως
Καὶ πραγμάτων ἅπαντα κοιμίζων σάλον[8],
Ἕλλην κατασλὰς τῆς ὑπὲρ γῆν Ἀτθίδος[9].

[1] In cod. Par. 2511, fol. 81 r°, sed sine titulo.

[2] Cf. infra CXXXI, 71.

[3] Cod. Flor. *κρότων*. Cf. infra CXXIV, 16, ubi duo iidem versus cum *κρότων*.

[4] Noster, *In monach. leprosum*, 14: Καὶ φυλλομανοῦν τῇ χλιδῇ τῶν πραγμάτων. Ibique Wernsd.

[5] Cod. Par. *τοσοῦτον*.

[6] Cf. infra CXXIV, 23 et 24.

[7] Cod. Par. *δρόσον*.

[8] Cod. Par. *ἅπαντας — σάλλον*. Cf. Append. IV, 18.

[9] Cod. Par. *θαυμασλὲ τῶν ὑπὲρ γῆν* pro *τῆς ὑπὲρ γῆν Ἀτθίδος*. Conf. infra CXXIV, 5.

Ακαδημία Αθηνών / Academy of Athens

CXIV. Εἰς τὴν εἰκόνα τῆς Θεοτόκου.

Ἃ μὲν, κόρη πάναγνε, καὶ πρὶν εἰργάσω
Φρουροῦσα τοὺς σοὺς πάντας ἡμᾶς ἱκέτας,
Καὶ παντοδαπῆς ἀξιοῦσα Φροντίδος,
Ἄπειρα καὶ μέγιστα σαφῶς τυγχάνει·
Τὸ νῦν δὲ νικᾷ καὶ τὸ τῶν λόγων κράτος,
Ὑπερβεβηκὸς πάντα νοῦν ἀνθρώπινον.
Τὴν γὰρ τελευτήσασαν οἰκτρῶς φιλτάτην,
Οὕτω γὰρ αὐτὴν εἶλεν εὐθὺς ἡ νόσος,
Τὴν Ἑλένην [1] ἣν ἔσχον εἰς τέρψιν βίου
Καὶ τῶν ἀγαθῶν βάθρον [2] ἁπλῶς ἐλπίδων,
Σὺ πάλιν ἡμῖν ἐξανίστάνεις μόνη,
Ζωῆς νέας φάρμακον ἐγχεαμένη·
Ἀμείβομαι γοῦν ὑπὲρ αὐτῆς τὴν χάριν,
Καὶ κατακοσμῶ τῷδε τῷ χρυσαργύρῳ
Τοῦ σοῦ τύπου τὸ σχῆμα τὸ σχεδὸν πνέον·
Σὺ δ' αὖθις ἡμᾶς ἀντιδεξιουμένη
Καὶ τὴν ἔσω βλέπουσα [3] τῶν σπλάγχνων ζέσιν,
Τήρησον ἀκλόνητον [4] ἡμῖν τὸν βίον,
Καὶ τὰς νόσους λύσασα [5] τὰς ἀποκρύφους,
Ἄληκτον εὐτρέπισον εἰς γῆρας βίον·
Ἐκ σοῦ γὰρ ἡμῖν καὶ τὸ νῦν ζῆν εὐθύμως,
* Καὶ τὸ πρὸς ἀπόλαυσιν ὧν δώσεις βλέπειν.
Ὅπλον δέ μοι κράτιστον ἀῤῥήτως γίνου,

[1] Uxor Andronici Asanis Protovestiarii, de qua infra CXV, 11.

[2] Cod. Par. LXVIII, 15 : Λύσῃ τὰ βάθρα τῇ ψυχῇ τῶν ἐλπίδων.

[3] Cod. βλέπουσαν.

[4] Anon. cod. Par. 39, fol. 101 r° : Δι' ὧν ἡ εἰς μόνον τὸν Θεὸν ἀκλόνητος ἀγάπη τοῖς ἀξίοις φυλάττεται. Adverbio ἀκλονήτως utuntur Cyrill. *Opp.* I, p. 400 A; *Cat. Patr.* in Psalm. XCI, 13 et *Græc. orthod.* I, p. 114.

[5] Cf. supra CII, 16.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ καθάπαξ ἄμαχε τὰς νίκας δίδου,
Μήπως ἐνεχθῇ κατ' ἐμοῦ κτεῖνον βέλος,
Καὶ κατακαυχήσαιτο βαρβάρου Θράσος
Τῆς σῆς ἀτεχνῶς οὐρανοδρόμου σκέπης,
Ἧς ἐκ βρέφους ἔτυχον εὐθὺς ἐλπίδας [1].
Ἀδελφιδοῦς ἄνακτος Αὐσόνων γένους
Κομνηνὸς Ἀνδρόνικος Ἀσὰν [2] πατρόθεν.

CXV. Εἰς τὴν αὐτήν.

Σὲ κλῆρον εὑρὼν, μῆτερ ἁγνὲ παρθένε,
Καὶ σοῦ σκεπασθεὶς τοῖς πλεροῖς τοῖς [3] ἐνθέοις
Ἀθυμίας ἄγευσλον αὐχῶ τὸν βίον·
Ὄμβροι γὰρ ἐχθρῶν οὐ κατακλύζουσί με,
Καὶ πραγμάτων καύσωνες [4] οὐ φλέγουσί με·
Μᾶλλον δὲ πᾶν βάρβαρον ἐκτρίβεις ψύχος
Τῇ τῆς καθ' ἡμᾶς τακτικῆς μεσημβρίᾳ,
Καὶ παντοδαπῶν ἀξιοῖς χαρισμάτων
Τὸν ἱκέτην θάλπουσα καὶ ψύχουσά με.
Νῦν οὖν ἐγὼ πάλιν σε τὴν κοινὴν σκέπην
Τῇ φιλτάτῃ δίδωμι σεπλῶς Ἑλένῃ [5],
Χρυσῷ δὲ τὸν σὸν κατακοσμήσας τύπον,
Ταύτην χρυσοῦν σχεῖν ἐκλιπαρῶ τὸν βίον,
Ὡς ἂν χρόνον ζήσασα μακρὸν ἐνθάδε,
Καὶ φιλτάτων δείξασα μεσλὴν τὴν τύχην,
* Καὶ μέχρι παντὸς εὐαρεσλήσασά σοι,
Τὸ σὸν πάλιν πρόσωπον ἀῤῥήτως βλέποι.

[1] Leg. ἐλπίδος.

[2] Andronicus Asan Protovestiarius, de quo cf. Cantacuzenus et Nicephor. Gregoras. Infra CXV, 19.

[3] Cod. πλεροῖς ἐνθέοις, claudicante metro.

[4] Cf. cod. Esc. CLVII, 1.

[5] Cf. supra CXIV, 9.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀδελφιδοῦς ἄνακτος Ἀσὰν [1] τοὺς λόγους
Κομνηνὸς Ἀνδρόνικος ὑπὲρ τῆς κόρης
Τῇ μητρὶ τοῦ κτίσαντος ἡμῶν τὴν Φύσιν.

CXVI.

Ἡμιμέδιμνόν [2] τινα Θεσπίσας χάριν
Τοῖς ἀργυρηλάτοις με νῦν τέρπε σκρόφοις,
Πλὴν εἰς δύο τμήματα συνθεὶς τὰ τρία
Σκόπει τὸ τῆς φλάσκιγγος εὐτέχνως [3] μέσον,
Κἂν ἐνδεῶς τὸ μέτρον ἀθρήσῃς ἔχον,
Ἔξεις τὰ λεπτὰ καὶ φερανεῖς τὴν δόσιν,
Λήψῃ δὲ καὶ τὸ σπέρμα τῶν κερατίων
Πρὸς τὴν ἑκατέρωθεν ἰσομοιρίαν.
Τὸν Θύλακον δ' οὖν ἐσφραγισμένον φρόες
Τῷ μειρακίῳ τῷδε, φρῶτε δεσπότα.

CXVII. Εἰς ἄγγελον ἱππότην.

* Ὁ νοῦς μὲν ὀξὺς τοῦ φλερωθέντος φλέον,
Ὀξύτερον δὲ τὸ φλερωθὲν ἱππέως,
Νυνὶ δὲ καὶ νοῦς καὶ φλερωτὸς ἱππότης
Ἔσπευκεν εἰς ἔμφασιν ἀκμαίου δρόμου,
Δεικνὺς ἀτεχνῶς ἀπὸ τῆς φανοπλίας
Ὡς οὐ φρὸς αἷμα [4] τάχα καὶ σάρκα τρέχει,
Ἀλλὰ φρὸς ἀρχὰς μυσικῆς ὁμαιχμίας [5].
Ἀϋλίαν [6] γὰρ κατὰ τῆς ἀϋλίας

[1] Cf. supra CXIV, 30.

[2] Sine titulo.

[3] In *Thesauro græco* Paris. legitur : «Εὐτεχνῶς. V. Εὐτεχνής.» Non invenitur εὐτεχνῶς s. v. εὐτεχνής, sed εὐτέχνως s. v. εὔτεχνος.

[4] Ephes. VI, 2.

[5] Cf. supra LXVII, 6.

[6] Infra CCXIII, 528 : Φῶς μὲν βλέπεις ἄδυτον ἐξ ἀϋλίας. Anon. cod. Par. 400, fol. 13 r° : Οὐδὲ φύσις ἅπασα τῆς ἀϋλίας.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ φῶς βλέπειν ἔξεσΊι κατὰ τοῦ σκότους·
Νοῦς ἄρα κινεῖ τῆς γραφικῆς τὴν σΊάσιν,
Κάτω μενούσης τῆς ὅλης αἰσθήσεως.

CXVIII. Τῷ Κοιαίσ⅂ωρι [1].

Ἐμοὶ σὺ καὶ φῶς, καὶ ϖνοὴ, καὶ καρδία,
Καὶ ζωτικὴ δύναμις ἐντείνουσά με,
Καὶ ϖᾶν ἀγαθὸν εἰς τὸ νῦν ἅπαν γένος·
Τὰ γὰρ ἀποπνίγοντα κουφίζεις βάρη,
Καὶ τῶν ὀδυνῶν τὰς ϖερισΊάσεις λύεις,
Τοῖς ἀργυροκράτοις [2] με ῥωννὺς Φαρμάκοις.
Σῶτερ Γαληνὲ, τοιγαροῦν ἄγε σκόπει
Μή τις ἀποφρὰς καὶ φθορεὺς ὑφαρπάσῃ
Καὶ τοὐμὸν εὐτύχημα συλήσας λάθῃ,
Καὶ κοινὸν ἐντρύφημα [3], καὶ Θεῖον τέρας,
* Καὶ τῆς διωξάσης με κοσμῆτορ τύχης,
Καὶ νοῦ ϖρομηθεῦ τῶν Φίλων αὐθαίρετε.

CXIX. Εἰς ναοῦ ϖύλην.

Τῆς ϖνευματικῆς ἀγέλης τὰς εἰσόδους
Ὁ δεσπότης ἄνωθεν ἐκκύψας βλέπει,
Ταύτης δὲ λαμπρῶς εὐλογεῖ τὰς ἐξόδους
Πρὸ τῆς ϖύλης ἄφρασΊον ἱδρύσας ϖύλην·
Ἔχει δὲ καὶ φύλακας ἐσΊῶτας μέσον,
Οὓς ἐμψύχους ἄντικρυς ἡ τέχνη γράφει,
Μήπως ὑφαρπάσῃ τι τῶν ἔνδον, ξένε,
Λαθὼν ὁ βαρὺς τῶν ψυχῶν ὁδοσΊάτης.

[1] Vid. Ducang. *Gloss. med. gr.* s. h. v.
[2] Vox addenda lexicis.
[3] Supra 1, 404 : Καὶ κοινὸν ἐντρύφημα τῶν ἀλλοτρίων.

Ακαδημία Αθηνών / Academy of Athens

CXX. Εἰς τὴν ἁγίαν Ἀνασ‍ταsίαν τὴν Φαρμακολετρίαν[1].

Ἀθλήσασα ζῆς, καὶ τυπουμένη ϖνέεις,
Καὶ θαυματουργεῖς ἔνθα καλεῖ σε σχέσις,
Καὶ σ‍ταυρὸν ἀρήγοντα καὶ κάλπιν φέρεις
Λυσιπόνων[2] γέμουσαν, ἁγνὴ, φαρμάκων.
Εἰ γοῦν[3] Τριβαλλοὺς ἀπὸ τῆς Βυζαντίδος,
Ὁ τῆς ἐμῆς ἔρως σε καλεῖ καρδίας,
Σὺ δ' ἀπλέρῳ φθάσασα τὸν κράλην[4] τάχει,
Κράλην τὸν[5] λαμπρὸν τῶν ἐμῶν φῶς ἐλπίδων[6],
Δεῖξον σεαυτὴν ἀπὸ τῶν τερασ‍τίων,
Καὶ λῦσον αὐτῷ τοὺς ἐνοχλοῦντας ϖόνους[7].
Κἂν ὑπὸ θερμότητος ἡ νόσος βρέμοι,
Ἡ κάλπις ἐγγὺς καὶ τὸ λυποῦν σβεννύτω·
Κἂν ψυχρότης ἄμαχος ὀργῶσα τρύχοι,
* Τὸ μαρτυρικὸν τῇδέ σου ϖῦρ ἀντίθες.
Ἀνασ‍ταsίᾳ τῇ Φερωνύμῳ κόρῃ
Ἡ ϖανυπερσέβασ‍τος Εἰρήνη[8] τάδε.

CXXI. Εἰς τὸν ϖατριάρχην[9].

Ἄρισ‍τε ϖατριάρχα τῆς οἰκουμένης[10],
Ψυχῶν ϖρομηθεῦ καὶ τροφῶν[11] καὶ ϖροσ‍τάτα,

[1] Monasterium S. Anastasiæ Pharmacoletriæ (seu quæ liberat a veneficiis) erat in Eparchia Thessalonicæ prope Galitzam. Vid. Montfauc. *Bibl. Coisl.* p. 276.

[2] Cf. cod. Par. CLII, 4.

[3] Leg. ἄγ' οὖν, pro ἄπαγε.

[4] Κράλης, *Crales*, nomen dignitatis, quo potissimum compellabatur Serviæ princeps. Cf. Ducang. *Gloss. med. gr.* s. h. v. De formula ἀπτέρῳ τάχει cf. App. II, 19.

[5] Scribendum puto Κράλῃ, τό.

[6] Cf. infra CXXII, 12.

[7] Cf. supra XVII, 5.

[8] Fort. Irene, imperatrix, Joannis Cantacuzeni conjux.

[9] Cod. M. fol. 81.

[10] Ad marginem codicis *σκόπει*.

[11] Leg. τροφεῦ.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ καθάπαξ ἄγρυπνε τοῦ γένους φύλαξ,
Τοῖς μὲν λογικοῖς γνωστικὴν βρῶσιν δίδως,
Τὴν πρακτικὴν τράπεζαν ἁβρὰν εἰσφέρων·
Εἰ δὲ γραφικῶς[1] καὶ ψυχὰς κτηνῶν τρέφοις,
Δίκαιος ὢν ἄνθρωπος εὐθὺς ἐκ βρέφους,
Οὐδέν τι καινόν· ἐκ Θεοῦ γὰρ ὃ δράσεις,
Ὃς ἀνατέλλει πανταχοῦ τὸν ἥλιον,
Τρέφει δὲ τὴν ἔμψυχον ἀῤῥήτως[2] φύσιν,
Ἐφ' ἣν ὁμαλῶς καὶ πεφεισμένως[3] βρέχει,
Ὡς ἂν ἔχοι μάλιστα τὰ κτήνη χλόην,
Καὶ τῇ λογικῇ ζῶντα δουλεύοι κτίσει.
Ναὶ πέμπε χιλὸν τοῖς ἐμοῖς βοσκήμασιν,
Ἃ λιμὸς ἐξέτριψεν οὐ Φαύλου χρόνου,
Μιμητὰ τοῦ τρέφοντος ἡμᾶς ἀφθόνως,
Μήπως Νινευὶ τήνδε τὴν πόλιν πόλιν
Ἐκ τοῦ πάθους ἔχοι τις ἢ χείρω κρίνειν
Ὅσῳ τὸ συμβὰν οὐ τριήμερον[4] μόνον,
Ἀλλ' ἔστιν εὑρεῖν καὶ παρατεταμένον,
Ὦ τῶν ἐπὶ γῆς ποιμένων διδάσκαλε.

CXXII. Τῷ Ξανθοπούλῳ.

* Ἀπώλεσα τὸν ἵππον, ὦ Φρενῶν βάθος,
Ὦ γε πρὸς ἀνάψυξιν ἐχρώμην τέως·

[1] Psalm. xxxii, 19.

[2] Noster, *De plant.* v. 197 : Καὶ μεταλλεύουσαν ἀῤῥήτως θέσιν.

[3] Theod. Stud. cod. Coisl. 94, fol. 216 r° : Περ. ἔχειν σε τοῦ σώματός σου τῆς ὑγείας. Jo. Stauracius, cod. Coisl. 146, fol. 79 v° : Σὺ δὲ περ. οὕτως ἔχεις καὶ φθονερῶς. S. Basil. cod. Par. 877, fol. 46 r°. Demoph. *Sentent.* p. 2. Georgides, ap. Boisson. *Anecd. gr.* t. I, p. 84. German. Cpolitan. codex Coisl. 278, fol. 168 v° : Πλὴν ἀλλὰ π., καὶ οὐ κατὰ κόρον καὶ μέχρι γεύματος.

[4] Conf. Jonas, II, 1. Anonym. cod. Par. 362, fol. 29 r° : Ὁ ζωοποιῶν τὸν προφήτην ἐν τῇ καρδίᾳ τῆς θαλάσσης τριημερεύσαντα καὶ ἀναπέμπειν εὐχὰς ἐκ τῆς κοιλίας τοῦ κήτους αὐτὸν ἐνισχύων.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀπώλεσα τὸ κτῆνος, ὢ δεινοῦ πάθους[1]!
Τοῦ παιδὸς ὑπνώσαντος ἐκ παροινίας[2].
Ἀπώλεσα δ' οὖν οὐχὶ τὸ κτῆνος μόνον
Αὐτοῖς χαλινοῖς καὶ σιλολαῖς ἐφεσιρίδος,
Ἀλλ' ὡς ἐν ἀκμῇ τῆς ἀποφράδος τύχης,
Καὶ τὴν φίλην ἔνδικον ἔσθ' ὅτε σπάθην,
Ἣν ἀπὸ λαβῆς εἶχον ἠργυρισμένην.
Πῶς οὖν τὸ συμβὰν ὑπενεγκεῖν ἰσχύσω
Πρὸς τὴν βάδην κίνησιν οὐκ ἐξισχύων,
Ἥλιε καὶ ζῶν τῶν ἐμῶν φῶς ἐλπίδων[3],
Δίδαξον, εὐμήχανε καὶ σοφώτατε,
Καὶ τῶν ἐμῶν φάρμακον ἐξ ὕψους πόνων.

CXXII. A.

Ἅς τινας[4] ἂν χάριτας ἡμῖν ὑπέθου
Καὶ μέχρι σιερῥῶν[5] σὴν ἀφιγμένοις χάριν,
Κἀνταῦθα λαμπρῶς ὁ χρυσοῦς πρόες φίλος·
Σοῦ γὰρ τὸ φιλότιμον οὐκ εἴργει χρόνος,
Καὶ τὰ πρὸς ἡμᾶς οὐ περιγράφει τόπος,
Ἀλλ' ὡς ὕδωρ καὶ πνεῦμα καὶ φωτὸς χύσις[6],
Τὴν δρασιικὴν δύναμιν ἐμφύτως ἔχεις.
Ὅταν δὲ τὰς χάριτας[7] ἡμῖν εἰσφέρῃς,
Οὐ δυσαρεσιεῖς, οὐδὲ κομπάζεις μάτην·

[1] Cf. infra CCIX, 9.

[2] *De eleph.* 21 : Εὐάγωγον ἐκ παροινίας.

[3] Hic versus infra quoque CXXIV, 19. Cf. supra CXX, 8.

[4] Sine titulo.

[5] Hic fort. latet loci nomen.

[6] Cod. Par. X, 2. Cod. Esc. XV, 2 : Χύσιν δὲ φωτὸς τῷ Θαβὼρ κἀν τοῖς τύποις. Unde φωτοχυσία apud German. Cpol. cod. Coisl. 278, fol. 150 v° : Μεταδοτικὸν τῆς ἰδίας φωτοχισίας (leg. φωτοχυσίας) τοῖς χρήζουσι. Nicetas Stethatus, cod. Par. 362, fol. 252 r° : Αἱ φωτοχυσίαι τοῦ πνεύματος.

[7] Conf. cod. Par. X, 44.

Ἀλλ' οὐδὲ τὸ πρόσωπον ὠχρὸν δεικνύεις,
* Ὃ φαιδρὸν ὠργάνωσεν ἡ σὴ Θερμότης,
Ἀλλ' ὥς τις ἡδὺς ἀπὸ πασλοῦ νυμφίος
Χαίρεις[1] ἐφ' οἷς, βέλτισλε, καθάπαξ δίδως·
Οὐκοῦν ἀγαθὸν μὴ διαφθείρας ἔθος
Τῷ σῷ πάλιν γνώριζε Φιλῇ τὴν φύσιν.

CXXIII.

Σὺ[2] μὲν διαζῇς ἀρετῆς ὢν ἐργάτης
Εἰς τὸν πολυκύμαντον[3] ἀκλύσλως βίον·
Ἐκούφισας γὰρ τῆς ψυχῆς τὴν ὁλκάδα[4],
Τὰ τῆς ὕλης δύσοισλα φαυλίσας βάρη·
Μᾶλλον δὲ ῥιφεὶς εἰς τὸ πῦρ[5] τῶν πραγμάτων
Πυριγόνου δύναμιν εὑρέθης ἔχων.
Τῆς γὰρ ἐν αὐτοῖς οὐ μετασχὼν ἀσθόλης
Ὁρᾷς ἀπαθῶς τοὺς ἀποκρύφους πόνους·
Καρπούμενος δὲ συμφορὰς ἀλλοτρίας
Τοὺς ποικίλως κάμνοντας ἀναλαμβάνεις.
Ἐγὼ δὲ πολλοῖς παρενεχθεὶς[6] κινδύνοις,
Καὶ τῶν μεριμνῶν πυρποληθεὶς τῷ βρόμῳ[7],
Καὶ παντοδαπῇ συσχεθεὶς καχεξίᾳ,
Πρόσειμί σοι, κάλλισλε τῶν φίλων πάτερ.
Τὴν γοῦν ζάλην κοίμιζε τὴν φλόγα σθέσας[8],

[1] In cod. male suprascriptum *χαίροις*.

[2] Versus anepigraphi.

[3] Codex Paris. 1054, fol. 260 v°: *Οἱονεί τινος πολυκυμάντου κλύδωνος.* Adverb. *ἀκλύσλως* non proferunt lexica. Anonym. *De Ponto*, p. 177 : *Ναῦσιν ἄκλυσλος.* Vide quoque p. 179.

[4] Cf. supra LXXIV, 5.

[5] Cf. cod. Esc. CLXXX, 3.

[6] Infra CCIX, 28 : *Τοῦ δὲ φθόνου πνεύσαντος αὐτῷ πρὸς βίαν, Καὶ τὴν ἀγαθὴν παρενεγκόντος τύχην.*

[7] Supra C, 3 : *Λόγων βρόμον.*

[8] *De animal.* 401 : *Καὶ σθέννυσι μὲν τῆς καμίνου τὴν φλόγα.*

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῇ νόσῳ Φάρμακον, εἰ μή τις Φθόνος,
Σίτινον ἢ κριθινον ἢ χρυσοῦν δίδου·
Ὁ γὰρ περισπούδαστος[1] ἐσμὸς[2] τῶν Φίλων
Κλάουσιν οὐδὲν εἰσΦέρειν δυνάμενοι.

CXXIV. Εἰς τὸν μέγαν Λογοθέτην[3].

* Ἄριστε τοῦ ξύμπαντος ἀνθρώπων γένους,
ὈΦθαλμὲ τῆς γῆς, δραστικὴ χεὶρ τοῦ κράτους,
Παγκοσμίων ἤδιστε χειμὼν[4] ἐλπίδων,
Ἔκπληξις ἐχθροῖς, κόσμε τῶν νῦν πραγμάτων,
Ἑρμῆ βραβευτὰ τῆς ὑπὲρ γῆν Ἀτθίδος,
Καὶ τῆς Ἀθηνᾶς τῆς καλῆς νυμΦοστόλε[5],
Ἕως μὲν ἡ σὴ μὴ παρῆν ἡμῖν Φύσις
Αὐθαιρέτως λύουσα τὰς περιστάσεις,
Ἐστεργόμην[6] τὴν Σπάρταν ἣν ἐλάχομεν·
Τῆς γὰρ πονηρᾶς ἀντιπιπλούσης τύχης
Ἔρημον οὐκ ἦν δυσχερῶν ἔχειν βίον·
Ἐπεὶ δὲ τῆς σῆς χρηστότητος ἡ χύσις,
Ἄβυσσε καλῶν, καὶ πρὸς ἡμᾶς ἐῤῥύη,
Τί μὴ τὸ λυποῦν τῆς ψυχῆς ἀποκλύσας
Λύεις τὸν αὐχμὸν τῶν καλῶν τῶν ἐν βίῳ,
Ὡς ἂν ὁ καρπὸς ἐκΦυῇ σοι τῶν κρότων,
Καταλιπανθεὶς τῇ χλιδῇ τῶν πρακτέων[7];

[1] Cf. infra CXXXI, 137.

[2] Cf. infra CLIX, 6.

[3] Cod. M. fol. 81. De Logothetarum dignitate vide Bandini notam.

[4] Leg. λειμών. Cf. CXXXIV, 10.

[5] Nonnus, *Dionys.* XLVIII, 108 : Ἦν δὲ παλαισμοσύνη νυμφοστόλος. Psellus *In Cantic. cant.* p. 116 : Ἄλλως ἐνασχήματι τινὶ σεμνονυμφοστολίας. Leg. Ἀλλ' ὡς ἐν σχήματί τινι σεμνῷ νυμφοστολίας.

[6] Leg. ἐστέργομεν. De prov. Σπάρταν ἔλαχες, κείναν κόσμει, vid. Paræmiographos.

[7] Cf. supra CXIII, 5, ubi hi duo versus 16 et 17.

Ακαδημία Αθηνών / Academy of Athens

Τί μὴ δὲ τὴν ϖρόσλαμψιν[1] ἡμῖν ἐγχέεις,
Ἥλιε καὶ ζῶν τῶν ἐμῶν Φῶς ἐλπίδων[2];
Τοῖς γὰρ ἀπαυγάσμασι[3] τῆς σῆς αἰθρίας
Ὁ τῶν ἀηδῶν εὐχερῶς εἴκει γνόφος[4],
Ἐπεὶ τίς ὡς σὺ τήν τε γενναίαν Φύσιν,
Ἢ Θαυμάτων ἤμελξεν ἐμΦύτων γάλα[5],
Καὶ τὴν λογικὴν ἧς τὸ ϖᾶν ἔχεις μόνος,
Ἑλλην κατασΤὰς εὐμαθὴς τοῖς ϖράγμασι;
Πλὴν ἀλλ' ἐγὼ σὸς, εἰ δὲ καὶ δοῦλος ϖένης,
* (Οἶδας ὁ λαμπρὸς) εἰ δὲ[6] τῶν ἄλλων ϖλέον,
Τὸ σὸν ϖνέων ϖρόσωπον ᾧ νέκταρ χύδην
Ὁ κατακοσμήσας σε[7] γινώσκει ϖλέον·
Τὸ γὰρ ἄνω κάτωθεν ἑλκύσας κράτος
Τέθεικας[8] ἡμῖν εὐμενὲς τὸ νῦν κράτος·
Ἐγὼ δέ σοι δίδωμι τὸν νοῦν, τὸν λόγον,
Τὴν γλῶΤΤαν αὐτὴν, τὸν βίον, τὰ Φίλτατα.
Τὸ γὰρ ἄνευ σου ζῆν τε καὶ ϖνεῖν καὶ γράΦειν
Οὐ βούλομαι σχεῖν εἰς τὸν αὐτίκα βίον,
ἌρισΤε τοῦ ξύμπαντος ἀνθρώπων γένους.

CXXV. Εἰς τὴν εἰκόνα τῆς Θεομήτορος.

Σὺ μὲν, κόρη ϖάναγνε, τοὺς τύπους λύεις
Οὓς εἶχε τοπρὶν ὁ σκιογράΦος νόμος·
Ὁ γὰρ νοητὸς ἦλθεν ἐκ σοῦ ΦωσΦόρος,
Λύων τὸν ἀτμὸν τῆς Φθορᾶς καὶ τὸν ζόΦον·

[1] Cod. Escur. CCXIII, 205 : Ἡλίου ϖρόσλαμψιν.

[2] Hic versus supra CXXII, 12.

[3] Supra 1, 681 : Τοῖς ἀπαυγάσμασι τῶν χαρισμάτων.

[4] Cf. cod. Par. XIV, 380.

[5] Conf. supra. CXIII, 10 et 11.

[6] Leg. ἀλλά, quod sententia postulat; εἰ δέ per errorem e præced. versu irrepserit.

[7] Fort. desunt quædam.

[8] Cod. τέθηκας.

Ακαδημία Αθηνών / Academy of Athens

Ἡ δὲ γραφικὴ τῆς ἀληθείας χάριν
Καὶ ϖαρθένον γράφει σε καὶ ϖαιδοτρόφον,
Μᾶλλον δὲ τοῦ ϖλάσαντος ἡμῶν τὴν Φύσιν,
Καὶ τῇ καθ' αὑτὸν Φαιδρύναντος εἰκόνι,
Χερουβικόν σε δεῦρο δεικνύει Θρόνον·
Σιγᾷς δὲ Θαυμάζουσα μικροῦ τὸν τόκον,
Ὅσον Φυσικῶν εὑρεθέντα βελτίω,
Καὶ τῆς γραφικῆς τάχα νικᾷς τὴν Φύσιν,
Ἀναπνοῆς ἔχουσα λεπτῆς ἐμφάσεις·
Ζωὴν γὰρ ἀνθύπαρκτον[1] εἰς χεῖρας Φέρεις,
Ἣ σαρκὸς ἱσ[ο]ύργησας[2] αὐτὴ ϖορφύραν,
Βαφεῖσαν ἐκ σῶν ϖαρθενικῶν αἱμάτων·
Ὦ ϖῶς τοσοῦτο Θαῦμα λαλήσει σ[ό]μα!
Ποῖος δὲ νοῦς, ἄμεμπτε, χωρεῖν ἰσχύσει;

CXXVI. Εἰς εἰκόνα τοῦ μεγάλου Γεωργίου.

Ἔδειξεν οἷς ϖέπονθεν ὁ σ[τ]εφανίτης,
Ὡς μαρτυρικῆς μεῖζον οὐδὲν ἀνδρίας[3].
Χωρεῖ γὰρ εἰς ϖῦρ, εἰς ὕδωρ, εἰς ἀέρα,
Καὶ ϖᾶσαν ἁπλῶς τὴν ὁρωμένην[4] Φύσιν·
Καὶ γίνεται δὴ ϖῦρ μὲν εὐθὺς ἡ δρόσος,
Τὸ ϖνεῦμα δὲ Φλὸξ, ἵνα μὴ Θᾶτ[ο]ν κάμῃ
Τοῦ μάρτυρος τὸ σῶμα λυθὲν τοῖς ϖόνοις.
Γεώργιος γὰρ μαρτυρεῖ τοῦτο ϖλέον,
Ὃς ἦν ἀτεχνῶς ἀνδριὰς τὴν ἔνσ[τ]ασιν,
Ἀκάματον ϖῦρ[5] εἰς Θεοὺς νόθους ϖλέον[6].

[1] Leg. *αὐθύπαρκτον*.

[2] Supra xv, 2 : Ὃν (*χιτῶνα*) ἡ *Φύσις ϖόῤῥωθεν ἰσ[ο]ύργησέ σοι*. *In Cantacuz.* 278. Conf. Paraphr. *Il.* 1, et German. Cpolit. cod. Coisl. 278, fol. 188 v° : *Ἰσ[ο]υργεῖν γὰρ οὐκ ἐξὴν ἐξοδεύουσιν*.

[3] Cod. *ἀνδρείας*.

[4] Cod. *ὁρμωμένην*.

[5] *Ἀκάματον ϖῦρ* ex Hom. *Il.* O, 597.

[6] Fort. leg. *ϖνέον* vel *ϖνέων*. Infra

Ακαδημία Αθηνών / Academy of Athens

Ἐπεὶ δὲ τὸν χοῦν τῆς φθορᾶς διεξέδυ[1],
Κἀν τοῖς ἄνω ϖίναξι λαμπρῶς ἐγράφη,
Στέργει σαφῶς καὶ τόνδε τὸν κάτω τύπον,
Καὶ θαυματουργεῖ ϖίσλιν εἰ βλέποι μόνην.
Σὺ δὲ, σκόπει, βέλτισλε, ϖῶς χεὶρ ζωγράφου
Σχεδὸν ϖνοῆς δύναμιν ἐγχεῖ τοῖς τύποις,
Πηγνῦσα δεινῶς τῆς ψυχῆς τὰς ἐμφάσεις
Τοῖς ἀψύχοις χρώμασι τῆς εἰκασίας.

CXXVII. Εἰς εἰκόνα τοῦ σωτῆρος Χρισλοῦ, οὗ ἡ ἐπιγράφη συμπαθής.

Ἔδειξας οἷς εἴρηκας εἰς τὰς ἐμφάσεις
Ὡς συμπαθὴς εἶ· τοῦτο γὰρ δή σοι Φύσις·
* Καὶ τὴν ἐμὴν σύζυγον ἐσλειρωμένην[2]
Καὶ φιλτάτου σαίνοντος ἐσλερημένην,
Ὡς δεσπότης εὔσπλαγχνος οἰκτείρας, Λόγε,
Ἡμῖν σεαυτὸν εἰκονισμένον δίδως·
Ὕπαρ γὰρ ἦν ἄντικρυς, οὐκ ὄναρ[3] τόδε,
Καθὼς ἐπισλὰς εἶδον αὐτὸς τὸν τύπον,
Ἐφ' οὕπερ ἦν καὶ τοῦτο, Συμπαθὴς ὅδε.
Λαβόντες οὐκοῦν ἀσφαλεῖς τὰς ἐγγύας
Ἐγγράφομέν σου δεῦρο τὸν θεῖον[4] τύπον,
Ὡς τῆς ϖρὶν ἀντίμιμον εἰκονουργίας[5].

CXXX, 45 : Ζῶ δ' οὖν ϖνέων ϖῦρ ἀπὸ τῶν σπλάγχνων βρέμον.

[1] Cf. infra CXXX, 23.

[2] Cod. ἐσλειρωμένον.

[3] Alludit ad Homer. *Od.* T, 547 : Οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν.

[4] Cod. θεῶν.

[5] Theod. Stud. p. 155 B : Τῇ μητρώᾳ εἰκονουργίᾳ; 156 A : Τὸ τῆς εἰκονουργίας εἶδος. Id. p. 185 E, et 445 E. German. Cpol. cod. Coisl. 278, fol. 170 r° : Οὐχ ἵσλησι μέχρι τούτου τὴν ϖροτύπωσιν ὁ δι' ἑαυτοῦ τὰ εἰκονουργήματα ϖρὸς τὸ ἐντελόμορφον διαζωγραφήσας λόγος θεοῦ. Lexicis obiter addam varia cum voce εἰκὼν composita. Εἰκονογλύφος, εἰκονοκτίσλης, Niceph. Cpol. in *Spicileg. Solesm.* t. I, p. 500 : Ἵνα τοὺς εἰκονοκτίσλας καὶ εἰκονογλύφους (Bolland. εἰκονοφίλους) καὶ εἰκο-

Ακαδημία Αθηνών / Academy of Athens

Σὺ δ' ὡς ἀληθὴς καὶ Θεὸς καὶ δεσπότης,
Καὶ συμπαθὴς τὴν φύσιν ὡς ἐπεγράφης,
Δὸς τέκνον ἡμῖν κατὰ τὸ ϖρόσλαγμά σου
Τὴν τοῦ γένους αὔξησιν ἀθροῦν τῷ χρόνῳ·
Τίκτοι[1] γὰρ ἂν καὶ λίθος εἰ μόνον θέλεις.
Φιλανθρωπηνὸς[2] ταῦτα σὸς λάτρις Δούκας.

CXXVIII. Εἰς εἰκόνα τῆς Θεομήτορος.

Τῆς μητρὸς ἀμείψασα τὴν ἀτεκνίαν,
Καὶ τοῦ γένους λύσασα τὴν ἀκαρπίαν,
Καὶ τὸν Θεὸν τεκοῦσα, ϖαρθένε, βρέφος,
Νῦν τὴν ἐμὴν σλείρωσιν εὐσπλάγχνως λύοις,
Ὡς ἂν ὁ καινὸς τοῦ Θεανθρώπου τόκος
Ἐγκωμιασλὴν καὶ ϖαρ' ἡμῶν λαμβάνοι,
Σεσωσμένον καὶ τοῦτον ὡς τὸ ϖᾶν γένος.
* Φιλανθρωπηνὴ ταῦτα σὴ λάτρις γράφει.

CXXIX. Εἰς εἰκόνα τοῦ μεγάλου Χρυσοσλόμου, καὶ τοῦ μάκαρος Ὀνουφρίου[3].

Ὁ ϖατριάρχης τὸ χρυσοῦν δεῦρο σλόμα,
Γυμνὸν ϖαλαισλὴν ϖροσλαβὼν ϖάρεσλί μοι.
Σὺ γοῦν, ϖονηρὲ τῶν ψυχῶν ὁδοσλάτα,
Φρίξον Θεωρῶν τούσδε τοὺς ὑπερμάχους,
Καὶ τῶν ἐμῶν ἔκσληθι ϖενθῶν ϖρακτέων.
Τὴν γὰρ ἑκατέρωθεν οὐ σλέξεις μάχην,
Κἂν ἧς ἀλαζὼν, κἂν θρασυνθῇς ϖρὸς δύο.
Φιλανθρωπηνὸς[4] ταῦτα θαῤῥούντως λέγει.

νολάτρας τῇ ἰδίᾳ εἰκόνι τῆς Θεότητος ὑποτάξῃ. — Εἰκονοειδής, Th. Stud. p. 444 C : Ἡ εἰκ. φαντασία. — Εἰκονοκαυσλής, Coteler. *Monument. eccles.* t. IV, p. 423.

[1] Cod. τίκτει.

[2] Fort. Alexius Ducas Philanthropenus de quo Georg. Acropolita, p. 126, ed. Bonn.

[3] De S. Onuphrio cf. supra XXXVIII.

[4] Cf. supra not. 2.

Ακαδημία Αθηνών / Academy of Athens

CXXX. Ἐπιτάφιοι εἰς τὴν γυναῖκα τοῦ Σταυρακίου[1].

Ἰού, ἰού τί τοῦτο, καὶ πῶς ἐκρύβης,
Τὸ ζῶν πρὸ μικροῦ τῶν ἐμῶν φῶς ὀμμάτων;
Μᾶλλον δὲ πῶς ἔγωγε καὶ ζῶ καὶ πνέω,
Σοῦ φεῦ διασθὰς τῆς καλῆς ὁμοζύγου;
Κἂν γὰρ ἔτι ζῶ, κἂν συνεκτέθνηκά σοι,
Κἂν ἡμιθανὴς[2] ὑπὸ τοῦ πάθους μένω,
Οὐκ οἶδα σαφῶς, ἀλλὰ πάπαι τῆς τύχης[3]!
Εἰ σοῦ δίχα ζῶ, καὶ θανατῶν ἐμπνέω·
Πλὴν ἀλλὰ τὴν μόνωσιν οὐ στέγω πρᾴως,
Τρυγὼν ἐμὴ φίλανδρε καὶ στρουθοτρόφε[4],
Βίου κιβωτέ, κῆπέ μου κεκλεισμένε,
Πηγὴ καλῶν πόῤῥωθεν ἐσφραγισμένη,
Φρονήσεως θάλαμε[5], νυμφῶν[6] ἀνδρίας.
Τὸν γὰρ περισπούδαστον[7] ἀνθρώποις γάμον
Ὡς φροντίδων γόνιμον αὐτὸς ἐκκλίνων,
* Μόλις μετὰ σοῦ ζῆν ἐπὶ γῆς εἱλόμην,
Καὶ πρὸς τοσοῦτον ἦλθον ὀλβίας τύχης
Ὅσον κατ' αὐτῶν δυσφορεῖν τῶν ἀζύγων,
Εἰ μὴ τοσαύτην ἔσχον ἐκ παιδὸς χάριν,
Ὡς τῶν ἐμῶν φάρμακον εὑρέθης πόνων·
Καὶ παντὸς εἶχον ἡδέος σε πρόξενον,
Ἀλλ' ἡρπάγης πρόωρος, ἀλλ' ἀπερράγης

[1] Cod. M. fol. 16. Exstat Gregorii Cyprii epistola ad Stauracium in cod. Monac. n° 50, p. 255. Cujus uxor Anna nominabatur, vid. v. 24 et ad finem carminis.

[2] German. Cpolit. cod. Coisl. 278, fol. 163 v°: Ὁποῖος δὲ καὶ ὁ τρόπος τῆς χειρουργίας τοῦ καλοῦ ἰατροῦ ἦλθε πρὸς τὸν ἡμιθανῆ ὁ ζωοποιός.

[3] Cod. ψύχης, sic.

[4] Hac voce augenda lexica.

[5] Cf. supra CXII, 2.

[6] Infra CXXXI, 71.

[7] Cf. infra CXXXI, 137.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐκδῦσα τὸν χοῦν[1] καὶ τὸ βαρὺ[2] φορτίον
Πρὸ τῆς παρακμῆς, Ἄννα, καλλώπισμά μου·
Κἀγὼ τὸν ἁπλοῦν καὶ πρὸ τοῦ γάμου βίον
Τοῦ δευτέρου τίθημι πολλῷ βελτίω.
Τί γὰρ ἐμοὶ τὸ κέρδος ἐκ τῆς συννόμου
Καὶ τῶν κατ' αὐτὴν ἀφθόνων χαρισμάτων,
Ἥλιε καὶ γῆ καὶ τελευταῖοι πρότοι[3];
Πλὴν ἀλλὰ σοὶ μὲν καὶ πρὸ τῆς ἡλικίας
Ἡ σεμνότης ἤνθησε τῆς εὐκοσμίας·
Ἐγὼ δέ σου τὸ κάλλος οὐκέτι βλέπων
Οὐ δύναμαι ζῆν, οὐδ' ἀκινδύνως πνέειν·
Ὁρῶν δὲ τὸν σὸν ὡς ἐν εἰκόνι τρόπον
Τῷ μνημονικῷ τῆς ἐμαυτοῦ καρδίας,
Εἰς πάντα καιρὸν ἐν σλεναγμοῖς δακρύω.
Ἔχω γὰρ ὑπέκκαυμα[4] τοὺς κοινοὺς τόκους
Καὶ τοὺς ἀδελφοὺς οὓς τραγῳδοὺς εἰργάσω,
Μᾶλλον δὲ τὸν σὸν εὐγενῆ Φυτοσπόρον[5],
Ὃς καρτερικὸς[6] ἀρετῆς ὢν ἐργάτης
Τοῦ σοῦ μόνου δήπουθεν ἠτλήθη πάθους.
* Ὦ τῆς τύχης ἥδυσμα, τοῦ βίου τρόπις[7],
Κἂν τῆς τελευτῆς εἶλε τὴν ναῦν ὁ κλύδων,
Καὶ κατέδυς αὔτανδρος[8] εἰς τὸν πυθμένα!

[1] Cod. Paris. XIV, 255 : Ἐῶσα τὸν χοῦν ὡς βαρύ τι φορτίον. Supra CXXVI, 11 : Τὸν χοῦν τῆς φθορᾶς διεξέδυ. Infra CCXI, 124 : Ἀφεῖσα τὸν χοῦν τῶν παθῶν καὶ τὸν ζόφον.

[2] Cod. βορύ.

[3] Cf. infra CCIX, 18, ubi idem versus.

[4] Cf. cod. Par. CXXIV, 10.

[5] Φυτοσπόρος sæpius accipitur pro patre et pro matre.

[6] *Vita S. Posidonii*, cod. Par. 1532, fol. 285 : Ἐγκαρτερικώτατος ἀσκητής, qua voce carent lexica.

[7] Alio sensu Aristoph. *Vesp.* 30 : Λέγε νυν ἀνύσας τι τὴν τρόπιν τοῦ πράγματος.

[8] Supra XLIII, 9 : Καὶ καθάπερ δύσοισλος ἐν ζάλῃ γνόφος Τῶν ἐλπίδων αὔτανδρα συγκλῶν τὰ σκάφη. Cf. cod. Par. 2831, 160 r°.

Ακαδημία Αθηνών / Academy of Athens

Ζῶ δ' οὖν πνέων [1] πῦρ ἀπὸ τῶν σπλάγχνων βρέμον,
Ἐπείπερ ἡ σὴ μηδαμοῦ φεῦ μοι δρόσος.
Τὰ πρός με σοῦ γὰρ τίς ποτ' ἐκφράσει λόγος,
Ὦ κόσμε λαμπρὲ τῶν ἐμῶν χθὲς ἐλπίδων;
Τοὺς γὰρ ἐμοὺς ἔσλεργες ἐκτόπως λόγους,
Καὶ νεῦμα τοὐμὸν σὸς ῥυτὴρ ἦν εὐθέως,
Κἀκεῖνο τῇ σῇ πανταχοῦ φίλον φύσει,
Ὃ δῆτα κἀμοὶ, καὶ τὸ μὴ φίλον πάλιν,
Τοιοῦτο καὶ σοὶ μέχρι τῆς σῆς ἐξόδου·
Νυνὶ δὲ βαθαὶ τῆς ἀποφράδος τύχης,
Μᾶλλον δὲ παπαὶ τῆς ἐμῆς ἁμαρτίας,
Ἧς ταῦτα καρπὸς εἰς ἀπευκταῖον θέρος.
Παρῆλθες ὡς χοῦς ἐκτιναχθεὶς εἰς κόνιν,
Καὶ μικρὸν εὐφράνασα μακρὸν ἀλγύνεις,
Καὶ θάτερον φυγοῦσα τοῦ ζυγοῦ μέρος,
Ὃν εἵλκομεν πρὶν σύ τε κἀγὼ πρὸς βίαν,
Ἐμοὶ τὸ πᾶν ἀφῆκας ἀνέχειν βάρος,
Καὶ γίνομαι δὴ συμφορῶν ἐπισλάτης,
Ὡς ἐξ ὑπαρχῆς ἀνάγων τὰ φίλτατα.
Φεῦ πῶς τὸ παρὸν καρτερεῖς ἐμὸν πάθος,
Ἀλλ' οὐ συναλγεῖς, οὐδ' ἐπισλρέφῃ τέως,
* Ἡ συμπαθὴς ἄνθρωπος; ὢ ζῶντος πάθους [2]!
Εἰς σῶμα νεκρὸν κἂν ἐν αἰσθήσει πνέω·
Παρήκαμεν γὰρ τῇ φθορᾷ τὰς ἐλπίδας,
Καὶ τὴν ἀγωγὴν, καὶ τὰ σεμνὰ τοῦ γένους,
Καὶ τὸν πολυσύλλεκτον [3] ἐκ πόνων βίον.
Ἀλλὰ σιωπᾷς, τὸ γλυκὺ πρόσφθεγμά [4] μου,

[1] Cf. supra CXXVI, 10.

[2] Infra CCIX, 9.

[3] Hanc vocem ignorant lexica. Ignorant et ἱεροσύλλεκτος, Theod. Stud. cod. Par. 891, fol. 86 v°.

[4] Supra LXVIII, 15 : Καὶ τῶν παρ'

Ακαδημία Αθηνών / Academy of Athens

Ἢ τῆσδε τῆς σῆς εὐγενοῦς μητρὸς χάριν·
Δοκεῖς γὰρ αὐτῆς εὐλαβεῖσθαι τὸν τύπον,
Κἂν εἰς ὑμᾶς ἔκρυψεν εὐδαίμων τάφος·
Ἢ τὴν σολὴν φρίτλουσα τῶν μονοτρόπων,
Ἧς οὐ κατ' αὐτὴν ἠξιώθης ἐκ νόσου
(Τῶν γὰρ ἰατρῶν οὐ παρέσχεν ἡ κρίσις,)
Ἢ τὴν ἐμὴν τιμῶσα κἀνταῦθα σχέσιν·
Τὸ γὰρ σιωπᾶν κόσμος ἦν σὸς ἐκ βρέφους,
Καὶ κόσμος οὐκ ἦν εἰς τὸ σὸν κάλλος νόθος·
Γέλως δέ τις ἄσεμνος οὐκ ἔτερπέ σε·
Τὴν γὰρ τελευτὴν ὡς παροῦσαν ἐσκόπεις,
Τὰς παιδιὰς φεύγουσα τῶν μὴ σωφρόνων.
Ἀλλὰ σὺ μὲν ζῇς ἄλλον ἐντεῦθεν τρόπον·
Τὴν γὰρ ὕλην παρῆλθες ἀπλέρῳ τάχει·
Ἐγὼ δὲ καὶ ζῶ καὶ τελευτῶ καθάπαξ,
Ὦ χάρις Ἄννα, τῆς ἐμῆς φῶς καρδίας,
Κἂν ἐσλερημένον με σαυτῆς δεικνύοις.
Ὁ Σταυράκιος ταῦτά σοι τῇ συζύγῳ
* Τὴν προσλαλιὰν ὀργανῶν[1] τὴν ἐσχάτην.

CXXXI. Εἰς τὸν μέγαν Δομέστικον[2].

* Φῶς ἐν ζόφῳ σὺ, καὶ μετὰ ψύχους ἔαρ,
Ἐκ τῆς Θρᾴκης ἥδιστος ὀφθεὶς τοῖς φίλοις,
Ὦ νοῦ στρατηγὲ καὶ πρὸ τῆς ἥβης γέρον,
Καὶ δένδρον ἀνθοῦν ἀπὸ ῥιζῶν ὀλβίων
Τοῖς ἐμφύτοις αἵμασι τῶν βασιλέων,
Καὶ παντὸς ὑπόδειγμα λαμπροῦ τῷ χρόνῳ,
Καὶ τῆς πυκαζούσης σε κοσμῆτορ τύχης,

ἡμῖν ἀκροῶ προσφθεγμάτων. Vid. cod. Esc. CCXXIII, 1.

[1] Cod. M. ὀργάνων male.

[2] Fort. in Jo. Cantacuz.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐγὼ τὸ[1] σὸν ϖρόσωπον ἀθρῶν ὡς ῥόδον,
Ὃ μήθ' ὁ δεινὸς ὑποσυλήσαι φθόνος,
Μήθ' ὁ τρυγῶν[2] ἅπαντα μαράναι χρόνος,
Μὴ, ϖαραγωγεῦ τῆς ϖνοῆς τῶν ἐμψύχων,
Καὶ ζῶν φυτουργὲ τῆς χλιδῆς τῶν ἀνθέων,
Ὀδμαῖς ἐπ' αὐτὸν[3] μυσλικαῖς ἀναψύχω,
Καὶ καρδιαλγῶν ὑπὸ τῆς φαύλης τύχης
Τὴν τοῦ ϖνίγους βρέμουσαν ἀμβλύνω φλόγα.
Ἦ τίς τοσοῦτον εἶδεν ἀρχῆθεν τέρας
Εἰς τήνδε τὴν γῆν καὶ τὸ συλλήβδην γένος;
Καὶ γὰρ ϖροθεὶς ἅπασαν ὀλβίαν φύσιν
Τρυγᾷς ἑκάστης εὖ μάλα τὸ χρήσιμον,
Καὶ συλλέγεις ἔρανον ἐκ τούτων χύδην,
Ὡς ἂν ὑπ' αὐτῷ ϖαντοδαπὸς τυγχάνοις,
Ἓν ἀρετῶν ἄγαλμα[4] φανεὶς τῷ χρόνῳ·
* Πάντες δέ σε ϖνέουσιν ὡς ϖάντας μόνον,
Καὶ ϖᾶς ὃς ἂν ἔχοι τι σεμνὸν ἐν βίῳ
Τοῦθ' εὗρεν εἰς σὲ καὶ Φιληδεῖ σοι ϖλέον·
Καὶ ϖάντας αἱρεῖς τῇ κατὰ ϖάντα σχέσει
Κοινῇ τὰ κοινὰ καὶ τὰ χωρὶς εἰσφέρων.
Πρώτη μὲν οὖν Φρόνησις ὠδίνησέ σε
Τὸ τῆς γονῆς κάλλιστον ἁρμοσαμένη·
Τεχθέντι σοὶ δὲ σπαργανοῖ τὸ σαρκίον
Ῥώμη λεοντῇ, καὶ μετὰ ταύτην ϖάλιν
Ἀνῆκε Θηλὴν εἰς ἀμολγὴν ἡ Θέμις.
Ἡ δ' αὖ γε λοιπὴ τῶν τριῶν καὶ βελτίων
(Ὅσῳ τὸ σῶφρον κέρδος ἀνθρώποις μέγα)
Λαβοῦσα κοσμεῖ καὶ καταψᾷ καὶ τρέφει,

[1] Cod. τὸν σόν.
[2] Cod. ὁ τρυγών.
[3] Leg. ἐμαυτόν.
[4] Cf. Boisson. *An. gr.* II, 256.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ κατὰ πᾶθῶν τρισαρισ̣τέα γράφει·
Καὶ ζῇ τὰ σεμνὰ τῶν πᾶλαιγενεσ̣τέρων,
Τῆς φύσεώς σου ταῦτα δεικνύσης ἔτι.
Τίς γὰρ τὸ σὸν πρόσωπον οὐ κατεπλάγη,
Τὸ χαρίτων ἄντικρυς ἐμφύτων γέμον,
Ὦ ζῶν Ἰωσὴφ καὶ κατ' αὐτὸ δὴ τόδε;
Μᾶλλον δὲ τίς τὰ τόξα[1] τῶν σῶν ὀφρύων
Οὐκ εἶπεν εὐθὺς τόξα γαλήνης τάδε;
Τίς γὰρ τὸ κάλλος εἰ βλέποι τῶν ὀμμάτων,
Καὶ τὴν ἐνασ̣τράπ̣τουσαν ὀξυδορκίαν,
Τὴν πλάσ̣τιδα σφῶν οὐ κροτεῖ χαίρων φύσιν,
Μᾶλλον δὲ τὸν πλάσαντα κοινῇ τὴν φύσιν;
Τοῖς γὰρ ἀνασ̣τήμασι τῶν σῶν ὀμμάτων
* Ῥεμβασμὸς οὐδείς ἐσ̣τιν εἰς κάλλος νόθον·
Ἡ ῥὶς δέ σοι κάλαμος ἐκ μελανδόχης,
Μᾶλλον δέ τις κρύσ̣ταλλος ἑσ̣τῶς εὑρέθη,
Καὶ καθόσον δίδωσιν ἡ τέχνη γράφειν,
Τὸ γρυπὸν οὐκ ἔχουσα τῆς ἀμετρίας,
Τὸ σιμὸν ἐκπέφευγε τῆς ἀκοσμίας·
Αἱ δὲ γνάθοι πῦρ ἀλλὰ καὶ φῶς καὶ δρόσος·
Τῆς γὰρ φυσικῆς πορφύρας ἡ λεπ̣τότης
Τῷ σφόδρα λευκῷ τῆς δορᾶς ἐπιπρέπει[2]·
Τὰ δ' ὦτα πολλῶν δεκτικὰ προσφθεγμάτων,
Καὶ βασιλικῶν πασ̣τάδες βουλευμάτων,
Κἂν ταῖς δίκαις εἴ που γε καὶ κρίνειν θέλοις,
Ἐλεγκτικὴν ἔχουσι τοῦ ψεύδους φύσιν·
Καὶ πρὸς μὲν ἡδύνοντας εὐκόσμως λόγους
Ἀναπετανυὺς κέρδος ἁδρὸν εἰσδέχῃ·

[1] Aristoph. *Lys.* 8 : Οὐ γὰρ πρέπει τοῦ ἐσκυθρωπακέναι. Cf. Suidas s. v. σοι τοξοποιεῖν τὰς ὀφρῦς. Schol. ἀντὶ Τοξοποιεῖν. — [2] Cod. ἐπιτρέπει.

Ακαδημία Αθηνών / Academy of Athens

Ὅταν δέ τις βάσκανος ὑπέλθῃ κρύφα,
Βύεις ϖαρευθὺς καὶ καταφράτλεις τάδε·
Κἄν τις ϖάλιν ἄσεμνα συγχέων λέγοι,
Στρέφεις μετ' ὀργῆς μὴ συναρπάσας λάθῃ·
Εἴ ϖου δὲ καὶ ϖρόχειρον ἀσλεῖον λέγοις[1],
Γέλωτι σεμνῷ τὴν βοὴν ϖαραπλέκων,
Ἄκουε καὶ συσλὰς[2] ὑπὲρ γῆς φωσφόρε·
Φρονήσεως γάρ ἐσλι νυμφὼν[3] τὸ σλόμα,
Συμμετρίᾳ ῥήγματος ὠργανωμένον,
Καὶ χειλέων ἄνθρακας ἐνδρόσους φέρον,
* Ἅπαν σχεδὸν ϖρόβλημα ῥᾳδίως φλέγει·
Ψεύδους δὲ τοῦτ' ἄγευσλον ἐκ βρέφους ἔχεις,
Μήπως ὁ κηφὴν τὴν ψυχὴν ὑποδράμῃ
Συλῶν τὸ λαμπρὸν τῆς ἀληθείας μέλι·
Σίμβλον γὰρ ἂν κρίνοιτο καθάπαξ τόδε
Τῆς ἀρετῆς τὸ νέκταρ οὐ Φαῦλον Φέρον[4].
Ὕβριν δὲ μισεῖς ἐκ τριχὸς ϖρωτοχρόνου
Καὶ τῶν ϖεριτλῶν οὐκ ἐπισλρέφῃ λόγων·
Ὅρκων δὲ τηρεῖς τὴν ψυχὴν ἐλευθέραν
Πρὸς τὸν μόνον βλέποντα καρδίας βλέπων.
Ὢ ϖῶς ὁ Φιλῆς τοῦτο Φιλεῖ τὸ σλόμα,
Τὸ χεῖλος ἐνθεὶς[5] τῆς ϖλοκῆς[6] σοι τῶν κρότων;
Τὴν ϖρόσχυσιν γὰρ τῶν Φιλανθρωπευμάτων[7]
Μεθ' ἡδονῆς μοι ϖολλάκις ἐθέσπισεν.

[1] Leg. λέγοι.

[2] Leg. καὶ σὺ, σλάς.

[3] Supra CXIII, 4 : Παγκοσμίων ἤδισλε νυμφὼν ἐλπίδων; CXXX, 13 : Νυμφὼν ἀνδρίας.

[4] Cod. Φέρων et supra Φέρον.

[5] Fort. ἠθάς.

[6] Supra I, 262 : Τούτους τάχα ϖλέκοντες αὐτῷ τοὺς κρότους. Cod. Par. LV, 14 : Τοὺς σοὺς, βασιλεῦ, τεχνικῶς ϖλέξω κρότους. Id. *De animal.* 212 : Οὓς (κρότους) ἂν τις αὐτῷ ϖροσΦυῶς διαπλέκοι.

[7] Conf. supra LXVI, 16.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ δὲ χρυσοῦς ἴουλος ἀνθεῖ σοι ξένως,
Ὡς οὐ περιτλῶς[1] οὐδ' ἀκαλλῶς ἐνδέων·
Οὕτω γὰρ ὑπέδειξε τὸν τοῦ Νιρέως
Ὁ τῶν παλαιῶν ζωγραφῶν τὰς ἐμφάσεις,
Ἐπείπερ αὐτὴν τὴν Ἀχιλλέως κόμην,
Οὐ βοστρύχων γέμουσαν ἀλλ' εὐκοσμίας,
Τῆς Φύσεως ὁ κόσμος ἐβράβευσέ σοι.
Ὁ δ' εὐστλαθὴς τράχηλος εἰς παντευχίαν[2]
Οὐδὲν φέρει πρόμηκες ἐκ τῶν σπονδύλων,
Ἀλλ' οὐδ' ἀγεννῆ[3] συστολήν σοι δεικνύει.
Ἀλκῇ δὲ χειρῶν καὶ συνολκῇ δακτύλων
* Πᾶν τόξον ὀρθοῖς τὴν βολὴν ἀπευθύνων·
Βάλλεις δὲ νεβρούς τοξικοῦ μᾶλλον Σκύθου,
Καὶ μέχρις αὐτῶν εὐστοχεῖς τῶν ὀρνέων,
Ὑπανέχων[4] τὸ τόξον εὐτέχνῳ στάσει·
Δόρατα δὲ κλᾶς ἐμποδὼν οὐδὲν φέρων.
Ὅταν δὲ τοῖς πένησι μετρῇς τὰς δόσεις,
Ζυγοστατῶν τὸ ψῆγμα τῆς εὐσπλαγχνίας,
Καὶ ποικίλους ἄνωθεν ἀθροίζων φόρους,
Πῶς τάσδε σου τὰς χεῖρας ὑμνήσει λόγος,
Ἃς οὐ παρεξέτεινας εἰς ἀπληστίαν,
Οὐδ' αἱμάτων ἔπλησας ἐξ ἁρπαγμάτων,
Ἀλλὰ πρὸς αὐτὸν τὸν Θεὸν καὶ δεσπότην
Τεταμένας ἔσχηκας ἐκ γῆς ἐμφρόνως,
Ἀφ' οὗ τὸ λουτρὸν τῆς ψυχῆς ἐβαπτίσω;
Ἔχεις γε μὴν εὔρωστον ἰσχίων θέσιν
Εἰς ἁλτικὴν ἔπαρσιν ἢ μῆκος δρόμου,

[1] Leg. περιτλός.

[2] Anon. *De S. Theodoro*, vs. 72 : Καὶ μαρτυρικῇ ῥήγνυται παντευχίᾳ.

[3] Cod. ἀγενῆ.

[4] *De eleph.* 297 : Ὑπανέχειν δέ φασιν αὐτῇ (προβοσκίδι) τοὺς τόκους.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ συμπλοκὴν ἄμοχθον ἑσλώσης ϖάλης,
Καὶ συντόνους ϖόῤῥωθεν ἐξελασίας,
Κούφους δὲ καὶ ϖρέποντας ἀνδρὶ τοὺς ϖόδας
Κἂν ϖεζομαχῇς, κἂν ἐπιτρέχῃς βάδην·
Τὸ σάρκινον γὰρ ἐκπεφευγότες βάρος
Γυμνασλικὴν ἴσχουσιν εὐαρμοσλίαν.
Καὶ ταῦτα μὲν σὰ κατὰ τὴν διαρτίαν
Καὶ τὴν ἁπασλράπλουσαν ἐκτός σου ϖλάσιν·
Λαλεῖς γὰρ ἃ χρὴ, καὶ σιωπᾷς ἂν δέοι·
* Λέξις δέ σοι ϖρέπουσα κοσμεῖ τοὺς λόγους,
Καὶ νοῦς ἐν αὐτοῖς καὶ σλροφὴ καὶ ϖυκνότης,
Καὶ λεπλότης ϖρόσφατος ἐνθυμημάτων.
Πειθοῦς κατασλὰς[1] αὐτομαθὴς τεχνίτης,
Πᾶσαν δὲ μισεῖς ϖαρὰ ϖαντὸς διπλόην,
Τὸν μῦθον ἁπλοῦν τῆς ἀληθείας[2] κρίνων.
Σπουδῆς δὲ καιροὺς ἀλλὰ καὶ μάχης τίθης,
Ὡς τις βραβευτὴς εἰ σκοπεῖ[3] τὸ συμφέρον,
Καὶ τοὺς κακῶς ϖάσχοντας ἀναλαμβάνεις,
Ἅ τινες ἡρπάκεισαν αὐτὸς εἰσφέρων,
Ὡς ἂν ὁ Θεσμὸς εὐνομῇ τῶν ταγμάτων,
Καὶ μηδὲν ᾖ ϖρόσκομμα τοῖς ἀνευθύνοις.
Ὁρῶν δὲ τὴν γῆν καὶ τὰ τῆς γῆς ἡδέα,
Καὶ τὸν ϖερισπούδασλον[4] ἀνθρώποις βίον
Εἰς τὴν ϖολυκύμαντον ἐνταῦθα ζάλην,

[1] Fort. *κατέσλης*.

[2] Eurip. *Phœniss.* 479 : Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

[3] Fort. *εὖ σκοπῶν*.

[4] Cod. Esc. CLIX, 1 : Τὸν μὲν ϖερισπούδασλον ἀνθρώποις βίον. Sup. CXXIII, 18 : Ὁ γὰρ ϖερισπούδασλος ἐσμὸς τῶν φίλων; CXXX, 14 : Τὸν γὰρ ϖερισπούδασλον ἀνθρώποις γάμον. Cod. Par. VI, 26 : Εἰς τὸν ϖερισπούδασλον ἀνθρώποις ϖόνον; LXXXII, 6 : Καὶ τὸν ϖερισπούδ. ἐμφαίνων ϖόνον. Noster, *De eleph.* vs. 174 : Καὶ τὴν ϖερισπούδασλον ἐκζητεῖ δρόσον. Id. *In Pachymer.* vs. 94 : Τὴν

Ακαδημία Αθηνών / Academy of Athens

Εὔριπον [1], ἢ χάρυβδιν [2], ἢ λῆρον μόνον,
Ἢ πετλὸν, ἢ γέλωτα παιζόντων μίμων,
Ἢ καθάπαξ ὄνειρον, ἢ ῥεῦμα τρέχον,
Ἢ κρίνον ἀνθοῦν καὶ μετὰ θέρος χλόην,
Ἢ καπνὸν οὐκ ἔχοντα καθ' ὕψους βάσιν,
Ἢ λεπτὸν ἀτμὸν, ἢ μεσημβρίας νέφος,
Ἢ νηπίου γάργαλον, ἢ κούφην κόνιν,
Ἢ πνεῦμα χυτὸν εἰς ῥοπὰς ἀγχιστρόφους·
Ταῦτα βλέπων, ἄτυφος ὁ πρᾶος μένεις,
Καὶ μετρίῳ σχήματι . . . . . .
Τὸν τῆς τύχης Ὄλυμπον ὡς νᾶπυ βλέπων.
* Ἐν δὲ τραπεζῶν φλεγμοναῖς πολυτρόποις [3]
Τὰς εἰσαγωγὰς τῆς τρυφῆς ἀποπλύων,
Σαυτὸν, στρατηγὲ, τοῖς ἀναγκαίοις τρέφεις,
Καὶ τὴν ἀπραγμάτευτον ὀψοποιΐαν [4]
(Τὸ γὰρ περιττὸν ἐκφορῶν [5] τοῖς ὁπλίταις)
Συβαριτικῆς [6] προκρίνεις εὐωχίας·
Πίνεις δὲ λιτὸν, εἴ γε διψήσεις, πόμα,
Νοσημάτων γόνιμον εἰδὼς τὸν κόρον·
Ὑπνοῖς δὲ λεπτὸν ὡς τὸ δελφίνων γένος

περισπούδαστον ἀποδημίαν. German. Cpolit. cod. Coisl. 278, fol. 222 v° : Πάντα γὰρ ὅσα τοῖς Φυλοκόσμοις (leg. Φιλοκόσμοις) ἐστὶ περισπούδαστα.

[1] Supra 1, 417 : Ὡς ἐν Εὐρίπου ζάλῃ. Niceph. Chumnus, ap. Boiss. *Anecd. nov.* p. 6 : Καὶ ῥεύματα εὐρίπου βίου καὶ καταπόσεις ἀμπώτιδος τύχης δέδοικεν οὐδὲν οὐδείς. Ibi not. in qua multa alia cl. ed. congessit exempla.

[2] Pari metaphora usus est Theodor. Prodr. *Not. des ms.* t. VIII, p. 84 : Πρὸς τὰς τῶν πραγμάτων χαρύβδεις καὶ ἀμπώτιδας ἀποδυσχεραίνοντες. Joan. Damasc. apud Mai, *Spicil. Rom.* t. IX, p. 725 : Εἰς ἐσχάτην χάρυβδιν κακῶν πεσεῖν.

[3] In marg. οἱ ἐν τῷ τμήματι. Fort. τιμήματι.

[4] Infra CLXVI, 3.

[5] Fort. ἔκτροπον.

[6] Mensæ Sybariticæ frequens apud veteres mentio. Vide Boisson. *Anecd. gr.* t. III, p. 37.

Ακαδημία Αθηνών / Academy of Athens

Ὑπελθὸν ἀμφίβλησιρον ὑδροθηρίας[1],
Ὦ[2] σκύμνος ἢ γὺψ ἢ μελιτῶν σατράπης·
Εἴργουσι γὰρ μάλισια τὴν ἀπλησίαν
Τὰ θηρατικὰ τῶν ὑποπλέρων γένη.
Τί δεῖ[4] θορυβεῖν, τί δὲ μηκύνειν ϖλέον;
Σὺ τὴν μὲν ἀκμὴν ϖρεσβυτικὴν δεικνύεις,
Τὴν δ' ὁπλιτικὴν ὡς ἐν ἀκμῇ λαμπρύνεις,
Ὅσους ἐπὶ γῆς εἶδε σεμνοὺς ὁ χρόνος
Ἐν τῷ κομιδῇ μειρακίῳ Φαυλίσας.
Ἀλλὰ σὲ μὲν σπεύδουσι κοσμεῖν οἱ κρότοι·
Σὺ δ' ἀντικοσμεῖς αὖθις ἡμῖν τοὺς κρότους.
Γένοιτό σοι δ' οὖν καὶ μετὰ γήρως βάθος
Καὶ σάρκα ῥυσσὴν καὶ ϖαρακμὴν ἐσχάτην,
Καὶ φιλτάτων αὔξησιν εἰς μῆκος βίου,
Καὶ τοῦδε τοῦ νῦν ὀλβιώτερον κλέος,
Ἡ τῶν ἄνω μέθεξις ὡς ἡ τῶν κάτω,
Κλεινὲ σιρατηγὲ, τῶν ἐμῶν ἄκος ϖόνων.

CXXXII. Εἰς οἰκόν τινος καπηλίδος καὶ μασιροποῦ[5].

* Ὁ δεσπότης μὲν ἦς[6] ἀθρεῖτε τῆς[7] σιέγης
Ἀζηλότυπός ἐσιι καὶ κρείττων φθόνου
Πρὸς τοὺς ἐπεισρέοντας[8] ἐνθάδε ξένους,
Κἄν τις ϖαροινῇ καὶ τὰ λέκτρα συγχέῃ
Τῆς οἰκοδεσπότιδος[9] ὑποκειμένης,
Ὅδ' ἀτρέμας ἔσιηκε τὴν ὕβριν φέρων·

[1] Cf. cod. Par. III, 9.
[2] Fort. Ἡ pro Ὦ.
[3] De apum rege conf. Ælian. *H. A.* lib. V, c. x, ibique Jacobs.
[4] God. δή pro δεῖ.
[5] God. μασιρωποῦ. Vid. infra v. 13.
[6] God. ἦν.
[7] God. ἀθρεῖτε σιέγης, claudicante metro. Addidi τῆς.
[8] Cf. cod. Par. CCIII, 53.
[9] In *Thesauro* reperitur, sed sine exemplo.

Ακαδημία Αθηνών / Academy of Athens

Ἡ δὲ γραφικὴ τόνδε τυποῖ τὸν φθόνον,
Ὡς τῶν [1] νόθων φόβητρον ἀφροδισίων.
Ἀλλ', ὦ ϖόται μνησιλῆρες, ὀργᾶτε ϖλέον
Πανσυδὶ κωμάζοντες εἰς τὴν οἰκίαν·
Νωδὸς γάρ ἐσιιν οὗτος ὁ φθόνος γέρων,
Ὃς ἀντιλυπεῖν οὐδ' ἀμωσγέπως ἔχων,
Πρὸς τοὺς ἐρασιὰς μασιροποῦ βλέπει τρόπον [2].

CXXXIII. Εἰς τὸ τοῦ οἴνου ἐπιβαλτάριον [3].
Τῷ σεβασιῷ [4], Πατρικιώτῃ.

Ἐξ ἀμπέλου τὸ γλεῦκος ἡ κάλπις φέρει,
Καὶ τοῖς φίλοις κίρνησι τὴν εὐσιοργίαν,
Οἷς νέκταρ ἐγχεῖ· τοῖς δὲ βασκάνοις ϖόταις
Οἶνον Θυμοῦ δράκοντος [5] ὀξίνην χόλον.

CXXXIV. Πρὸς τὸν ὁμόψυχον διὰ τοὺς ϖυρούς.

Εἰ τὴν Ἰωσὴφ τάχα Θαυμάζεις φύσιν,
Οὗ τὸν ϖεριλάλητον ἀνθρώποις βίον
Τῇ καταγωγῇ ζωγραφεῖν ἐπιτρέπεις,
Τῆς ἑσιίας ἄνοιγε τὰς ϖυραμίδας
Καὶ τὸν φίλον ϖεινῶντα λαμπρῶς ἑσιία·
Καὶ γὰρ ὁ σιτὼν [6] τῆς σοφῆς σου καρδίας,
Ὦ συγκομίζεις τοῦ βίου τὰ σπέρματα,

[1] Cod. τόν pro τῶν.

[2] Ad marg. codicis ἕως ὧδε.

[3] Band. in notis : « Non explicat hanc vocem Ducangius in *Lexic. med. et infim. gr.* : forte est aliquod genus amphoræ, seu hydriæ. » Imo explicat Ducang. s. v. Ἐπιβαλτάρην.

[4] Band. σεμνῷ.

[5] Δρακόντιον nomen vitis, de qua Colum. III, 2 : « Præcoquem vitem nobis ante hoc tempus incognitam Græcia consuetudine *dracontion* vocitari comperimus. » Cod. Esc. cc, 23 : Σὺ τρέψον ἡμῖν εἰς γλυκὺν τὸν ὀξίνην, Ὃν εἰς Θυμὸν δράκοντος ἡ κρᾶσις τρέπει.

[6] Id. *In imperat.* 55, ed. Wernsd. : Εἰς τὸν σιτῶνα τῆς ψυχῆς ἐντεθησαυρισμένους.

Ακαδημία Αθηνών / Academy of Athens

Οὐκ αὐχμὸν ὑπώπλευσεν, οὐ βρούχου τρύγην,
Οὐ σῆτας ἀργοὺς, οὐδὲ κηφῆνας φάγους,
Ἄρουρα, λειμὼν [1], κῆπε [2] τῶν χαρισμάτων·
Ἀντλούμενος δὲ ϖαρὰ τοῖς φίλοις βρύεις,
Ἄνθρωπε φιλάνθρωπε, ῥυθμὲ τῆς τύχης,
Καὶ τοὺς ὑπερβλύζοντας [3] ἀνοίγεις ϖόρους
Ὡς ὑπὸ μοχλοῖς τοῖς φιλανθρωπεύμασιν·
Οὕτω σὺ λαμπρὸς, ἀλλὰ γὰρ ἔτι σκόπει·
Τὴν γὰρ δυσειδῆ τῶν χυμῶν Αἰγυπλίαν,
Ἣ τὴν σλολὴν [4] ἔῤῥηξε τῆς εὐεξίας,
Εἶλες ϖεφευγὼς τῆς τροφῆς τῷ μετρίῳ,
Καὶ δίφρον εὑρὼν, ἥνπερ ἐκτήσω φύσιν,
Γεωγραφικῶς ἀναμετρεῖς τὴν Θρᾴκην.
Βενιαμὶν γοῦν τὸν φιλοῦντά σε κρίνων
Παρακάλει, σλόλιζε, δεξιοῦ, τρέφε,
Καὶ τὸν σεαυτοῦ δεύτερον γράφε τρόπον,
Τοὺς τοῦ χρόνου ϖίνακάς εὐτέχνως ξέσας.

CXXXV.

Πρὸς τὸν μεγαλόψυχον [5] ὁ σμικρόψυχος,
Ὡς αὐτὸς ἀπέσκωψας οὐ μάλα ϖρᾴως,

[1] *De plant.* 266 : Λειμὼν, βασιλεῦ, τῶν Θεοῦ χαρισμάτων. Id. 342 : Τὸν τοῦ κράτους λειμῶνα. Conf. Boisson. *Anecd. gr.* t. V, p. 172. Supra CVI A, 18 : Λειμὼν τῆς καλοκαγαθίας. Cod. Par. CCXIX, 5 : Τὸν λειμῶνα τῶν λόγων. Cod. Esc. CXXX, 10 : Λειμὼν ἀνδρίας. Pisid. *Hexaem.* 199 : Λειμὼν ἀσλέρων. Id. p. 70 : Λειμὼν τρυφῆς. Theod. Hyrtac. *Notic. des mss.* t. VI, p. 46 : Ἅπερ ἐπανθεῖ τῷ λειμῶνι τῆς γλώτλης σου. Epigramm. in cod. Par. 1630, fol. 1 r° : Σοφῆς μελίσσης εἰκονίζων τὸν τρόπον, Λειμῶνι τερπνῷ τῶν νοητῶν ἀνθέων Τῆς ὀρθοδόξου συγγραφῆς διδασκ..... Καὶ τῶν ἀκανθῶν ἐμπεπλησμένων ῥόδων.

[2] Cf. supra LXXXVI, 26.

[3] Supra LXV, 35 : Ὅταν ὁ καιρὸς ἐκραγεὶς ὑπερβλύσῃ. Eustath. *Opusc.* p. 181, 95 : Κἂν ἰὸν Θανάσιμον ὑπερβλύζωσι.

[4] Cf. cod. Par. CXXXIII, 13.

[5] Cod. μεγάψυχον, in quo hæc tituli modo exarata.

Ακαδημία Αθηνών / Academy of Athens

Τίς δήποτ' ἂν γένοιτο καγχάσεις[1] τάχα;
Πλὴν ἀλλὰ σοῦ μὲν τὸν πυλῶνα τὸν μέγαν,
Ὃν αἱ χύδην Φάλαγγες ἐκτρίβουσί σοι,
Καὶ δυνατοὶ κυκλοῦσιν αἰδοῖ τῆς τύχης,
Ὁ χρισὸς ἐσφήνωσεν αὐσονοκράτωρ,
* Ἡσυχίας ἄδηλα πηγυὺς μοχλία[2].
Θήβαν γὰρ ἑπτάπυλον[3] οἰκῶν δευτέραν,
Τὸ συγχυτικὸν τῆς Βαβυλῶνος φέρεις,
Καὶ προσδαπανᾷς τῇ θορυβώδει νόσῳ
Τὴν ζῶσαν ἰσχὺν τῆς φυῆς τῶν πραγμάτων·
Ἐγὼ δὲ ῥιφεὶς δυσλυχὴς ἐπὶ κλίνης,
Καὶ τὴν θύραν πρόχειρον ἀφεὶς τοῖς φίλοις,
Οἶμαι παροικεῖν εἰς ἀπανθρώπους τόπους,
Οὗ μηδὲ γαλῆν ἐστὶ μηδ' ὄρνιν βλέπειν·
Αἱ μάσλιγες γὰρ τῆς ἀποστρόφου τύχης
Ὠθοῦσι μακρὰν καὶ τὰ φαυλότατά μοι·
Καὶ σὺ μὲν ἀλγῶν εἰς ὑποκρίσεις νόσου,
Ναὶ πομβασιλεῦ, ναὶ θεοῦ ζῶντος Λόγε,
Μηδ' εἰς ἀληθεῖς μηδὲ μετρίους πόνους,
Κἀνταῦθα λαμπρῶς εὐπαθεῖς ἀφ' ἑστίας·
Ῥοιαὶ γὰρ ὑγραὶ μὴ φθαρεῖσαι τῷ χρόνῳ,
Καὶ σταφυλαὶ, καὶ μῆλα, καὶ παῖδες πέριξ,
Καὶ μυρία κράματα, καὶ σκεύη ξένα,
Καὶ χρηματισμὸς, καὶ βασιλεὺς ἀγχίνους,
Τὰς σὰς ἀγαθὰς ἐκβιβάζων ἐλπίδας,
Καὶ καλάμων στέατα παρ' Αἰγυπτίοις,
Καὶ νειλοφυεῖς[4] ἐκ βαλαντίων πόαι,

[1] Leg. κάγχασις pro καγχασμός. Illa voce carent lexica.

[2] Cf. cod. Par. LVII, 103.

[3] Homer. *Il.* Δ, 406 : Θήβης ἔδος ἑπταπύλοιο.

[4] Hoc vocabulo carent lexica.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῶν ἰατρῶν ὁ σῖρατὸς [1] τῶν ἐκκρίτων,
Σοὶ πᾶσαν ἁβρῶς ἐσῖιῶσι τὴν Φύσιν·
Ἐγὼ δὲ διψῶν καὶ πιεῖν πάντως θέλων,
* Ὀρεκτιᾶν γὰρ οὐκ ἔχω πυρούμενος,
Μόγις ὕδωρ δίδωμι τῷ σωματίῳ,
Καὶ τοῦτο πικρὸν ἐξ ἁλῶν ἀποκρύφων·
Κεῖμαι δέ σοι λάφυρον, ὦ σῶτερ, νόθον
Ἀποσῖερηθὲν τοῦ τε κερδώου πόνου,
Καὶ τῆς ἐφεξῆς πρὸς τὸ σώζειν ἐλπίδος·
Πλὴν, ὦ ξένον φάρμακον, ὦ πρώτη Φύσις,
Κἂν γὰρ ἀηδὴς τοῖς Φιλοῦσι τυγχάνῃς,
Ὅταν τὸ σὸν δήπουθεν ἐκτρέπῃς μέλι,
Ἀλλ' οὖν ἔχεις ἄῤῥητον ἰσχὺν πραγμάτων,
Δι' ἧς ἀνισῖᾷς καὶ τὰ νεκρὰ πολλάκις,
Στατῆρσι τὸν δύσγλωτῖον ὡράϊζέ μοι [2],
Ὡς ἂν ὁ καινὸς ἀμπελὼν μὴ δακρύῃ.
Ὡς ἐξ ὑπαρχῆς ὁ χρυσοῦς τάδε πρόσου [3].

CXXXVI. Τῷ αὐτῷ.

Εἴ που τις ἢ χὴν ἐκ νομῆς ὑπαιθρίου,
Ἢ νεβρὸς, ἢ πῶλος, ἢ πεπηγὸς ἀρνίον,
Ἢ κύκνος, ἢ πρόσφατος ὠτὶς ἐκ βρόχων,
Ἢ συναγωγὴ περδίκων ἀρτίθυτος [4],
Ἢ διδύμων ἔρημος ἀλέκτωρ νέος,
Ἢ μακρόπους γέρανος, ἢ νήτῖα, πρόες·
Ἢ θασίων σύντηξιν εἰς νέκταρ ζέσαν,

[1] *De anim.* 320 : Χωρεῖ πρὸς ὀργὴν ὁ σῖρατὸς τῶν ἀῤῥένων.

[2] Fort. με pro μοι.

[3] Pro πρόσεσο, admitte : imperativi enim dupliciter scribuntur προσοῦ πρόσου, ἀπόθου, etc. Infra CXXXVI, 6, πρόες.

[4] Vox addenda lexicis. Adde et ἑκουσιόθυτος ex Th. Stud. p. 594 D : Ἑκουσιόθυτον· ὦ χρισῖιανικώτατε λογισμέ!

Ακαδημία Αθηνών / Academy of Athens

Ἢ ϖληνὰ καὶ χέρσυδρα καὶ ζωΰφια,
Ἃ τῶν καλανδῶν ἑσλιῶσι τὸν χρόνον,
Ἀρωματικῇ συντεθειμένα ζύμῃ,
* Καὶ νοσλίμων γέμοντα καρυκευμάτων [1],
Πέμπε ϖρὸς ἡμᾶς, ἢ χρυσοῦς ἔτι κρίκους,
Οἷς ὦτα λεπλὰ ϖαρθένου φαιδρύνεται·
Συχνοῦ γὰρ αὐτοὺς ἐσφυρηλάτεις χρόνου·
Κἂν εἰς τὸ μηδὲν ἦσαν ἡμῖν οἱ ψόφοι,
Κἀνταῦθα ϖολλοῦ δυσφορῶν τάχα κρίνοις·
Ἡ γοῦν ἐφεσλρὶς ἐντενεῖ σοι τὸν φίλον,
Ὃν ὥσπερ ἐχθρὸν ἐξαπατῶν ἀμβλύνεις·
Κἂν αὖθις ὀκνῇς, τὸν κρυμὸν τόνδε σκόπει,
Καὶ τὸν καταψύχοντα τῶν δόμων ϖάγον,
Ἐφ' ὅνπερ ἡμᾶς ἡ τύχη συνήλασε·
Καὶ ϖέμπε ταχὺς τὴν δασύτριχα σκέπην,
Ἣν αὐτὸς ἱδρῶν ὡς τὸ ϖῦρ ἀπεσλρέφου·
Σὺ γὰρ ὅτε ϖρέποντα σαυτὸν δεικνύεις
Τῇ συναγωγῇ τῶν ἀκιβδήλων φίλων,
Καὶ καταγωγὴ καὶ σχεδὸν φῶς αἰθρίας,
Καὶ ϖᾶν ὅτι χρήσιμον εὐτέχνως γίνῃ.

CXXXVII. Τῷ αὐτῷ.

Εἰ μίσθιος ϖαῖς τὴν ψυχὴν ἔτερπέ σοι,
Εἶτα νόσου μάσλιγι [2] ληφθεὶς ἠρέμει·
Ἆρ' οὐχὶ καὶ σὺ τῷδε συνήλγεις τέως,

[1] Anon. *Carm. de S. Theodor.* 4, ed. Wernsd. : Ὦ δεινοποιὲ καρυκεύματος νέου, ibique editor. German. Cpol. cod. Coisl. 278, fol. 222 v° : Ὁ ϖερὶ τὸ γασλρίζεσθαι δεινῶς ἐπλοημένος τραπέζας ὀνειρώτλει φλεγμαινούσας καρυκεύμασιν ἐδεσμάτων. — [2] Infra CLXIX, 5 : Κυκώμενος φεῦ τῆς νόσου τῇ μάσλιγι. Id. *In Leprosum*, 25 : Οἷος μαχητὴς ὑπὸ τύμβον (cod. Paris. τὸν χοῦν ex correct.) ἐκρύβη Κτείνας τὸν ἐχθρὸν τῆς νόσου τῇ μάσλιγι.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῶν ἰατρῶν συγκαλῶν τοὺς ἐκκρίτους
Ἔσπευδες αὐτὸν ἐξελέσθαι τῆς νόσου;
Ἐγὼ δὲ βαρεῖ συσχεθεὶς Φεῦ κινδύνῳ,
* Τομώτερόν σε καὶ βαρύτερον βλέπω·
Καὶ γὰρ ἀπαιτεῖς τοὺς ἐμοὺς αὖθις λόγους,
Παρακρατῶν τὴν Θήραν· ἀλλὰ νῦν δίδου,
Καὶ μηκέτι μάσλιζε τὸν κάμνοντά με.

CXXXVIII. Τῷ αὐτῷ.

Τῷ χθὲς ταπεινῷ τοῦ πετεινοῦ[1] λειψάνῳ
Τὸ κήρινον φῶς ὁ γλυκὺς βλὰξ[2] ἀντίθες·
Φώτων γὰρ ἂν πρόχειρον αὐγὴν εἰσφέροι
Τῇ φωταγωγῷ, ταῖς γραφαῖς, ταῖς λαμπάσι[3],
Καὶ τοῖς περιπλαίουσι νύκτὸς οἰκέταις.
Ναὶ φωτὸς υἱὲ, πέμπε μηδὲν γογγύσας·
Ναὶ γνωσλικῆς ἄσβεσλε λαμπὰς ἡμέρας,
Δεῖξον καθαρὰν τῆς ψυχῆς τὴν αἰθρίαν·
Καὶ γὰρ ἐπ' αὐτοῦ τοῦ κρυμοῦ τῶν πραγμάτων
Μεσημβρίας ἔδειξας ἀκμὴν τῷ ξένῳ.

CXXXIX.

Κἂν τοῦ χρόνου πρόωρον ἐτρύγησέ σε
Τῶν ἀγαθῶν τὸν βότρυν ὁ φθόρος φθόνος,
Ἀλλ' οὖν πρὸς ἡμᾶς εὐγενὲς βλύζεις νέκταρ·
Οὐδεὶς γὰρ ἐν μέλιτι χυμὸς ὀξίνης.

CXL. Τῷ αὐτῷ.

Πρὸ τῆς Τριάδος τῆς μακαριωτάτης,
Ἣ σαυτὸν ἀπέῤῥιψας ὑψῶν τὴν τύχην,

[1] Fort. πετήλου. — [2] Fort. Θρᾷξ. — [3] Fort. πασλάσι.

Ακαδημία Αθηνών / Academy of Athens

Τῷ Μοσχοπούλῳ[1] τῷ σχεδὸν ϖνέοντί σε
Μηδέν τι τῆς γῆς τῆς τροφοῦ διασπάσῃς.

CXLI. Τῷ αὐτῷ.

Ὑψικόμου[2] Φοίνικος ἀνθήσας ϖλέον
Εἰς τήνδε τὴν κοιλάδα τῆς οἰκουμένης,
Τῶν μὲν λόγων τὰ φύλλα κεντρώδη φέρεις,
Ὅτε ϖρὸς ἡμᾶς ἀπαριθμεῖς τοὺς ϖέλας,
Γεωμέτρην δή τινα καὶ γλίσχρον λέγων,
Καὶ τὸν μάλα ϖρόσοικον ἐσθητορῥάφον[3].
Τῶν ϖράξεων δὲ τοὺς καλοὺς βότρυς Φύεις
Γλυκυτέρους μέλιτος[4], ὃ Γραφὴ λέγει·
Καὶ νῦν με λοιπὸν δαψιλεῖ Θρέψον τρύγῃ,
Ὁμόψυχον Φῶς, τῆς ἐμῆς ϖαΐσlορ[5] τύχης.

CXLII. Τῷ αὐτῷ.

Πέμπε ϖρὸς ἡμᾶς τὴν ἀχυρώδη[6] χάριν, [6a]
Ἔγκαρπος ὢν, βέλτισlε, καὶ βρύων σlάχυς·
Τὰ γὰρ ἀΦανῆ τῆς ἐμῆς ψυχῆς βάρη
Τῆς σῆς ἀγάπης τῇ σχέσει κουΦίζεται.

CXLIII. Τῷ αὐτῷ.

Τὸν Μοσχόπουλον[7], ᾧπερ ἡ κλῆσις Νίκη,
ΝικηΦόρον βράβευε καὶ τοῖς ϖρακτέοις·

[1] Cf. infra CXLIII, 1.

[2] Asii fragm. 2, ed. Dubner : Ὑψίκομον ὄρος. Figurat. Eustath. *Opusc.* p. 360, 27 : Τὸ τῶν ἀρετῶν ὑψίκομον καὶ δασύ.

[3] Vox deest lexicis, quibus addam : ΚαινόῥῥαΦος, Theod. Stud. cod. Par. 891, fol. 166 r°, et ΜονόῥῥαΦος, in cod. Par. 2256, fol. 510 r°.

[4] Jud. XIV, 18.

[5] Vocem ϖαίσlωρ ignorant lexica. Minus rarum συμπαίσlωρ.

[6] Cf. supra LXXXII, 11. 6a. Cf. supra LIII, 23; 26, 30.

[7] Cf. supra CXL, 3.

Ακαδημία Αθηνών / Academy of Athens

Τῶν γὰρ λογισμῶν ἡ καθ' ἡμέραν πάλη
Ἀπὸ σφυροῦ τὸν ἄνδρα κατήνεγκέ[1] μοι.

CXLIV. Τῷ αὐτῷ.

Τὸν ἀπὸ δυσμῶν τὸν παλίνδρομον Φίλον,
Τὸν ἐκτόπως πνεύσαντα καὶ σλέρξαντά σε,
Ἐλευθέρων δείπνιζε χηνῶν σαρκίοις·
Ὁ γὰρ ἀτεχνῶς Φιλελεύθερος[2] τρόπος
Ἐμός τε καὶ σὸς, κἂν δοκῇς ἐναντίος,
Τὸ τῆς τύχης κάλλισλον ἁρπάσας[3] μέρος·
Ὡς ἄφθονος δ' οὖν ὑπὸ Φιλοσλοργίας[4]
Καὶ περδίκων[5] Φρόντιζε, καὶ νήτλας δίδου,
Καὶ παντοδαπὸς ἀπὸ τῶν ἔργων γίνου,
Τὰ τῶν κρότων ψήγματα συλλέγων χύδην.

CXLV. Τῷ αὐτῷ.

Ὅσλις ποτ' ἂν βούλοιτο μαθεῖν τὴν Θράκην,
Καὶ τὴν ἀπ' ἀγροῦ τῶν τροφῶν ἀμετρίαν,
Ἐπὶ σὲ τὸν κάλλισλον ἀνδρῶν ἐλθέτω·
Καὶ γὰρ ἔχεις θέλγητρα καὶ φίλτρα ξένα,
Καὶ θηρατικοὺς[6] ἀπὸ τῆς τέχνης βρόχους,
Οὓς ἡ τύχη πόῤῥωθεν εἰργάσατό σοι,
* Πηγνῦσα τὸν κλωσλῆρα τοῦ κάτω σλρόφου·

[1] Fort. κατήλεγχέ μοι.

[2] German. Cpol. cod. Coisl. 278, fol. 165 v° : Εἴ τις ἐσλὶ Φιλόπατρις, εἴ τις ἐσλὶ Φιλελεύθερος. Id. fol. 206 v° : Τί γὰρ καὶ ἀτιμάζεται δι' αὐτὸν τὸ Φιλελεύθερον τοῦ ἡγεμονικοῦ καὶ βασιλικόν;

[3] Fort. ἁρπάσαι.

[4] Cod. Esc. CCXIII, 199 : Σήμαντρα δή σοι ταῦτα Φιλοσλοργίας.

[5] Vid. *De animal.* v. 258 et sqq.

[6] Supra CXXXI, 162 : Τὰ θηρατικὰ τῶν ὑποπλέρων γένη. Id. *In Cantacuz.* 611 : Ὡς θηρατικὸς (γὺψ) καὶ νεφῶν μέχρι Φθάνων. Add. Procl. in Tim. p. 46 et 47.

Ακαδημία Αθηνών / Academy of Athens

Πλὴν πέμπε ταχὺ τὴν ὁρισθεῖσαν χάριν,
Καὶ σκεῦος οἴνου πλῆρες εἰ βούλει δίδου,
Κρατὴρ [1] φυσικῶν εὑρεθεὶς χαρισμάτων.

CXLVI. Τῷ αὐτῷ.

Λέγουσι τὴν μέσην σε τῆς χειρὸς φλέβα
Σιδηρίῳ τεμόντα καθῆσθαι πράως,
Καὶ δοχμίῳ σχήματι κοσμεῖν τὴν κλίνην,
Μήπως κινηθὲν συγχυθῇ σοι τὸ ζέον,
Δι' οὗ κατέσχεν ἡ φύσις τὸ χρήσιμον.
Γένοιτό σοι γοῦν ἡ τομὴ ῥῶσις νέα,
Καὶ πραγμάτων ὕπαρξις ἀφθονωτέρα,
Καὶ πᾶν τὸ λυποῦν τῶν φλεβῶν ἐξικμάσαι
Κλεινὸν πλατυσμὸν ὀργανοῦσα τῷ χρόνῳ,
Στέφανε λαμπρὲ, κῆπέ μου, θησαυρέ μου.

CXLVII. Τῷ αὐτῷ.

Ἐπλασιλύλῳ [2] χάριτι σαυτὸν ἑδράσας
Λάμβανε τὸν κρατῆρα [3] τῆς εὐσιλογίας [4],
Καὶ τοῦτον ἡμῖν τοῖς φιλοῦσιν ἐγχέας
Ἐπὶ τὰ καινὰ δεῖπνα τῶν ἔργων κάλει
Τὴν συναγωγὴν τῶν κατὰ μέτρον κρότων·
Σοφὸς γὰρ εἶ σὺ καὶ σοφῶν κριτὴς λόγων,
Καὶ νοῦς ἀποχρῶν, καὶ ψυχῆς θεῖον βάρος,
Καὶ παιδαγωγὸς καὶ σιλισιλὴς τῶν φίλων.
Ναὶ γλεῦκος ἡμῶν κίρνα λαμπρῶς τὴν χάριν·
Ἀψίνθιον γὰρ ὁ φθόνος σε κέκρικε.

[1] Cf. infra CXLVII, 22 : Τὸν κρατῆρα τῆς εὐσιλογίας.

[2] Hac voce augenda lexica.

[3] Supra CXLV, 10 : Κρατὴρ χαρισμάτων.

[4] Cf. cod. Par. IX, 77.

Ακαδημία Αθηνών / Academy of Athens

CXLVIII. Τῷ αὐτῷ.

Ἀεὶ σὺ καινὸς καὶ σεαυτοῦ βελτίων
* Ἐν ταῖς ἀγωγαῖς ταῖς ἐφημέροις γίνῃ,
Πατρικιῶτα, φύσις ἐξειλεγμένη·
Πλὴν πέμψον ἡμῖν τοὺς ἀναγκαίους δέκα,
Οὓς Ῥεντακηνὸς ἀξιῶν ἀποθλίβειν
Τόκους ἀμίσθους ὠδίνειν βιάζεται.

CXLIX. Εἰς τὸν ἐν τοῖς οἴκοις αὐτοῦ θεῖον ναόν.

Ἴσως ἂν ἐφθέγξασθε καὶ νῦν τι ξένον,
Εἰ μὴ τὸ παρὸν μυσλικός τις ἦν[1] λόγος·
Ἐπεὶ δὲ σιγῇ τὰς λιτὰς δεῖ προσφέρειν,
Θεοῦ λόγου κήρυκες οὐρανοδρόμοι,
Τοῖς τοῦ θεοῦ τὸν οἶκον ἐργασαμένοις
Ἱλασμὸν αἰτήσασθε τῶν πεπραγμένων.

CL. Εἰς γραμματικὸν αὐτοῦ.

Ἀδελφὲ Καβάσιλα[2], καλή σοι τύχη·
Ὃ γὰρ ποταμὸς οὐκ ἐχαρίσατό μοι
Χείμαῤῥος ἐβράβευσεν ἔσθ' ὅτε τρέχων·
Τὸ ῥεῦμα λοιπὸν ἀφθονώτερον λάβοις.

CLI. Εἰς κεράσια.

Ἄνθρακας ὑγροὺς ἑλκτικοὺς[3] χερσὶν ἔχων,
Τὸν δόντα καὶ τρέφοντα πιστῶς εὐλόγει.
Ὁ γὰρ φυτουργὸς τῆς γονῆς τῶν χρωμάτων
Ἐρυθροειδῆ τὴν βαφὴν ὑπογράφει.

[1] Cod. μυσλικὸς ἦν sine τις, et contra metrum. Nisi præferas μυσλικὸς προσῆν.

[2] Fort. Nilus Cabasilas, de quo Fabricius, t. X, p. 20 et sqq.

[3] Fort. θελκτικούς.

Ακαδημία Αθηνών / Academy of Athens

CLII. Εἰς τριακοντάφυλλον [1].

Τὸ λευκόχρουν [2] εὔοσμον ἄνθος εἰσπνέων
Τὸν τοῦ ῥόδου ϖρύτανιν ἔμπνευσον φίλος·
Ποιεῖ γὰρ αὐτὸς ϖοικίλας σοι τὰς χρόας,
Καὶ χρωματουργεῖ τὴν εὐμάραντον [3] φύσιν.

CLIII. Τοῦ αὐτοῦ σλίχοι εἰς τοὺς ιϐ' μῆνας [4].

Τοῦτ' ἄρα σαφές· ὁ γραφεὺς γὰρ ἐνθάδε
* Τῷ μαρτίῳ μὲν ὅπλα καὶ Θάρσος γράφει,
Καὶ κτῆνος ὀργῶν [5]· τακτικὸς γὰρ ὁ χρόνος.
Ἀπρίλλιον [6] δὲ ταῖς γοναῖς καὶ ταῖς ϖόαις
Καὶ ταῖς λύραις [7] δείκνυσι τῶν ϖροβατέων,
Οἷς καὶ γάλα ϖροΰθηκεν ἀμέλγειν ζέον.
Καὶ μάϊος μὲν τῇ κρόκῃ τῶν ἀνθέων
Τὴν βασιλίδα τάχα τιμᾷ τοῦ χρόνου,
Χιτῶνας αὐτῇ [8] συντιθεὶς ῥοδοχρόους.
Ἰούνιος δὲ τὴν Φυὴν τετηγμένην
Ἄλλῃ δρόσῳ κάτωθεν ἡϐῶν φαιδρύνει·
Θήγει δὲ καὶ δρέπανον εἰς ἕλους χλόην.
Ἰούλιος [9] δὲ βοῦς ὑποζεύξας Θέρους
Τῶν ἀποδέσμων συντρίϐει τὸν ἄσλαχυν,
Καὶ τῇ καθ' αὐτὸν ἀντιτεχνᾶται ζέσει.
Ὁ δὲ φθίνων αὔγουσλος, ἀλγῶν ἐν κλίνῃ,

[1] Vox addenda lexicis.

[2] Cod. Τὸν λευκόχρουν. Conf. infra CCVI, 75; Schol. brev. in Lycoph. 24.

[3] Cf. cod. Par. IX, 1.

[4] In margin. Εἰς τοὺς ἐν τοῖς οἴκοις ζωγραφηθέντας μῆνας. In cod. Paris. 1630, fol. 162 r°, cum hoc titulo : Ἐπιγράμματα εἰς τοὺς δώδεκα μῆνας. Edidit Ideler *Physic. min.* t. I, p. 291.

[5] Cod. Par. ἀργῶν.

[6] Id. Ἀπρύλλιον.

[7] Cod. Par. λήραις.

[8] Id. αὐτῷ.

[9] Id. Ἰουλίου.

Ῥιπίζεται [1] μὲν, ἀλλὰ πυρέτλει πλέον,
Κἂν τῶν ὀπωρῶν εὐτρεπίζῃ [2] τὸ ψύχος.
Σεπλέμβριος [3] δὲ τοὺς γλυκεῖς βότρυς φέρει,
Καὶ ληνοβατῶν εὐλογεῖ τὰς ἐλπίδας,
Καὶ ξυλίνην γέγηθε πιθάκνην βλέπων.
Ὀκτώβριος [4] δὲ κυνικὸν πράτλων βίον
Κίρκοις τε καὶ σκύλαξι καὶ βέλους δρόμῳ
Αἱρεῖ πετεινὰ καὶ λαγὼς καὶ δορκάδας.
Νοέμβριος δ' οὖν αὐλακίζει τῷ σπόρῳ,
Καὶ τῶν κορωνῶν ἀντιπίπλει τῷ Θράσει,
* Μὴ χανδὸν ἁρπάσωσι καὶ τὰς ἐλπίδας.
Δεκέμβριος [5] δὲ τοὺς βαρεῖς λύσας πόνους
Αὐτὴν ἑαυτῷ δεξιοῦται τὴν Φύσιν
Σίφωνι καὶ κρατῆρι καὶ πίθων χύσει.
Ὁ [6] δ' αὖ μετ' αὐτὸν ἐκ νεφῶν ὄμβρους [7] βλέπων
Συῶν σφαγαῖς κέχηνε βορβοροτρόφων [8].
Ὁ δ' ἔσχατος μὴν εἰς πότον χαίνει ζέον [9]
Καὶ πῦρ ὁμαλὲς καὶ κρεῶν ἀμετρίαν.

CLIV.

Τὴν [10] Φύσιν αὐτὴν ἂν σφριγᾷ κατὰ Φύσιν
Οὐδεὶς ἱκανὸς ἐκφυγεῖν ὑπὲρ Φύσιν·
Ἂν δὲ βιασθεὶς [11] χαλινώσῃ τὴν Φύσιν,
Πεσεῖν ἀνάγκη πρὸς φθορὰν παρὰ Φύσιν.

[1] Id. Ῥιπλίζεται.
[2] Id. εὐτραπίζῃ.
[3] Id. et cod. Flor. Σεπλέβριος.
[4] Id. Ὀκτόβριος.
[5] Id. et Flor. Δεκέβριος.
[6] Cod. Flor. in marg. Ἰαννουάριος.
[7] Id. ὄμβρου.
[8] Hac voce carent lexica, quibus accedat Βορβορόφυτος, ex German. Cp. cod. Coisl. 278, fol. 129 r° : Συγκαλινδεῖται πρὸς τὰ μιάσματα τῶν παθῶν, καὶ γίνεται, ἀντὶ ἀετοῦ ὑψιπέτου, βορβορόφυτος χοῖρος. Nisi leg. βορβορόφυρος.
[9] Cod. Par. ζέων.
[10] Versus anepigraphi.
[11] Leg. Ἂν δ' ἐκβιασθείς.

Ακαδημία Αθηνών / Academy of Athens

Οὐκοῦν φυσικῶς πρᾶτλε τὰ κατὰ Φύσιν,
Καὶ μηδαμῶς, ἄνθρωπε, φεῦγε τὴν Φύσιν,
Μήπως θεωρῶν πεπλωκὼς [1] ὑπὲρ Φύσιν
Λάθῃς κατελθεῖν εἰς βόθρον παρὰ Φύσιν.

CLV. Τῷ αὐτῷ.

Ἐοίκαμεν δὴ κατὰ τὴν παροιμίαν
Εἰκῇ θυραυλεῖν· οὐ γὰρ οἰκτείρεις φίλον.
Ὃς ἀέρος τρόπον σε φιλτάτου [2] πνέων,
Νῦν ἐσλὶν ἀλγῶν ὑπὸ συμβάσης νόσου.
Τί ταῦτ', ἀγαθέ; σοῦ δὲ τὰ χθὲς ἐῤῥίφη;
Ποῦ τὰ πρὸ τῆς χθές; πάντα σοι κτύπος μόνον·
Ἄλλον μὲν οὖν ἀπῆγχεν ὑδάτων χύσις·
Ἄλλος δέ τις ἔξωθεν ἀθρῶν ὡς λόγος
Ἐφ' ὑδάτων ἔψαλλε φωνὴ κυρίου [3].
Οὕτω τὸ φῶς ἤμειψας ἡμῖν [4] τῶν λόγων;

CLV. A.

Εἰς [5] τοὺς ἱλασμοὺς ἀκλινεῖ, κόρη, σλάσει
Ἡμῶν χάριν πρέσβευε τῶν ὑπευθύνων.
Μέγα [6] γὰρ ἀντιφάρμακον ἐν πόνοις ἀγνωσία,
Καὶ πάθος δυσθεράπευτον [7] ἡ φρόνησις ἐν πόνοις.

CLVI.

Δίκαιος [8] ὤφθης ἐξετάζων ἐξάκις,
Κἀκ τῶν ἀναγκῶν φίλον ἐξαιρούμενος.

[1] Fort. πεπλαχώς, et mox κατελθών.
[2] Fort. φίλτατον.
[3] Respicitur Psalm. XXVIII, 3.
[4] Cod. ἡμῖν ἤμειψας cum literis *a* et *b* correctionem indicantibus.
[5] Anepigraphi. Fortasse ad S. Virginem.
[6] Versus 3 et 4 sunt politici.
[7] Cf. infra CCXI, X, 2.
[8] Rursus ad Patriciotam.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ γοῦν δικαιῶν τοὺς φιλοῦντας ἑξάκις
Πληγήσεται μὴν οὐδαμῶς ἐν ἑβδόμῳ.
Μέτρει ϖροφανῶς δακτύλοις τὴν ἐπλάδα,
Στάθμιζε κρυπλῶς ἐν ζυγοῖς τὴν ἑξάδα,
Καὶ λάβε διδοὺς ἀποδείξεις ἐγγράφους,
Ὡς ἂν ὁ ϖαρὼν μὴ κλονῆται τοῖς λόγοις.
Ὁ κερματισμὸς τῶν ϖαρόντων χρυσίνων
Προσάγεται μέν, ὡς ὁρᾷς, εἰς ἐπλάδα·
Αἰσχύνεται δ' οὖν ὠχριῶν ὡς ϖαρθένος,
Τοὺς βασανισλὰς τῶν ζυγῶν ὑποτρέμων·
Συσλέλλεται γοῦν συσλραφεὶς εἰς ἑξάδα,
Ταῖς διπλοτριπλαῖς[1] συμπλακεὶς συζυγίαις,
Ὡς μὴ καθαρῶς ϖαρθενεύειν ἰσχύων.

CLVII. Τῷ αὐτῷ.

Πάλιν ὁ ϖαῖς ϖάρεσλιν αἰδοῖ σε βλέπων,
Ἂν οὐκ ἐπεζύγωσεν αὐτῷ τὰς ϖύλας
Ὁ σὸς Θυρωρὸς, ὁ ϖρὸ μικροῦ νυμφίος,
Μᾶλλον δὲ καπνοῦ καὶ σχεδὸν κνίσσης γέμου[2],
Κἂν αὐτὸς ἐξήμειψας αὐτῷ τὴν τύχην,
Ὡς ἂν ἔχῃ ϖαίζουσαν ὁ χρόνος κόμην·
Πλὴν εὔξεται μὲν τὸν χρυσὸν λαβεῖν χύδην
Ὁ σοὶ ϖαρεσλῶς, ἐκδραμεῖται δ' αὐτίκα,
Καὶ συναγαγὼν τοὺς σκαφεῖς τῆς ἀμπέλου
Ἀνατεμεῖ τὴν χέρσον αὐτῆς εὖ μάλα·
Καὶ γὰρ καθεύδει καὶ ϖίνει τὰ κλήματα,
Τὸ χλωρὸν ὠδίνοντα τῆς βλάσλης γένος·

[1] Vox omissa in lexicis. Unde verbum διπλοτριπλάζω, ex ultima barbarie arcessitum : cod. Paris. 396, p. 682 : Καὶ ἐγὼ τὸ σὰς ἐβάρυνε νὰ τὸ διπλοτριπλάσω.

[2] Leg. γέμων.

Ακαδημία Αθηνών / Academy of Athens

Ὢ πῶς ὁ θυμὸς τῆς ἀποφράδος τύχης
Ὁρῶν σε χαλᾷ τὸν χρυσοῦν εὐεργέτην!
Ἆρ' οὐχ ὁ πᾶς ἥδισλα καγχάσει χρόνος
Ἀγρὸν θεωρῶν τῷ Φιλῇ πᾰρηγμένον;
Ἀλλ' οὐδὲν ἂν κρίνοιτο καὶ τοῦτο ξένον,
Ὅπου γε τῆς σῆς δεξιᾶς ἡ γοργότης
Τὰ ῥεῖθρα κινεῖ τῆς χρυσῆς ἐπομβρίας[1],
Ὦ νοῦ φυτουργῶν[2] τῶν φίλων τὴν ἄμπελον.

CLVIII. Τῷ αὐτῷ.

Ἂν εἰς ἑκατὸν ἐξενέγκῃς τὸν σπόρον,
Πρώτης κρίνω σε ποιότητος λῃΐου·
Εἰ δὲ πρὸς ἑξήκοντα, δευτέρας μόγις,
Εἰ δ' ὑπὸ τὸν τρὶς[3] ἀσταχῶν δώσεις δέκα,
Μηδ' αὐτὸς ἀπαίτει με τοὺς πρώτους φόρους·
Ἀνήροτον γὰρ καὶ σπορᾶς ἀλλοτρίαν
Καὶ ψαμμοειδῆ καὶ σχεδὸν γῆν ἀγρίαν,
Ἣν αὐχμὸς ἐξίκμασε καὶ σλεῖρος χρόνος,
Οὐδεὶς ἐπαινεῖ κἂν τὸ μηδὲν εἰσφέρῃ,
Γεωγραφικῶν χαρίτων κειμήλιον.

CLIX. Τῷ αὐτῷ.

Μὰ τὸν σὸν ᾧ γέγηθα συνήθως τρόπον,
Καὶ τὴν ἐπὶ σοὶ τῆς ἐμῆς ψυχῆς φλόγα,
Καὶ τὸ προμηθὲς ὃ πρὸς ἡμᾶς δεικνύεις,
Καὶ τὸν πλατυσμὸν τῆς σοφῆς σου καρδίας,

[1] Cf. supra LXV, 36.

[2] Cod. Esc. CVI, 80 : Ἐπεὶ φυτουργεῖ καὶ γραφεὺς ὅταν θέλῃ; CLIV, 11 : Τὸν νοῦν φυτουργεῖ Σολομὼν τῶν ἀσταμάτων. *De plantis*, 190 : Σὺ μὲν φυτουργεῖς ἐν σλενῷ γῆς τὸ ξύλον. Add. Strab. p. 734.

[3] Syntaxis notanda.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τὴν ϖολυθρύλλητον [1] ἣν ἔχεις τύχην,
Καὶ τὸν ϖολυθρήνητον [2] ἐσμὸν [3] τῶν Φίλων,
Οἳ ϖραγμάτων ἔχουσι χωρὶς τοὺς λόγους,
Οὐκ ἔστιν ἡμῖν οὐδὲ μαινὶς μετρία,
Πλὴν ταριχευτῶν καὶ στυγητῶν ἰχθύων·
Τοῦ λάβρακος γοῦν ϖέμπε μοι Θᾶττον μέρος.

CLX. Τῷ αὐτῷ.

Βυζάντιον μέδιμνον εἰ δίδως δίδου·
Τὴν γὰρ ἀκατάλληλον ἐν Φαύλοις χάριν
Οὐδ' αὐτὸς ἂν δήϖουθεν εἰσφέρειν Θέλοις,
Ἄνερ τελικῶν ϖανδοχεῦ τεχνασμάτων.

CLXI. Τῷ αὐτῷ.

Οἶδα μὲν ὡς ἄϖλησ7ος οὐ χρὴ [4] τυγχάνων
Τῆς τῶν λόγων χάριτος οὐκ ἔχεις κόρον·
Ὡς γὰρ ταπεινοῖς τοῖς τεταγμένοις δέκα
Συναϖομετρεῖν [5] ἀξιοῖς ἄλλους δέκα·
Πλὴν εἴ γε καὶ σὺ ταῖς ἀμοιβαῖς ϖροσ7ίθης

[1] German. Cpol. cod. Coisl. 278, fol. 178 v°: Τὴν ϖολυθρύλλητον ϖροσευξάμενος ϖροσευχήν. Id. fol. 189 v°: Τὸ ϖολυθρύλλητον μάννα. Philoth. Cp. in Basil. p. 372.

[2] Append. 1, 42 : Ὦ καὶ ϖολυθρύλλητον ἀγγέλων τέρας! Ὦ καὶ ϖολυθρήνητε δαιμόνων σκόλωψ.

[3] Supra CCXXIII, 18 : Ὁ γὰρ ϖερισϖούδασ7ος ἐσμὸς τῶν Φίλων. Append. III, 28 : Τάχα τὸν ἐσμὸν ἐκταράξει τῶν Φίλων. *De anim.* 446 : Αὖθις τὸν ἐσμὸν ὀμματοῖ τῶν Φιλτάτων.

[4] Fort. οὐχί pro οὐ χρή.

[5] Hanc vocem ignorant lexica, quibus alia ejusmodi composita obiter addam : Συναϖομερίζω, Soterichus, *Spicil. Rom.* t. X, p. 13 : Εἰ δὲ τὰς ἀντικειμένας ταύτας λέξεις συναϖομερίζεις ταῖς Φύσεσι. — Συναϖοϖλύνω, German. Cp. cod. Coisl. 278, fol. 18 v° : Καὶ συναϖεϖλύνετο καὶ ἡ κλίνη τοῦ τῆς μοιχείας μολύσματος. — Συναϖοσείω, Id. *ibid.* fol. 130 v° : Καὶ ἦν μοι σύντομος σωτηρίας ὁδὸς μετὰ τοῦ ἐϖιτραχηλίου ἱεροῦ κόσμου, τὸ ἐϖιτραχήλιον ἀνίερον βάρος συναϖοσείσασθαι. — Συναϖοτυϖόω, Jo. Philopon. *De anima*, fol. 5 r°.

Ακαδημία Αθηνών / Academy of Athens

Ἔχεις με δὴ ξύμφωνον οἷς ἂν ϑεσπίσαις·
Ὕπνον[1] γὰρ εἰς ὕπλιον ὀτρύνεις ϖέδον,
Καὶ τοῖς ὑπεκκαύμασι τὴν φλόγα τρέφεις[2].
Εἰ δ' οὖν ἔα ϖράτλειν με τοὺς ἄλλους ϖόνους,
Ἐξ ὧν ὁ μισθὸς δαψιλὴς ἂν εἰσρέοι·
* Σοὶ μὲν γὰρ καὶ[3] ἄμοχθον ἡ ϑήρα βρύει,
Τρέφει δὲ γῆ ξύμπασα καὶ ϑάλατλά σε,
Καὶ τὴν ἀγαθὴν δεξιοῦνται σὴν τύχην
Αἱ δεῦρο φυλαὶ ταῖς γοναῖς τῶν ϖραγμάτων.
Ἐμοὶ δὲ βαρὺς καὶ δριμὺς ὁ ϖᾶς βίος,
Καὶ τῶν κατὰ βούλησιν οὐκ ἂν τυγχάνοις,
Τοῦ τῆς τύχης κλωσλῆρος ἀπειρηκότος·
Τὴν γοῦν ἀπαρχὴν τῶν ἐφεξῆς εἰκάδων,
Εἰκὰς ἀγαθῶν, μυριὰς χαρισμάτων,
Εἰς ἀφθόνους χάριτας ἐγκαίνιζέ μοι.

CLXII. Τῷ αὐτῷ.

Ἰχθῦς νεαλεῖς εἴπερ εἰσήνεγκέ τις,
(Πάντως δ' ἂν εἰσήνεγκε τῆς χρείας χάριν·
Τὸ γὰρ σὸν ἀμφίβλησλρον[4] ἡ τύχη ϖλέκει,
Ἐπιτυχὲς τὸ νῆμα τεχνασαμένη·)
Πέμπε ϖρὸς ἡμᾶς· εἰ δὲ μὴ, χῆνας ϖρόες,
Οὓς ἀγρὸς ἐξέθρεψεν ὑγρὸς καὶ χλόη.
Τοὺς γὰρ τιθασοὺς καὶ κατηναγκασμένους
Οὐδ' ἂν, φίλων ἄρισλε, βουλοίμην βλέπειν.
Εἰ δ' ὡς ϖρὸ τῆς χθὲς τῶν σλίχων τὴν εἰκάδα
Καὶ τούσδε ϖαρεὶς ἐν κενοῖς καθυβρίσεις,

[1] Leg. ἵππον.

[2] Cod. Esc. CL, 8 : Εὕρες γὰρ ὑπέκκαυμα τὴν φλόγα τρέφον.

[3] Contra metrum. Leg. σοὶ μὲν γὰρ ὡς ἄμοχθον.

[4] Cf. cod. Esc. CLVIII, 15.

Ακαδημία Αθηνών / Academy of Athens

Ἡμεῖς γε καὶ πλὴν τῶν παρ' ὑμῖν ὀρνίθων
Ζῶμεν, θεὸς γάρ ἐστιν ἡμᾶς ὁ τρέφων,
Ὁ δημιουργὸς τῆς γονῆς τῶν ἐμψύχων·
* Αὐτὸς δὲ σαυτῷ συναγαγὼν τὴν τύχην,
Τράφηθι σιγῇ τὸν φιλόπλουτον [1] βίον,
Ὡς οἱ παρεσθίοντες ἐν γωνιδίοις·
Λοιπὸν γὰρ οὐδὲν ἀπὸ τῶν σῶν ἁρπάσω,
Οὐ χρυσὸν, οὐδ' ἄργυρον, οὐδ' ἄλλως κρέα,
Κἂν ἄγριος χὴν ἐστιῶν σε τυγχάνῃ
Τὸν ἀπὸ γῆς δήπουθεν αἰθεροδρόμον [2].

CLXIII. Τῷ αὐτῷ.

Τὰς ἐντελεῖς χάριτας ἐκ βρέφους ἔχων,
Καὶ μηδοπωσοῦν ἐλλιπές τι δεικνύων,
Τὴν ἐντελῆ μοι πέμπε τῶν πυρῶν χάριν·
Ὡς γὰρ τὸ μὲν πῦρ εἰς τὸν αἰθέρα τρέχει,
Πᾶς δ' αὖθις ἀτμὸς εἰς τὸ τῆς σφαίρας ὕδωρ,
Οὕτως ἐπὶ σὲ τὰς ῥοπὰς ἀπευθύνει
Πᾶν εἴ τι σεμνὸν, πᾶν δὲ καὶ πλῆρες φύσει,
Τῶν εὐτρόπων ἄρισλε κοσμῆτορ φίλων,
Καὶ παιδαγωγὲ τῆς ἐπισλήμης ὅλης.
Τίς γὰρ κατὰ σέ; δεῦτε πενθεῖτε κρότοι·
Πρὸς μὲν γὰρ οὓς ἔδειξε λαμπροὺς ὁ χρόνος

[1] German. Cpol. cod. Coisl. 278, fol. 222 v° : Ὥσπερ γὰρ ἀναλόγως τοῖς τῆς ψυχῆς πάθεσι καὶ τὰ ἐνύπνια φαίνεσθαι εἴωθε καὶ ὁ φιλόπλουτος καὶ κειμώμενος (l. κοιμώμενος) χρηματίζεται, καὶ μύων τοὺς ὀφθαλμοὺς ἀσλραπὰς χρυσίου φαντάζεται.

[2] Anon. *De S. Theodoro*, vs. 99 : Ἐξ Εὐχαΐτων ἄσλυ τῆς Βυζαντίδος Ἐν ἀκαρεῖ πέφθακεν αἰθεροδρόμος. Greg. Naz. *Christ. pat.* 256 D : Αἰθεροδρόμῳ βοῇ, ubi nov. ed. αἰθεροτρόμῳ, pro qua voce codex 2707 habet ἀνεμοδρόμῳ. Psell. *In Cantic. Cantic.* Αἰθεροπλησοδρόμος, quod vid. in *Thesauro*. Add. Welcker, *Syllog. epigr. græc.* p. 36.

Ακαδημία Αθηνών / Academy of Athens

Ὑμεῖς ἀρισ⟨τ⟩εῖς εὐσθενεῖς καὶ γεννάδαι,
Ὄγκους τινὰς πλάσαντες ἐκ τῶν μετρίων,
Ὡς ἂν ἔχοι τέρασιν ἡ κτίσις βρύειν·
Πρὸς ἄνδρα δ' ὃν σκοποῦσιν οἱ δεῦρο σ⟨τ⟩ίχοι,
* Πατρικιώτην τὸν σοφὸν γεωγράφον,
Ἐμπίδες εἰς φῶς λαμπάδος τυγχάνετε.

CLXIV. Τῷ αὐτῷ.

Ὁ συμπαθὴς ἄνθρωπος, ὁ πλούτῳ βρύων,
Ὁ καινοποιὸς τῶν Θρᾳκῶν γεωγράφος,
Καὶ καταγωγεὺς[1] τῆς χρυσῆς Βυζαντίδος,
Μᾶλλον δὲ τοῦ σχήματος αὐτῆς τεχνίτης,
Ἢ καὶ βραβευτὴς, καὶ πολισ⟨τ⟩ὴς αὐτόχειρ[2],
Ἐμὴν χάριν φρόντισον οἰκτροῦ πρεσβύτου,
Τοὺς ἐγγράφους ἥδισ⟨τ⟩α κουφίσας φόρους,
Καὶ γῆς ἀναδοὺς εὐφυοῦς ἀποσπάδας·
Οὐ δύναται γὰρ τὴν μετ' ἐνδείας νόσον
Πράως φέρειν ἄνθρωπος οὐκ ὢν ἐκ λίθου.

CLXV. Τῷ αὐτῷ.

Ἁπλᾶς νέμειν χάριτας οὐ πράως λέγων,
Ἡμῖν γε διπλᾶς, ἀλλὰ καὶ πράως δίδως·
Οὐ δύναται γὰρ τὴν πλατυνθεῖσαν φύσιν
Ποιεῖν πνιγηρὰν δυσφοροῦσαν ὁ τρόπος·
Ἐγὼ δέ σοι χάριτας εἰδὼς τυγχάνω
Δεικνῦντα[3] σαυτὸν ἀπὸ τῶν ἔργων πλέον·
Οὐ φείδεται γὰρ ἡ πρὸς ἡμᾶς σου σχέσις
Οὐ τῶν λαγωῶν, οὐδὲ τῶν ψευδωνύμων[4],

[1] Hac voce augenda lexica.
[2] Cf. supra XXXV, 5.
[3] Leg. δεικνύντι.
[4] Quæ fera hic designatur?

Ἀλλ' οὐδὲ χηνῶν, οὐδ' ἐρυθρῶν πτερδίκων,
Οὐδ' ὀρνίθων δήπουθεν ἑσπιοτρόφων [1].

CLXVI. Τῷ αὐτῷ.

Ἔδειξας οἷς ἔπραξας ὁ χρυσοῦς Φίλος,
* Ὡς μᾶλλον αὐτὸς εὐγενῆ δρᾷς τὴν τύχην·
Τὴν γὰρ τέως ἄκοσμον ὀψοποιΐαν [2]
Τοῖς παντοδαποῖς ὡραΐσας βρώμασι,
Καὶ τῇ κατ' αὐτὰ συνθέτῳ ποικιλίᾳ
Ὀρεκτιᾶν ἔπειθες ἡμῖν τὴν Φύσιν·
Ἰχθὺς δ' ὁ τυκτὸς ὡς ὀπισθόπλους [3] Φύσει
Βρωθεὶς ἀνερρίχᾶτο καρκίνου τρόπον
Εἰς ἐξερασμοὺς [4] καὶ παλιμβόλους δρόμους·
Σὺ δ' οὖν πάλιν ἄκμαζε καὶ χώρει πρόσω.

CLXVII. Τῷ αὐτῷ.

Γεωγράφει, Θέσπιζε τὰς ψήφους Κύρου,
Καὶ χρησὰ συγκόμιζε τοῖς ἔργοις τέλη·
Μνησιεύεται γὰρ τῷ σκοπῷ σου τὸν χρόνον
Ὁ παῖς παρελθὼν τὸν προάστειον πόνον.
Πλὴν οὐκ ἐπαινῶ τὴν Φυὴν τῶν ἀμπέλων,
Ὅταν ἔχοι βρύουσαν ἡ χέρσος κνίδην,

[1] Hac voce carent lexica, quibus alia ejusmodi obiter addam : Ἀκριδομελίτροφος, Christophor. Patric. cod. Par. 1578, p. 63 : Ἄλλος Ἰωάννης ἀκριδομελίτροφον (fort. ἀκριδομελίτροφος) στολὴν δερματίνην ἠμφιεσμένος. — Μισοφθονότροφος, Meliten. vs. 38 : Τοῖς ἐχθροῖς τοῖς μισοφθονοτρόφοις. Adde et Βοοτροφέω, Anon. cod. Paris. 2420, p. 9, part. 3ª. — Ὑλοτροφέω, German. Cpol. Coisl. 378, fol. 223 v° : Διά τοι τοῦτο ἴσα πάσχεις τοῖς Χαλδαίοις καμινευταῖς, οἳ οὐ διέλιπον καίοντες τὴν κάμινον τοῖς φλογοποιοῖς ὑπεκκαύμασιν, ἔλαθον δὲ ὅμως κατὰ τῆς ἑαυτῶν κεφαλῆς ὑλοτροφοῦντες τὴν κάμινον.

[2] Supra CXXXI, 153 : Τὴν ἀπραγμάτευτον ὀψοποιΐαν.

[3] Hoc vocabulo carent lexica.

[4] Cf. supra XXV, 8.

Ακαδημία Αθηνών / Academy of Athens

Ἢ σκανδάλων[1] εἴργουσαν, ὦ σῶτερ, βάτον·
Τὸ γήδιον γοῦν ἀποκαθάρας[2] δίδου·
Καὶ γὰρ φυτουργεῖς ἐν χρυσῇ γῇ τὴν τύχην,
Σοφῶς ἀνασπῶν τοῦ φθόνου τὴν τρίβωτον[3].

CLXVIII. Τῷ αὐτῷ.

Τῆς σῆς κεφαλῆς πέμψον ἡμῖν τὴν σκέπην,
Καὶ τὴν Ἀθηνᾶν δεῖξον ἠῤῥενωμένην·
Εἰ δ' οὐκ ἔχεις, Ἡρακλες, Ἡφαίστου σφύραν,
Τὴν πυρφόρον λάμβανε τῶν σλίχων βίαν.

CLXIX. Τῷ αὐτῷ.

* Ἂν ἡ τύχη κλώσασα γενναίους βρόχους
Πολυτελῆ τὴν θήραν εἰργάσατό σοι,
Ἐν προσφάτοις πέρδιξι νῦν δείπνιζέ με·
Ὡς γὰρ ἀηδεῖς τὰς τροφὰς διαπλύω,
Κυκώμενος φεῦ τῆς νόσου τῇ μάσλιγι[4]·
Ἥλιε καὶ γῆ, τίς τὰ τῆς νόσου Φράσει;
Ποῖαι φλόγες πόῤῥωθεν ἐκτήκουσί με;
Καὶ ζῶ μεταξὺ συμφορῶν πολυτρόπων·
Ἀλλ' οἱ φίλοι χαίρουσιν οὐδὲν εἰδότες,
Καὶ σὺ πρὸς αὐτοῖς ἐκγελᾷς μὴ δακρύων.

CLXX. Τῷ αὐτῷ.

Ἄλλος μὲν ἁπλῶς ὁσλισοῦν σε θαυμάσας
Ὕμνησεν ἂν καὶ σχῆμα καὶ λόγων χάριν,
Καὶ δρασλικὴν φρόνησιν εἰς ὄγκον τύχης·
Ἐγὼ δ' ἂν ἐξύμνησα τὴν γνώμην πλέον,

[1] Fort. σανδάλων.
[2] Leg. ἀποκαθᾶραι.
[3] Leg. τὴν τρίβολον.
[4] Cf. supra CXXXVII, 2.

Ἦν δὴ καθαρὰν τοῖς ἐρασταῖς εἰσφέρεις·
Οὐ γὰρ ἀπατᾷς οὐδὲ χαυνοῖς τὴν σχέσιν,
Οὐδ' ἄλλα ποιῶν, ἄλλα τοῖς φίλοις δίδως·
Ἀλλ' ὡς ὅλος φῶς καὶ πρὸς ἡμέραν βλέπων
Ἀπροσκόποις βήμασιν ὀρθοῖς τὸ κλέος.
Ἆρ' οὖν ὑποπλεύσω σε τὸν νοῦν τὸν μέγαν;

* CLXXI. Εἰς τὸν ἅγιον Ὀνούφριον [1].

Γυμνὸς παλαιστὴς τὸν Σατὰν καταισχύνας
Τὴν αἰσχύνην ἔκρυψε τῶν προπατόρων·
Ἔστηκε δ' οὖν ἄτρεστος ὁ στεφανίτης,
Καὶ πρὸς τὸν ἀντίτεχνον [2] ὀκνοῦντα βλέπει·
Πλὴν ἀλλ' ὁ μὲν πέφευγεν ἀλγῶν καὶ στένων,
Ὁ δὲ βραβευτὴς τῆς ὑπὲρ φύσιν πάλης
Νοούμενον μὲν ἄγγελον τοῦτον γράφει,
Τυπούμενον δὲ θαυματουργὸν δεικνύει.

CLXXII. Εἰς τὸν ἅγιον Γεράσιμον [3].

Παρακοὴ μὲν ἀπὸ τῶν προπατόρων
Ἄκανθαν εἰσήνεγκε παντὶ τῷ γένει,
Ὑπακοὴ δὲ παρὰ τῷ Γερασίμῳ
Ἄκανθαν ἐξήνεγκε θηρὸς ἀγρίου.

CLXXIII.

Ἀδάμ [4] τις ἐστὶν ἀσφαλὴς ὁ νῦν γέρων·
Ὁ θὴρ γὰρ αὐτῷ μαρτυρεῖ τὴν ἀξίαν,

[1] Cf. supra XXXVIII, CXXXIX et cod. Par. LII.

[2] *De eleph.* v. 221 : Τῆς ἀντιτέχνου φλεγμονῆς κενουμένης.

[3] De S. Gerasimo cf. Fabric. *Bibl. gr.* X, p. 231.

[4] Carmina CLXXIII-CLXXXIX ex apographo amici mei Read.

Ακαδημία Αθηνών / Academy of Athens

Ὃς ἄχθεται μὲν, ἵσλαται δ' οὖν ἀτρέμας·
Ἡ γὰρ χάρις ἤμειψεν αὐτοῦ τὴν Φύσιν.

CLXXIV. Εἰς τὸν Πρόδρομον[1].

Σιγῶσα Φωνὴ[2] καὶ βοῶσα καρδία
Τὸν δεσπότην κάμπλουσιν ἐξ εὐσπλαγχνίας·
Θεὸς γάρ ἐσλι καὶ τὰ μὴ δῆλα βλέπει,
Καὶ τῆς σιωπῆς ἀκροᾶται τὸν κτύπον.

CLXXV. Εἰς τὸν μέγαν Βασίλειον[3].

* Βασίλειε ζῇς, ἀλλὰ σιγᾷς ἐνθάδε·
Τὴν γὰρ σιωπὴν ἡλικιώτην[4] Φέρων
Τὸν ἐν τύποις Θόρυβον ἐκκλίνεις πάλιν,
Κοινὸν λόγου παίδευμα καὶ σιγῆς, πάτερ.

CLXXVI. Εἰς τὴν δευτέραν παρουσίαν[5].

Ὁρῶν, θεατὰ, τὸν ζυγὸν τῶν[6] πρακτέων
Στάθμιζε[7] καὶ ῥύθμιζε σαυτοῦ τὸν βίον,
Μήπως τὸ βαρὺ τῶν κακῶν σου Φορτίον
Εἰς χοῦν σε σικρὸν καὶ Φθορὰν κατασπάσῃ.

CLXXVII. Εἰς τὸ αὐτό[8].

Ἡ γῆ τὰ νεκρὰ τῶν βροτῶν[9] ἀποπλύει,
Καὶ θῆρες ἐξεμοῦσι[10] τὴν βρῶσιν πάλιν·
Σὺ δ' ἐσθίων πένητος, εἰπέ μοι, κρέα
Πάλιν κατ' αὐτοῦ δυσμενῶς χαίνεις, ξένε;

[1] Cod. M. fol. 93.
[2] Apogr. Φονή.
[3] Cod. M. fol. 102.
[4] Fort. ἡλικιῶτιν.
[5] Cod. M. fol. 102.
[6] Cod. M. omittit τῶν.
[7] Apogr. τάθμιζε.
[8] Cod. M. fol. 102. Lemma falsum.
[9] Cod. M. ἠγῆ — βρωτῶν.
[10] Apogr. ἐξομοῦσι.

Ακαδημία Αθηνών / Academy of Athens

CLXXVIII. Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.

* Τίκτουσα καὶ θνήσκουσα νικᾷς τὴν Φύσιν·
Κἂν γὰρ τελευτᾷς, ἀλλ' ἀεὶ ζῇς, ϖαρθένε.

CLXXIX. Ἕτερον.

Ὑπὲρ Φύσιν τεκοῦσα ϖαρθένος μένεις·
Ὑπὲρ Φύσιν θανοῦσα ϖαλίμπνους μένεις.

CLXXX. Ἕτερον.

Ἄῤῥευσλον ἔσχες, μητράνανδρε[1], τὸν τόκον·
Ἄφθαρτον εὗρες καὶ τὸ τοῦ βίου τέλος.

CLXXXI. Ἕτερον.

Τέθνηκας ἡ σώζουσα τὸ θνητὸν γένος,
Ὡς ἂν τὸ ϖᾶν κάτωθεν ἑλκύσῃς ἄνω.

CLXXXII. Ἕτερον.

Ἵνα τὰ τῆς γῆς ϖάντα κοσμήσῃς μέρη,
Θνήσκεις, Μαριὰμ, ἐκ ταφῆς δὲ ζῇς ϖάλιν.

CLXXXIII. Εἰς τὸν ἅγιον Ἀλύπιον[2].

Σὺ μὲν διεξάγοις με τοῖς τερασλίοις,
Ἀλύπιε, ζῶν εἰς τὸ νεκρὸν ὀσλέον·
Ἐγὼ δὲ τιμῶν τοὺς ὑπαιθρίους ϖόνους
Ἀντὶ σλύλου τὸ σλῆθος ὑπέθηκά σοι.

* CLXXXIV. Εἰς[3] τοὺς ἁγίους ἀποσλόλους Πέτρον καὶ Παῦλον ἀσπαζομένους ἀλλήλους.

Τὸ μυσλικὸν φίλημα τῶν ϖρωτοθρόνων[4]

[1] Apogr. ἄρευσλον ἔσχες μήτραν ἀνδρετόν. Cf. cod. Par. XXXIII. 2.

[2] De S. Alypio vid. Fabric. *Bibl. gr.* X, p. 192.

[3] In cod. Par. 1630, fol. 43 v° : Εἰς τοὺς μεγάλους Πέτρον καὶ Παῦλον.

[4] Supra LXXIII, 9 : Τοῖς τοῦ λόγου κήρυξι καὶ ϖρωτοθρόνοις. German. Cp.

Ακαδημία Αθηνών / Academy of Athens

Τὴν τοῦ γένους ἕνωσιν ἡμῖν δεικνύει·
Τῷ σφίγματι γὰρ τῶν ϖαρ' ἀμφοῖν δογμάτων
Ὁ κόσμος ἁπλῶς συνδεθεὶς οὐκ ἐφθάρη.

* CLXXXV. Εἰς τὸν μέγαν Κωνσταντῖνον.

Παῦλος μὲν ἀρθεὶς οὐρανοῦ μέχρι τρίτου [1]
Τὸν σταυρὸν ἀκλόνητον ἐπλούτει βάσιν,
Ἐν ᾧ κατ' ἐχθρῶν εὐδρομῶν ἀποκρύφων
Τῆς ἀπάτης καθεῖλε τὴν τυραννίδα·
Ὁ δεύτερος δὲ Παῦλος Αὐσονοκράτωρ
Εἰς ὕψος ἀρθεὶς εὐκλεοῦς κραταρχίας
Ἐν τῷδε νικᾷ τοὺς βασιλεῖς τοὺς ϖάλαι
Καὶ ζῇ ϖεποιθὼς ὡς ἐν ὅπλῳ τῷ ξύλῳ,
ὯΙ δὴ κατακλῶν τὰς φυλὰς τῶν βαρβάρων
Τὸ Ῥωμαϊκὸν εὐφυῶς διεξάγει.

CLXXXVI. Εἰς χελάντιον [2].

Ἡδὺς μὲν ὁ ϖλοῦς, ἀργυροῦν γὰρ τὸ σκάφος·
Ἀλλὰ σκόπει, βέλτισ᾽ε, καὶ φείδου ϖίνων·
Τοῦ γὰρ λογισμοῦ τὸν κυβερνήτην ἔχων
Τὸν τῆς μέθης ὕποπλον ἐκφεύξῃ γνόφον.

CLXXXVII. Εἰς τὸ αὐτό.

Τὴν ἀργυρᾶν κύλικα λαμβάνων φίλος
Ἐν τῷ ϖότῳ ϖρόπινε τὴν συμμετρίαν,
Μᾶλλον δὲ τὴν ϖρέπουσαν εὐχαρισ᾽ίαν
Καὶ τὴν ἀμοιβὴν τῷ φιλοφρονουμένῳ.

cod. Coisl. 278, fol. 184 r°: Τὸν ϖρωτόθρονον ἐν ἀποσ᾽όλοις καὶ κορυφαῖον. Cf. cod. Par. 400, fol. 5 r°.

[1] Cf. supra XXII, 9.

[2] Χελάνδιον, *chelandium*, navigii species de qua multis egit Ducang. in *Gloss. med. lat.* et in *Gloss. med. græc.*, hic autem poculi, ut pleraque navium vocabula ad pocula reperiuntur translata. In cod. gr. 2062 scribitur κελάντιον.

Ακαδημία Αθηνών / Academy of Athens

CLXXXVIII.

* Ἔχων σε τὸν Δίδυμον[1] ἐκ τοῦ λειψάνου
Σωτηρίαν δίδυμον εὑρεῖν ἰσχύσω.
Καὶ γὰρ μένων δίδυμος ἐν τῇ συνθέσει
Τὴν πρὸς σέ μου δίδυμον οὐ φέρω σχέσιν.

CLXXXIX. Εἰς λείψανον τοῦ ἁγίου ἀποστόλου Θωμᾶ.

Οὐκ ἔστιν εἰς τὸ πνεῦμα σὰρξ οὐδ' ὀστέα,
Καθὼς βλέπεις ἔχοντα τὸν σὸν δεσπότην·
Τὸ σὸν δὲ, Θωμᾶ, τοῦτο γυμνὸν ὀστέον
Ἐνδύεται τὸ πνεῦμα τῶν τερατίων.

CXC. Ἐπιτάφιοι εἰς τὸν Ἄγγελον ἐκεῖνον τὸν λεγόμενον Ἀειδαρον[2].

Ἐγώ ποτε ζῶν εἰς[3] τὸν ἄστατον βίον[4]
Τὸν ἐκ βρέφους ἄκοσμον ᾐρούμην βίον·
Τὸ γὰρ πᾶρον πᾶν οὐκ ἀποχρῶν μοι κρίνων
Πρὸς τὴν μάτην σαίνουσαν εὐελπιστίαν
Ἀλλοτρίους ἤμειβον ἐκ τόπων τόπους,
Κύβοις δὲ καὶ κνίσμασιν αἰσχροῦ γαργάλου[5],
Καὶ κυμβάλων κρούμασι καὶ λήροις πότων,
Καὶ γαστρὸς οἰδήμασιν ἐκδοὺς τὴν Φύσιν,
Ἀσωτίας ἔπλησα πᾶπαὶ τὸν βίον·
Τὸ γὰρ λογικὸν τῆς ψυχῆς καθυβρίσας,
Καὶ τὴν ἀγωγὴν καὶ τὸ πατρῷον κλέος,
Μᾶλλον δ' ἐμαυτὸν καὶ τὸ πάτριον σέβας
Παρεφρόνουν, ἔπαιζον, ἠθυροστόμουν[6].

[1] I. e. S. Thomam. Cf. Joann. xi, 16.
[2] Cod. M. fol. 96 in quo Ἀειδαρίν.
[3] Cod. M. ἐς pro εἰς.
[4] Vid. cod. Escur. cvi, 18 et clxxx, 1. Conf. supra 1, 859.
[5] Infra ccvi, 21: Καὶ γαργάλου κνίσματα.
[6] Theophan. Ceram. p. 17 C: Ἀλλὰ καὶ φάγον καὶ οἰνοπότην αὐτὸν ἀθυροστομοῦντες ὠνόμασαν.

Ακαδημία Αθηνών / Academy of Athens

Ἐξ Ἀγγέλου δὲ Πῶλος ὠνομαζόμην,
Εἰς Λατίνων μίμησιν ἐσκεπασμένος·
* Θανὼν δὲ νῦν οὐκ οἶδα ϖῆ γῆθεν τρέχω,
Ἀλλ' ἤ τις ἐσlὶ σωσlικὴ ϖίσlις μόνη·
Ταύτην Φέρων δίδωμι τῷ ϖλάσαντί με·
Κἀκεῖνος εὐθὺς οἶδεν ὃ δράσει μόνος,
Εὐσπλαγχνίας ϖέλαγος[1] εἰς ϖάντας χέων,
Χαμαιλέων ἄνθρωπος ἢ Πρωτεὺς νέος,
Ἢ ϖροσΦάτοις χρώμασι κήλων ὀκτάπους.
Γεώργιος δ' οὖν, τοῦτο γάρ κλῆσιν Φέρω,
Πρὸ τῆς τελευτῆς ταῦτα Φημὶ δακρύων.

CXCI. Εἰς τὸν μέγαν ἐκκλησιάρχην τὸν Πεπαγωμένον.

Μονὰς μὲν εἶ σὺ ϖλὴν ἀριθμῶν ἐργάτης,
Μᾶλλον δὲ κανὼν οὐ κεκανονισμένος·
Φεύγων δὲ τὴν σύζευξιν ἀθρεῖς τοὺς γάμους,
Καὶ νυμΦαγωγεῖς[2] τοὺς Φθορεῖς ὁ ϖαρθένος,
Καὶ δρᾷς ἀϖαθῶς καὶ συνισlᾷς τοὺς τόκους,
Ὡς ἀϖοτεχθεὶς καὶ τεκεῖν οὐδὲν Θέλων·
Ἐϖώνυμον δὲ τὸ δριμὺ ψῦχος Φέρων
Τὴν τοῖς γάμοις ϖρέϖουσαν ἐξάϖλεις Φλόγα.
Τὴν συνδετικὴν τοιγαροῦν λύσιν δίδου,
Ἐϖιτρέϖων γέρουσιν ἀκμαῖον γάμον.

* CXCII. Εἰς εἰκόνα τοῦ ἀρχισlρατήγου Μιχαήλ[3].

Ἂν ἀγγέλου κίνησιν ἐμΦαίνειν Θέλῃς,
Τί τὸν ϖlερωτὸν ὁ γραΦεὺς ἄνδρα γράΦεις,

[1] Cf. supra CIII, 1.

[2] Supra LXXV, 28 : Καὶ *νυμΦαγωγεῖ τὰς ψυχὰς τῷ δεσπότῃ.*

[3] Ex apographo Read. Iterum invenitur fol. 265 v° incipiens : Τὴν *ἀγγέλου κ. ἐμΦ. Θέλεις.*

Ακαδημία Αθηνών / Academy of Athens

Ἀλλ' οὐχὶ νοῦν καὶ πνεῦμα καὶ φῶς καὶ φλόγα;
Πλὴν ἐξ ὕλης ἄϋλον οὐκ ἄν τις γράφοι.

* CXCIII. Ὁπότε διὰ τὸν σεισμὸν περιεπάτησεν ὁ βασιλεὺς πεζός.

Πηλῷ τὸ σὸν πέδιλον ἐμβάψας, κράτορ,
Πηλὸν λεανεῖς ἐθνικῆς πανσπερμίας,
Ὡς ἐκ πλατειῶν[1] τοῦ πλατυσμοῦ τοῦ Θράσους,
Ἡμᾶς δὲ τοὺς εὐμενῶς ἀναπλάσας.

CXCIV. Ἕτεροι.

Μύκημα δεινὸν, βασιλεῦ, γῆς καὶ κλόνος
Ποιεῖ σε πεζῇ μετριάζειν ἐνθάδε·
Πλὴν ὁ χρίσας δίκαιον αὐτάνακτά σε,
Ὡς εἶπε Δαυὶδ[2], ναὶ Δαυὶδ ὄντως νέε,
Ἀφεὶς θεωρεῖν καὶ κλονεῖν ταύτην βίᾳ
Τὴν ὁπλικὴν δύναμιν εἰς σὲ νῦν στρέφει,
Στηρικτικὴν ἄνωθεν ἐκπέμπων χάριν.

CXCV. Ἕτεροι.

Ἵππον πλερωτὸν τῷ βασιλεῖ τὸν τρόπον
Δίδωσι πεζεύοντι Χριστὸς ὁ χρίσας,
Δι' οὗ καθαιρεῖ δυσμενὲς ξύμπαν γένος,
Περσεὺς νέος Χίμαιραν ἐκτρίβων νέαν.

CXCVI. Ἕτεροι.

Πεζὸς βασιλεὺς νοῦν διηργμένον[3] φέρων
Τὸ δοῦλον ὑψοῖ νοῦν χαμαίζηλον[4] φέρον.

[1] Fort. ὡς ἐκπαλάσσων. (Τοῦ πλατυσμοῦ τοῦ Θράσους!) Vers. seq. leg. ἡμᾶς δὲ τοὺς εὐμ. ἀναπλάσεις.

[2] Psalm. XLIV, 9.

[3] Leg. διηρμένον.

[4] Vid. infra CCXIV, 59.

Ακαδημία Αθηνών / Academy of Athens

CXCVII.

Μωσῆς βασιλεὺς ἐν ποσὶ πρὶν ἀβρόχοις
Τὸν Ἰσραὴλ ἔσωσεν ἐξ Αἰγυπτίων·
Καὶ σὺ δὲ τὸν σὸν Ἰσραὴλ σώζειν θέλων
Ἐκ τοῦ κατὰ γῆν ἐμβριθῶς τούτου[1] κλόνου
Τὴν βασιλικὴν τελματοῖς νῦν ἀρβύλην,
Τηρῶν καθαροὺς τοὺς καλοὺς ἔνδον πόδας,
* Οἷς τοὺς μάτην ἕρποντας ἐχθροὺς συντρίβεις,
Ἐκεῖθεν αὐτοὺς αἱματῶν ἀκινδύνως,
Ὡς ἐξ Ἐρυθρᾶς τὸν λαὸν σώζεις νέας,
ἌΙδων τὸν ὕμνον τῷ θεῷ σεσωσμένος.

CXCVIII. Παραινετικοὶ πρός τινα.

Κἂν δόξαν αὐχῇς, κἂν βαθεῖ πλούτῳ[2] βρύῃς,
Κἂν ὑπεραρθῇς ταῖς τιμαῖς κέδρων πλέον,
Καὶ μέχρις αὐτῶν οὐρανῶν γῆθεν φθάσῃς
Ὀξυδρόμοις πλέρυξιν ἠγμένος τύχης,
Ὅταν βασιλεὺς εὐμενῶς σοι προσβλέπῃ,
Ῥοπαῖς ἀγαθαῖς εὐμαρίζει[3] τὸν δρόμον·
Κἂν πάντα κινῇς εὐχερῶς ταῖς ἀξίαις
Κυκᾶν τὸ κοινὸν καὶ πλοεῖν ἐξισχύων,
Ὥσπερ Φοβήτροις ταῖς τιμαῖς ταῖς ἐκκρίτοις,
Τὸ κέρδος οὐδὲν οὐδαμῇ, βέλτισέ μοι[4].
Ῥώμην ἔχεις σώματος, ἀσθενὴς ἔσῃ·
Ῥεύσει[5] τὸ κάλλος ἀδρανοῦς τρόπον κρίνου·
Παραδραμεῖται καὶ χρυσὸς σὺν ἀργύρῳ,

[1] Cod. τοῦτο.
[2] Conf. Schol. Pind. *Ol.* 3, 61, et Boisson. in Eunap. p. 585.
[3] Fort. εὐμάριζε.
[4] Fort. βέλτισέ, σοι.
[5] Infra vs. 105 : Ῥεῦσαν τὸ κάλλος.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ ϖέπλα καὶ κτήματα καὶ δορυφόροι,
Καὶ μαργάρων σlίλβουσα καὶ λίθων χρόα,
Τὰ σμικρὰ καὶ ϖαίζοντα τοὺς ἁπλουσlέρους.
Οὐχ ἵππος, οὐ Φάλαρον, οὐκ ἐΦεσlρίδες,
Οὐκ ἄνδρες, οὐ γυναῖκες, οὐ χορὸς Φίλων,
* Οὐδὲ τραπεζῶν Φλεγμονὴ ϖροκειμένη,
Πότοι τε μακροὶ καὶ χλιδαὶ μετὰ κρότων,
Καὶ Θρίψις[1] ἁβρὰ καὶ γέλωτες ἐν μέσῳ,
Κλῖναί τε λαμπραὶ καὶ χρυσαυγεῖς[2] οἰκίαι,
Καὶ ϖᾶν ὅϖερ σαίνει σε καὶ ϖλανᾷ μάτην,
Οὐδὲν μόνιμόν ἐσlιν οὐδὲν ἐν βίῳ·
Σκιᾶς ὄναρ[3], ἄνθρωπε, τὴν Φύσιν κάλει·
Καὶ τῦΦος ἐν σοὶ μηδαμοῦ ϖροκυπlέτω.
Καὶ γὰρ λίθος τρίπηχυς[4] ἐν βαθεῖ σκότῳ[5]
Πάσας καλύψει τὰς τιμὰς ϖαρ' ἐλπίδα.
Ἄκουέ λοιπὸν τῶν ἐμῶν ἐνταλμάτων·
Μὴ Θανατωθῇς, μὴ Φθαρῇς ἐν τῇ ϖλάνῃ,
Τήρει σεαυτὸν εἰς τὸν ἔνθεον Φόβον[6].
Κρηπὶς γάρ ἐσlι τῶν καλῶν τῶν ἐν βίῳ.
Ἡ ϖρὸς τὸν αὐτάνακτα σὴ ϖίσlις, Φίλος[7],
Τὴν ϖρὸς τὸν ὑψώσαντα μιμείσθω σχέσιν·
Ἡ γὰρ ϖρὸς αὐτὸν δυσμενὴς ϖαροινία
Δεινὴν ἀτεχνῶς ϖροξενεῖ σοι τὴν βλάβην,
Ἐπεὶ κατὰ σοῦ τὸν Θεὸν ϖαροξύνεις,

[1] Leg. Θρύψις.

[2] Cf. cod. Par. LXXXV, 2.

[3] Alludit ad Pind. *Pyth.* VIII, 99 : Σκιᾶς ὄναρ ἄνθρωπος.

[4] Supra II, 39 : Τὸ τοῦ λίθου τρίπηχυ μὴ Φρίllων δέος. Cod. Esc. CLXXIX, 1 : Βαβαὶ λίθος τρίπηχυς ὁ βροτῶν βίος. Philes, *In Pachym.* 58 ibique Boisson. De voce τρίπηχυς vid. Lobeck ad Phrynich. p. 749.

[5] Cf. infra v. 151.

[6] Cod. βίον et supra Φόβον. *Prov.* X, 29 : Ὀχύρωμα ὁσίου Φόβος κυρίου.

[7] Cf. CLXXXVII, 1.

Ακαδημία Αθηνών / Academy of Athens

Ὃς τοῦτον ἐν γῇ τῶν βροτῶν ὑπεξάρας,
Καὶ βασιλικοῖς ἀγλαΐσας ἀμφίοις,
Καὶ τοῖς μεγίστοις ἀγαθοῖς ἀπαρτίσας,
Ἄλλον θεὸν τίθησιν ἐξ ὕλης μέγαν,
* Ὅς ἐστιν ἡμῖν καὶ σπορεὺς καὶ δεσπότης,
Καὶ δημιουργὸς καὶ βραβεὺς τῶν πραγμάτων.
Εἰ γοῦν πρὸς αὐτὸν εὐνοεῖν ὄντως θέλεις,
Τῶν τοῦ θεοῦ φρόντιζε παραγγελμάτων.
Αὐτὸς γὰρ οἰκεῖ τῇ ψυχῇ τοῦ δεσπότου
Μονὴν παρ' αὐτῷ μυστικῆς παύλας φέρων,
Καὶ συγκυβερνῶν ἀσφαλῶς καὶ συντόνως
Τῷ σωστικῷ σώματι τοῦ στεφηφόρου
Τὸ [1] κοσμαγωγὸν τῆς βασιλείας σκάφος [2],
Κἂν μὲν νομίζῃ δυσγενὴς, φαῦλος, πένης,
Ἄδοξος, ἄφρων, εἰς ἀπόστροφον τύχην,
Καὶ μηδαμοῦ χρήσιμος εἰς λειτουργίαν.
Ἔχεις δὲ λαμπρὸν ἐξ ἀδήλων τὸν βίον·
Εὐθὺς ἐπί σε βασιλεὺς ἤδη βλέπει,
Κινοῦντος αὐτὸν τοῦ θεοῦ παρ' ἐλπίδας.
Εἰ δ' αὖ τὰ κοινὰ συλλαβὼν ἔχεις μόνος
Ὥραν, γένος, φρόνησιν, ἀνδρίαν, λόγον,
Τὰς δεσποτικὰς ἐντολὰς παρατρέχων,
Ἄνους παρ' αὐτοῦ καὶ δυσαίσθητος [3] κρίνῃ·
Πάντες δέ σε βλέπουσιν οἱ συνοικέται

[1] Cod. Τὸν κοσμαγωγόν.

[2] Metaphora notissima. Ephræmius *Chronic.* 298 : Διίθυνεν ἀρχῆς τὸ σκάφος. Id. 1339 : Ὁλκὰς αὐταρχίας. Aristoph. *Vesp.* 29 : Σκάφος πόλεως. Conf. Boisson. *Anecd. gr.* t. V, p. 139.

[3] Supra CXII, 14 : Τὰς δυσαισθήτους φύσεις. *De anim.* 1666 : Τὴν δυσαίσθητον φύσιν. Infra CCXIII, 252 : Πρὸς γὰρ τὸ δυσαίσθητον οὐκ ἐξετράπην. Theophan. Ceram. p. 426 C : Τὰ τῶν τραυμάτων δυσαισθητότερα θερμοῖς ὕδασι καὶ δριμέσι φαρμάκοις ἀποκαθαίρουσι. Conf. cod. Par. LVIII, 51.

Μετὰ σοβαρότητος ἐξ ἀηδίας.
Ὁ γὰρ βασιλεὺς τὸν βεβασιλευκότα,
Θεὸς νοητὸς τὸν θεὸν τὸν ἐξ ὕλης,
Τῆς σῆς ἀγωγῆς ἐκδιδάσκει τὸν τρόπον.
Πῶς οὖν δι' αὐτοῦ κερδανεῖς ἅπερ θέλεις;
Πῶς εὐτυχήσεις; πῶς σαφοῦς τεύξῃ κλέους;
Ἔργου πρὸ παντὸς τῷ θεῷ προσεκτέον [1],
Εἶτα δι' αὐτὸν τοὺς γονεῖς τιμητέον [2],
Λόγων ἱκανῶς τῶν σοφῶν Φροντισλέον [3].
Τοὺς δ' αὖ περιτλοὺς ἐκ ψυχῆς βδελυκτέον [4].
Τὸ γασλριμαργεῖν τοῖς Φιληδόνοις [5] πάρες.
Καρπὸς γὰρ αὐτὸ τῶν θεοῦ λιμὸς λόγων,
Καὶ ῥίζα παντὸς δυσχεροῦς ὄντως πάθους.
Καταλαλιᾶς παντελῶς ἀφεκτέον,
Ἐπεὶ κατὰ σοῦ τὸν θεοῦ κινεῖ Λόγον
Φθόνος τὸ χεῖρον τῶν κακῶν τῶν ἐν βίῳ,
Φθόνος τὸ θηρῶν ἀγριώτερον πάθος,
Φθόνος τὸ τοὺς ἔχοντας ἐκτῆκον βλάβος,
Φθόνος τὸ Σατὰν ὅπλον εἰς νίκην φόνου.
Καὶ τί τὰ πολλὰ τῶν κατὰ τοῦτον λέγω;
Τὸν σεπλὸν ἠχρείωσεν ὁ Φθόνος τόπον,
Ἐδὲμ τὸν Ἀδὰμ ἐκπεσεῖν ἀναγκάσας,
Βουλῇ δὲ Σατὰν συμφθαρεὶς φθορὰν κύει,
Τὸν ἀρχέτυπον μῶμον ἐξειργασμένος.
Ὅταν ἴδῃς πένητα μὴ παραδράμῃς·
Δὸς χεῖρα, δός τι, δὸς τὸ μὴ παρατρέχειν,

[1] Aurea Pythagor. carmina imitatur. Cf. cod. Par. CCIII, 81.

[2] Chæremon, ap. Stob. III, 17 : Τό τοι κράτισλον πανταχοῦ τιμητέον.

[3] Cf. infra CCXI, 115.

[4] German. Cpol. cod. Coisl. 278, fol. 215 v.: Τούτων τὴν μετάληψιν βδελυκτέον. Ephræm. *Chronic.* vs. 223 : Ἐπάρατον τίθησι καὶ βδελυκτέον.

[5] Cod. Par. LXVIII, 2.

Ακαδημία Αθηνών / Academy of Athens

* Δὸς κέρμα λεπτοῦ, δὸς γλυκὺν ἴσως λόγον·
Ψυχροῦ[1] γὰρ αὐτά φησιν ἡ Γραφὴ σκύφον·
Εἰ δ' οὐκ ἔχεις, κάμφθητι, δάκρυσον μόνον·
Καὶ τοῦτο τοῖς πένησι φάρμακον μέγα.
Ὅταν ὁ θυμὸς ὡς τὸ πῦρ ὑπερζέσῃ,
Τὴν τῆς γεέννης ἐνθυμήθητι φλόγα,
Ὡς ἂν πυρὶ πῦρ καὶ ζέσει ζέσιν λύσῃς,
Μεγάλα καὶ μόνιμα ῥευστοῖς μετρίοις.
Τῆς σωφροσύνης ἀντὶ πάντων ἐξέχου,
Τῆς σωφροσύνης τῆς καλῆς τῆς κοσμίας·
Ποιεῖ γὰρ ἡμᾶς τῶν παθῶν ὑπερτέρους,
Καὶ τῶν μυσαρῶν ἡδονῶν ἐλευθέρους,
Καὶ Δαυϊτικῶς[2] παρὰ μικρὸν ἀγγέλους·
Ὥρα γυναιξὶν εὐπρεπὴς ἡ σεμνότης,
Ἧς μὴ παρούσης ἀπρεπὴς πᾶσα χρόα,
Κἂν ὑπεραυθῇ, κἂν δοκῇ θέλγειν τέως·
Οἰχήσεται γὰρ ἐν βραχεῖ δήπου χρόνῳ
Ῥεῦσαν[3] τὸ κάλλος καὶ μετελθὸν εἰς κόνιν·
Ἂν οὖν γυναιξὶ συλλαλῇς χρείας χάριν,
Μὴ βλέμμα θελγέτω σε, μὴ γλώττης χάρις,
Μὴ χειλέων κίνησις εὐπρεπεστάτη,
Μὴ φθέγμα λεπτὸν, μὴ χλιδή τις ἐν γνάθοις·
Ὁ τοῦ θεοῦ δὲ σωφρονιζέτω φόβος,
* Μὴ παρασυρῇς καὶ κλαπῇς παραυτίκα.
Νέων ὁμιλεῖν τοῖς προσεκτικωτέροις[4]
Ἄριστον ἡγοῦ· τίς γὰρ ἐντεῦθεν βλάβη;

[1] Respicit ad Matth. x, 42, ποτήριον ψυχροῦ.

[2] Psalm. VIII, 6. Jo. Damasc. *Opp.* t. II, p. 835 D: Σήμερον (cod. Paris. 396 addit Δαυϊτικῶς) ἀγαλλιάσθωσαν διὰ τὴν ἔμψυχον πόλιν αἱ πόλεις πάσης τῆς Ἰουδαίας.

[3] Cf. supra vs. 12.

[4] Conf. infra vs. 129. Cod. Par. XIV, 55: Μαλάσσεται δὲ τοῖς προσεκτικω-

Ακαδημία Αθηνών / Academy of Athens

Τίμα δὲ τοὺς γέροντας ἀνυποκρίτως[1].
Θεοῦ γὰρ αὐτοὺς ἡ παρακμὴ τοῦ βίου
Πείθει τρέχειν ἔγγισθα καὶ παρειμένους,
Ὄντων ἀπείρων τῶν κακῶν τῶν ἐν βίῳ.
Τὸ ψεῦδος ἡγοῦ βλαπτικὸν πάντων πλέον·
Τοὺς μὲν γὰρ ἄνδρας τοὺς φονεῖς καὶ δυστρόπους
Τὸ πνεῦμα φησὶν ἐλλιπῆ δρᾶν τὸν βίον,
Ὅταν ὁ Δαυὶδ τὴν σοφὴν κρούῃ λύραν,
Ψεύστην δὲ πάντα παντελεῖ τρόπῳ φθίνειν,
Ὃν εἶπεν αὐτὸς γλῶτταν εἰκαίαν τρέφειν,
Μυδῶντος[2] αὐτῷ τοῦ φάρυγγος ὡς τάφου.
Τὸ ψεῦδος οὐκοῦν τῷ Σατὰν φίλον μόνῳ,
Τῷ τοῦ σκότους ἄρχοντι τῷ βροτοκτόνῳ[3]·
Ψευσάμενος γὰρ τὴν φθορὰν ἤνεγκέ μοι·
Παντάπασι δὲ τοῦ Θεοῦ τοῦτο ξένον,
Καὶ πᾶσιν ἐχθρὸν τοῖς προσεκτικωτέροις[4].
Παῦσαι, φίλων βέλτιστε, τόνδε τὸν βίον·
Ὁ γὰρ πρὸς αὐτὸν βλαπτικώτατος πόθος
Τὸ σὸν πρὸς αὐτὸν τοῦ Θεοῦ φίλτρον λύει.
Τὸν εὐλαβῆ[5] δεῖ καὶ πρὸ τῶν λόγων ἔχειν
* Παίδευσιν ἠθῶν, βλέμμα τῷ βίῳ πρέπον,
Καὶ σχῆμα καὶ βάδισμα σὺν εὐταξίᾳ·
Χωρὶς γὰρ αὐτῶν ἁπρεπὴς ἅπας λόγος·
Γλῶττα σφριγῶσα καὶ σοβὰς πρὸς τοὺς λόγους

τέροις. Id. ccxix, 35 : Καὶ ψυχαγωγεῖ τοὺς προσεκτικωτέρους.

[1] German. Cpol. cod. Coisl. 278, fol. 193 r° : Καὶ τὸν Χριστὸν ἀληθινὸν Θεὸν ἀνυποκρίτως καὶ φιλαληθῶς διακηρύττοντα.

[2] Psalm. xiii, 3.

[3] Anon. in Psalm. cod. Par. 371 A, fol. 238 r° : Βροτοκτονίαν καὶ Θεοκτονίαν ὑπὸ τοῦ Ἀδαμιαίου πλάσματος καὶ ἄμφω ἐνεργηθῆναι ὑποπτευόμεθα, quæ vox Βροτοκτονία addenda lexicis.

[4] Cf. supra vs. 112.

[5] Cod. εὐλαβεῖ.

Ακαδημία Αθηνών / Academy of Athens

Τοῖς εὖ Φρονοῦσιν ὕβρις ἐσλὶν ἐσχάτη·
Ἄμετρα λαλεῖν οὐ ϖροσῆκον ἐν μέσῳ·
Τοῖς γὰρ λέγουσι μέμψις οὐχὶ μετρία,
Τοῖς δ' ἀκροαταῖς μῖσος ἐντεῦθεν μέγα
Πρὸς τοὺς λαρυγγίζοντας ἐξ ἀμετρίας.
Δεῖ τοῖς ϖαροῦσιν ἡμέρως ἐντυγχάνειν,
Καὶ μὴ σοβαροὺς ἐξεμεῖν λόγων τύπους·
Τὸ γὰρ ἱλαρὸν καὶ γαληνὸν ἐν λόγοις
Εὐσχήμονος γνώρισμα σαφὲς καρδίας.
Ἁμαρτίας[1] κάθαρσις ἀκραιφνεσλάτη,
Εἴ τινα Θερμῆς συντριβῆς ἔχει ζέσις,
Ἀνυσλικὴ μάλισλα τῆς σωτηρίας·
Ἀσύμφορος δὲ μὴ κατανενυγμένη.
Βαθὺ σκότος[2] νόμιζε τὴν ἁμαρτίαν,
Σέλας δὲ λαμπρὸν τὸν Φιλάρετον τρόπον.
Ἂν γοῦν ἐκείνην λευκάνας ἐκφαυλίσῃς,
Ἕξει[3] τὸ Φῶς αὐτίκα τῆς σωτηρίας.
Ἄλλου τις ἄλλῳ μυσλικὸν Φράζων[4] ϖάθος
Κῆρυξ ϖονηρὸς τοῖς Φρονοῦσιν ἐκρίθη·
* Τοῦ γὰρ Θεοῦ τὴν ψῆΦον[5] ἁρπάσας ἔχει,
Καθ' ἣν τὰ κρυπλὰ Φανεροῦται ϖρακτέα.
Καταλιπὼν, ἄνθρωπε, τὴν ἁμαρτίαν,
Εἰ τὴν ταχίσλην ϖρὸς Θεὸν σπεύδεις τρέχειν,
Χρῆσαι συνεργοῖς καὶ ϖροπομποῖς ἀξίοις
Τοῖς μυσλαγωγοῖς τῶν ψυχῶν καὶ ϖροσλάταις.
Σπούδασμα καλὸν ἀκριβῶς τοῖς ἐν βίῳ
Γνώμης ἀπανούργευτος[6] ὀρθῆς ἁπλότης·

[1] In margine cod. *μετανοίας.*
[2] Supra vs. 27 : *Ἐν βαθεῖ σκότῳ.*
[3] Leg. *ἕξεις.*
[4] Cod. *Φράζον.*
[5] Joann. VII, 4.
[6] Conf. *Spicil. Rom.* X, p. 142.

Ακαδημία Αθηνών / Academy of Athens

Τῆς ἀρετῆς ἡ πρᾶξις ἐμπόνως [1] ἔχει,
Πλὴν ἀλλὰ κουφίζουσιν αὐτῆς τοὺς πόνους
Αἱ τῶν ἀμοιβῶν τῶν ἐκεῖθεν ἐλπίδες,
Ἃς προβλέπειν ἄμεινον ἢ τούτους βλέπειν.
Πρὸς τοὺς παροξύνοντας ὀργίλως ἔχειν
Καὶ κατονειδίζοντας ἐκ παροινίας
Οὐ χρὴ θυμικὸν οὐδαμῶς ἀντιπνέειν,
Ἀεὶ δὲ σιγᾶν καὶ προσειδέναι χάριν.
Ῥάθυμος ἀνὴρ ἀρετῆς φῶς οὐ βλέπει,
Σκότος [2] δὲ τῷ νήφοντι παθῶν ἠλάθη.
Ἐκ τῆς πονηρᾶς τῶν παθῶν τυραννίδος
Ὁ τοῦ θεοῦ πόνος σε κερδάνας ἔχει·
Στήριζε σαυτὸν τοῖς ἐναρέτοις τρόποις,
Μήπως ῥιφεὶς ἐκεῖθεν ἀνέλθῃς μόλις.
Τοῦ σώματος τὸ πάχος ἀπολεπλύνειν
Ἐκ τῆς καθαρᾶς τῶν παθῶν ἀσιτίας,
* Καὶ πρὸς νοητὰς κοῦφον ἀνόδους τρέχειν
Δύσληπλόν ἐσλι καὶ κατορθῶσαι μέγα
Ἔθος πονηρὸν πρακτικὸν τῶν σφαλμάτων.
Οὐ πανταχοῦ γὰρ τὸν Σατὰν κακισλέον [3].

[1] Cod. Coisl. 87, fol. 151 r° : *Ἐπισλημόνως ἐπιμελοῦ καὶ ἐμπόνως.*

[2] Infra ccxxx, 4 : *Ὡς ἂν τὸ βαθὺ τῶν παθῶν φύγω σκότος.*

[3] Multis ejusmodi vocibus ditari possunt lexica, quibus nunc addam : *Βραχυδιασλαλτέον*, Schol. in Homer. ap. Cram. *Anecd. Par.* t. III, p. 431. *Διασλαλτέον* norunt lexicographi. — *Γρηγορητέον*, Ephr. Syr. *Opp.* t. III, p. xxxv, (in *Thesauro* sed sine exemplo). Adde *Γρηγορότης* ex Theod. Lascar. cod. Par. 3048, fol. 37 v° : *Καὶ σλρέφεσθαι γρηγορότητι.* — *Διατακτέον*, Procl. in Tim. p. 26. — *Διαχειρισλέον*, Eustath. *De Thessal.* p. 376, ed. Tafel. — *Διοικητέον*, Jo. Actuarius, cod. Par. 2098, fol. 131 v° : *Διοικητέον τὴν πᾶσαν δίαιταν.* — *Δοξασλέον*, Arsen. præfat. in Philen, *De animal.* — *Ἐγκολπισλέον*, German. Constantinop. cod. Coisl. 278, fol. 215 v° : *Μᾶλλον μὲν οὖν ἐγκ. καὶ ταῦτα ἡμῖν τῶν Αἰγυπλίων ὑφελομένοις.* — *Ἐγχειρισλέον*, cod. Paris. 1195,

Ἐθὰς[1] δὲ καλῶν εὐχερῶς ἐπισ/ρέφει,
Κἂν ἐμβριθὲς τὸ ϖλῶμα τοῖς φιληδόνοις,
Σώματος ἰσχὺς εὐπρεπὴς ϖρὸς τοὺς ϖόνους,
Τὸ δ' ἀσθενὲς καὶ χαῦνον ἐχθρὸν εὑρέθη·
Συνασθενεῖ γὰρ καὶ τὸ καλὸν ἔσθ' ὅτε
Καὶ τῷ τόνῳ κάμνοντι συναπορ̣ρέει[2].

fol. 102 v°. — Ἐκλαλητέον, Nicol. Corcyr. cod. Par. 1277, fol. 227 v° : Σκληρὸν μὲν εἰπεῖν, ἐκλ. δ' ὅμως. — Ἐκφευκτέον, cod. Par. 1195, fol. 223 r°. — Ἐξανοικτέον, Band. *Catal. Flor.* t. I, p. 434. — Ἑορτασ/έον, Jo. Stauracius, cod. Coisl. 146, fol. 3 v° : Καὶ τὰ τοῦ ἡμῶν ϖολιούχου ἑορτασ/έον θεῖα τεράσ/ια. — Ἐπιγραπ/έον, Theod. Stud. *Bibl. Patr.* Mai, t. VI, p. 372 : Καὶ τῷ κοινῷ ϖατρὶ ἐπιγραπ/έον τὸ κατόρθωμα. — Ἐπιλεκτέον, Eustath. *De Thessalon.* p. 376, ed. Tafel. — Ἐπιτακτέον, Procl. in Tim. p. 12. — Ἑρμηνευτέον, Mich. Psellus, cod. Par. 1277, fol. 246 v°. — Θερισ/έον, Jo. Stauracius, cod. Coisl. 146, fol. 3 v° : Θερισ/έον μὲν τῆς ἀθλητικῆς ϖαλαίσ/ρας μετ' εὐφροσύνης τὰ δράγματα. Theod. Stud. cod. Par. 892, fol. 14 r° : Οὐκοῦν διεγερτέον ϖάσῃ σπουδῇ καὶ θερισ/έον. — Καθοπλισ/έον, German. Cpol. cod. Coisl. 278, fol. 227 v° : Τῇ νησ/είᾳ τότε καθοπλισ/έον καὶ τῇ ϖροσευχῇ ὡς δισ/όμῳ μαχαίρᾳ καὶ τμητικῇ. Notum est ὁπλισ/έον ex Xenoph. — Καταρκτέον, Tzetz. *Allegor. Il.* II, p. 192, ed. Boiss. — Κακολογητέον, Aristot. *Rhet. ad. Alex.* t. II, p. 1442, col. a, 8 : Καὶ τοὺς ἐναντίους κακολ. — Κατορθωτέον, Paul. Ægin. cod. Coisl. 168, fol. 233 v°. — Κοπιατέον, Eustath. *Opusc.* p. 12, 33. — Μεθαρμοσ/έος, cod. Paris. 1197, fol. 2 v°. — Μετοχετευτέον, Jo. Actuarius, cod. Paris. 2098, fol. 131 v°. — Ὀβελισ/έον, Tzetz. *Allegor. Il.* Ω, 35, p. 314, ed. Boiss. : Τοὺς ἐξ ὀβελισ/έον ....σ/ίχους. — Ὀσφραντέον, Antyllus, cod. Par. 2237, fol. 2 v°. — Παρακολουθητέον, Procl. in Tim. p. 9. — Πημαντέον, Theogn. 193. — Πολυπραγμονητέον, cod. Coisl. 384, fol. 17 r° : Ἀλλὰ καὶ τὰς αἰτίας ϖ. — Προσενθυμητέον, Eustath. in Jo. Damasc. *Spicil. Rom.* t. V, p. 265. — Σαββατισ/έον, German. Cpol. cod. Coisl. 278, fol. 221 v°. — Συλλεκτέον, Jo. Stauracius, cod. Coisl. 146, fol. 4 r° : Συλλεκτέον δὲ καὶ τῶν θαυμάτων καρπούς. — Συμπεριληπ/έον, An. cod. Par. 215, p. 47 : Τὴν μετὰ φθορᾶς συμπ. σύλληψίν τε καὶ γέννησιν. — Συνεννοητέον, Eustath. in Jo. Damasc. *Spicil. Rom.* t. V, p. 313. — Συνορατέον, cod. Par. 2501, fol. 121 v°. — Ταπεινωτέον, Aristot. *Rhet. ad. Al.* t. II, p. 1443, col. a, 10 : Τὰς δ' ὑπ' ἐκείνων μελλούσας (ϖίσ/εις) λέγεσθαι διασυρτέον καὶ ταπ.

[1] Conf. CXXXI, 85.

[2] Cod. συναποῤῥέη.

Ακαδημία Αθηνών / Academy of Athens

Ἔτι νέαν ἄγοντα τὴν ἡλικίαν
Σπείρειν σε καλὸν καὶ θερίζειν ὀξέως
Τοὺς πνευματικοὺς καὶ ψυχοτρόφους[1] πόνους,
Ὡς ἂν τραφεὶς[2] ἐντεῦθεν εἰς γῆρας φθάσῃς.
Σφριγῶντι τῷ σώματι πρὸς πόνους ἔτι
Δίδου συνεργὸν ἀσφαλῆ τὴν καρδίαν·
Τοῦ σώματος γὰρ ἀσθενοῦντος τῷ χρόνῳ
Τὸ τῆς ψυχῆς πρόθυμον οὐκ ἔχει χάριν.
Νόμιζε φεύγειν τὸν πονηρὸν εἰς τέλος,
Εἴ σοι τὸ μοχθεῖν γίνεται κατὰ λόγον·
Εἰ δ' οὖν, πάλιν ἄνεισι, κἂν ἴσως φύγῃ,
Φρικτὸς σοβαρὸς δυσμενὴς ὑποστρέφων,
Λύπης καταιγὶς[3], τῇ ψυχῇ μέγας κλύδων[4].
Οὐκοῦν φυλακῆς ἀσφαλοῦς δεῖ τῷ βίῳ·
Σατὰν πονηρὸς καὶ κρατὴρ ζέων μέθης
Τὴν σαρκικὴν πύρωσιν ἐξάπλει τάχος·
Ἡ τῶν μαχητῶν πρὸς τὰ φαῦλα γυμνότης
Ποιεῖ τὸν ἐχθρὸν ἀκρατῆ πρὸς τὴν μάχην·
Μάχης ὁ καιρὸς οὐ κατά τινα χρόνον,
Ἀλλ' οὖν ἐσαεὶ προσδοκᾶν ταύτην δέον·
Ὁ γὰρ μεριμνῶν καὶ παρεσκευασμένος
Οὐκ ἔστιν εὐάλωτος ἐχθροῖς ἐν μάχαις.
Σατὰν ἐπαρθεὶς τοῦ προσήκοντος πλέον

[1] Vid. cod. Escur. XXVI, 37.

[2] Cod. τραφῆς.

[3] S. Ephr. *Opp.* III, p. 527 F : Τῶν παθῶν τὴν καταιγίδα. German. Cpol. cod. Coisl. 278, fol. 184 v° : Ἐκ τούτου μοι τὴν καταιγίδα πᾶσαν τῶν πειρασμῶν ἐπιβρῖσαι διϊσχυρίζομαι. Jo. Damasc. *Spicil. Rom.* t. IX, p. 730 : Ἁμαρτιῶν με καταιγὶς, ἀνομιῶν τρικυμία, ἀλλεπάλληλοι σπιλάδες κακίας συνωθοῦσιν εἰς βαθὺν βυθὸν τῆς ἀπογνώσεως.

[4] Cod. Esc. XCI, 10 : Ὁ βαρὺς τῆς ψυχῆς λήγει κλυδών. S. Ephr. *Opp.* III, p. 549 E : Τὸν ἐν τῇ ψυχῇ μου ἐγειρόμενον ἀγριώτατον κλυδῶνα τοῦ ἀκαίρου θυμοῦ καταπράϋνον.

Ακαδημία Αθηνών / Academy of Athens

Ὑπῆλθε τῆς γῆς τοὺς μυχοὺς τοὺς ἐσχάτους,
Καὶ νοῦς ὁ τοπρὶν προσλαβεῖν σέλας θέλων
Ζόφος πεσὼν ἄνωθεν εὑρέθη μέγας·
Ἂν ἐνθυμηθῇς τῆς γεέννης τὴν φλόγα
Τὴν σαρκικὴν πύρωσιν εὐθέως σβέσεις.
Ὢ τῶν πονηρῶν τοῦ Σατὰν βουλευμάτων!
Γέλωτα κινεῖ ταῖς προσευχαῖς πολλάκις,
Καὶ τὴν πρὸς αὐτὸν τὸν θεὸν φύρει σχέσιν.
Νήφειν σε λοιπὸν οὐκ ἀναπίπλειν δέον·
Χειρῶν τάσις μόνιμος εἰς πόλον κλίμαξ·
Ὁ νοῦς γὰρ εὐθὺς πρὸς θεὸν γῆθεν τρέχει.
Κρείσσων προσευχὴ τῆς ἐπιτεταμένης [1]
Ἡ συνεχής τε καὶ βραχυλογωτέρα·
Ἡ μὲν γὰρ ὀκνεῖν ἐκβιάζει τὴν φύσιν,
* Ἡ δὲ σθένος δίδωσι τῇ προθυμίᾳ.
Ψυχῆς προσευχὴ βελτίων τῆς [2] ἐν λόγοις·
Γλώττης γὰρ ἡ κίνησις ἡ κτυπουμένη
Τὴν τῆς ψυχῆς κίνησιν ἀμβλύνει τάχα·
Θεὸς δὲ καὶ σιγῶντος ἀκούει πλέον.
Δάκρυ προελθὸν ἐμβαθῆ [3] σβέσει φλόγα,
Καὶ τοὺς ἀγαθοὺς πολλάκις νόσος τρύχει·
Πρὸς σωφρονισμὸν τοῦ προκύπλοντος τύφου
Λουτὴρ ψυχικὸς ἡ λιβὰς [4] τῶν δακρύων.
Ταῦτα σκόπει, βέλτισλε, πρακτικωτέρως [5].

[1] Cod. ἐπιτεταμμένης.

[2] Cod. βελτίων τοῖς ἐν λόγοις.

[3] Fort. ἐμπαθῆ.

[4] Eurip. *Iphig. in T.* 1107 : Ὦ πολλαὶ δακρύων λιβάδες αἳ πατρίδας εἰς ἐμὰς ἔπεσον.

[5] Tzetz. *Ep.* 39 : Μῶν ὡς ὁ Πυθαγόρας πρακτικωτέρως ἐλέγχων με ἄφωνον ἀφώνοις ἐπιστολαῖς τετίμηκεν. Superlativo πρακτικωτάτως utitur id. Tzetz. *Alleg. Il.* T, 16. Lexicis obiter addam Ἀδικωτάτως, Athanas. *Opp.* I, CLXV et Ἀληθεστάτως, Theod. Lasc. cod. Paris. 3048, 57 r°.

Ακαδημία Αθηνών / Academy of Athens

— CXCIX. Εἰς τὸν αὐτὸν [1], Ἀλεξίου τοῦ Μακρεμβολίτου [2].

* Ἄνθρωπος ὀφθεὶς τῷ βλέποντι Ματθαῖος
Θεοῦ Λόγου σάρκωσιν εἰς πλάτος γράφει,
Ἣν ὡς ἀληθῶς τῶν χρόνων ἐπ' ἐσχάτων
Ἡμῶν χάριν εἵληφε τῶν προσκρουσάντων.

(?) — CC. Ἕτεροι τοῦ αὐτοῦ [3].

Φανεὶς πλερωτὸς ἄνθρωπος ὁ Ματθαῖος
Θεοῦ Λόγου σάρκωσιν ἀῤῥήτως γράφει,
Ἵν' ἀγγελικὸν ὁ κτησάμενος βίον
Γνοίη τὸ μυσλήριον, οὐχ ὕλης Φίλος.

(?) — CCI [4].

Ὁ Ζεβεδαίου ἐγκαινίζει τὴν κτίσιν
* Ὡς ἀετοῦ τὴν Φύσιν ὁ πλεῖσλος χρόνος·
Οἱ εὐγενεῖς γὰρ τῆς ψυχῆς αὐτοῦ τόκοι
Θεοῦ καλιᾶς ἐκκρίνουσι τὰ νόθα.

(?) — CCII. Εἰς τὸν αὐτόν [5].

Ὁ Μάρκος ἰδὼν τὸ σκότος τῆς ἀπάτης
Ὅλην κατασχὼν [6] τὴν βροτῶν σχεδὸν Φύσιν
Τὴν προδρομικὴν οὐ παρῆλθε λυχνίαν,
Ἐφ' ἧς τὸ Φῶς ἔλαμψε τῆς σωτηρίας.

CCIII. Εἰς Θηριακήν [7].

Ὁ ζῶν Φονευτὴς καὶ θανὼν εὐεργέτης

[1] Id est in S. Matthæum.

[2] Incertæ ætatis scriptor, de quo nihil ap. Fabric. *Bibl. gr.* Cf. supra XLI, 15, et infra CCLII, CCLX et CCLXIV.

[3] Ex apographo Read.

[4] In Joannem Theologum.

[5] Id est in S. Marcum evangelistam. Ex apographo Read.

[6] Leg. κατασχόν. Eadem confusio infra CCXIII, 31.

[7] Edit. in meo *Catal. codd. Esc.* p. 41, cum hoc titulo : Εἰς Θηριακάριν. Nunc

Ακαδημία Αθηνών / Academy of Athens

Ἐνταῦθα λαθὼν τεχνικῶς ὑπεκρύβη.
Καὶ ψυχρὸς ὢν ζῶν νεκρὸς[1] εὑρέθη ζέων,
Καὶ φίλος ἐχθρὸς καὶ ϖαρὼν ἀποσλάτης.

CCIV. Εἰς τὸ αὐτό[2].

Πονηρὰ μέντοι τῶν ἐχιδνῶν ἡ Φύσις
Λεληθότως δάκνουσα τοὺς ἀνευθύνους·
Ἡ τῶν βροτῶν Φύσις δὲ νουνεχεσλάτη
Δάκους ἄκος δείξασα τοὺς[3] ὑπευθύνους.

CCV. Εἰς τὸ αὐτό[4].

Τὴν Θηριακὴν Ἀνδρόμαχος ἐνθάδε
Τοῖς ἀνδρομάχοις ἀντιτάλει Θηρίοις·
Κληθεὶς γὰρ Ἀνδρόμαχος ἐξ ἀντισλρόφου
Ἀντισλρόφως κίρνησι[5] καὶ τὰς οὐσίας.

CCVI. Πρός τινα τὸν ἐχθρωδῶς[6] τῷ Φιλῇ διακείμενον.

* Ἦν ἄρα καὶ ϖρὶν δυσγενὴς[7] ἐγνωσμένος
Ὁ κομπάσας ἔναγχος ἢ ϖαίξας γέρων·
Ἐπήλυδι γὰρ[8] μετ' αὐτὸν ϖρεσβύτῃ
Νέον τύφον δίδωσιν ἡ ϖαροιμία,
Κἂν οὐδὲ τὸ ϖρόσχημα τῆς εὐρωσλίας
Ὁ δεινὸς ἐξήνεγκεν εὐτέχνως γόης·

denuo ex apographo Read. Conf. cod. Par. CL-CLV.

[1] Cod. Esc. Θανών et supra νεκρός.

[2] In meo *Catal.* p. 41. Nunc ex apographo Read, apud quem Πονηρὰ μὲν contra metrum.

[3] Cod. Flor. τὰς ὑπευθύνους.

[4] Hoc tetrastichon non habet cod. Flor. Recepi ex meo *Catal.* p. 41.

[5] Cod. κίρνυσι.

[6] Theodor. Stud. cod. Paris. 892, fol. 12 r° : Καὶ λαλεῖν ϖερὶ ἀδελφοῦ ἀλλὰ μὴ ἐχθρωδῶς. Anon. cod. Par. 2506, 40 r° : Εἰ γὰρ ἐχθρ. διάκεινται.

[7] Vid. Greg. Naz. *Opp.* II, p. 28 D, nov. ed.

[8] Deest syllaba. Fort. γὰρ δὴ μετ' αὐτόν.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ γὰρ ἄπαξ αὐτάρκες οὐ δεῖται τρόπων.
Ἔρως μὲν οὖν προὔκυπλεν ἀφροδισίων
Ἀνδρί τε σαπρῷ καὶ γυναικὶ συζύγῳ·
Ἶϋγξ δέ τις ἔνυτλεν αὐτοὺς ὀργίων,
Καὶ τοὺς ἀγωγοὺς τῆς γονῆς ἀνεσλόμου·
Πλὴν ἡ μὲν ἐσφάδαζεν εἰς ἀπλησλίαν,
Καὶ πρὸς τὸ παθεῖν εὐτρεπὴς ἦν ἐκτόπως,
Καὶ παραγυμνώσασα τὸ σλέρνον τέως
Ἀνῆκεν ὑγρὸν τῇ δρακὶ τοῦ πρεσβύτου·
Καὶ γὰρ τὸ θερμὸν ὡς τὸ πῦρ ἀνατρέχον
Ἐρωτικῶν παρεῖχεν ἀτμοὺς ἀνθράκων·
Γέλως δὲ σεμνὸς[1] καὶ παράσλημα ξένον,
* Καὶ συνεχὲς φίλημα καὶ φωνῆς κτύπος,
Καὶ ῥωτακισμοὶ[2] καὶ παραφαὶ δακτύλων,
Καὶ γαργάλου κνίσματα[3], καὶ χρὼς αὐχένος,
Καὶ βλέμμα, καὶ ῥὶς, καὶ διάβροχον σλόμα,
Καὶ φοινικοῦν ἄντικρυς ἐν γνάθοις ῥόδον,
Τῆς ἡδονῆς τὸν ὄμβρον ἐκρεῖν ἠξίου·
Ὁ δὲ σλεγανὸς εὑρεθεὶς τούτοις λίθος
Ὀρεκτιῶσαν εἶχε τὴν φύσιν μόλις·
Πρὸς γὰρ τὸν αὐχμὸν τῶν μελῶν ὁ πρεσβύτης
Οὐκ εἶχεν ἀρκοῦν τὸ χλιδῶν[4] τῆς ὀσφύος·
Ἀλλ' ἡ μὲν ἰκμὰς ἐξεχεῖτο ματαίως,
Αὐτὸς δὲ ταύτην εὐθέως ἐβόσκετο,
Καὶ τὰς παρασλάτιδας ὀκνούσας φέρων,
Οὐκ εἶχεν ὀρθοῦν εὐσθενῶς τὴν αἰσχύνην.

[1] Fort. δ' ἄσεμνος.

[2] Vox addenda *Thesauro* qui solum habet ῥωτακίζω ex Suida. Addenda et vox παραφή.

[3] Cf. supra CXC, 6. Pseudo-Basil. III, p. 596, C : Γαργαλισμοὶ κνησμώδεις. Conf. Clem. Al. *Pæd.* 3, p. 254 A.

[4] Cod. τὸ χλιδόν.

Ακαδημία Αθηνών / Academy of Athens

Οὕτως ἐκείνοις τοῖς ἐπ' ἄλλους ἂν φίλοις
Καὶ ταῖς παρολκαῖς τῆς κενῆς ἐρασιρίας
Ὁ ταριχευτὸς οὐ προσεῖχε νυμφίος·
Ἐπεὶ δὲ νεκρὸν ἀκριβῶς ἦν τὸ βρέτας,
Ὁ δυσκλεὴς κένταυρος, ὁ κλωψ, ὁ φθόρος,
Ὁ τρίκερως βοῦς, ὁ κριὸς τῆς ἑσπίας,
Ὁ δύσκολος[1] θὼς, ὁ τραχυπώγων τράγος,
Ὁ νῶτα κυρτῶν καὶ κατασπῶν ἰσχία,
Τὸ τοῦ γένους κάθαρμα, τῆς γῆς ἡ νόσος,
Ἡ Στὺξ, ὁ τελχὶν, ἡ περιτλὴ κοπρία·
* « Γύναι, θεωρεῖς τόνδε, φησὶ, τὸν δόμον,
Ἐγὼ τοσοῦτον ὄντα διελεύσομαι
Ὀκλὰξ ἀνασχὼν εἰς τὸ βῆμα τὸν πόδα,
Καὶ τόνδε λοιπὸν ἀσφαλῶς ἀπευθύνας,
Ὡς ἂν ἐπ' αὐτοῦ καὶ τὸ πᾶν σῶμα τρέχῃ·
Δεῖ γάρ με σὴν δήπουθεν εἰ δίδως χάριν
Ἀσκωλιασμὶ[2] καταπηδῶντα τρίβειν·
Εἰμὶ γὰρ ἠβῶν καὶ σφριγῶν πρὸ τοῦ χρόνου,
Κἂν πολλάκις ἔσκωψας ὡς γέροντά με. η
Τούτοις ἐκείνην ὥσπερ ἀναλαμβάνων
Ἐσκίρτα λαμπρῶς, ἐν βραχεῖ δὲ τῷ δρόμῳ
Πρὸ τῆς ῥώμης[3] ὤκλαζεν αὐτῷ τὸ σκέλος,
Καὶ βαρὺς ἀντέπιπλε τῇ βάσει κλόνος·
Πρηνὴς δὲ ῥιφεὶς, εἶτ' ἀνασὰς ἠρέμα,
(Τὰ νεῦρα γὰρ ἦν ἀδρανῆ τῆς ἰγνύος,)
Τοὺς ἐμβάτας ἔφασκε δεσμεῖν τὸν δρόμον·

[1] Cod. δύσκωλος. Vox τραχυπώγων addenda lexicis, quibus adde etiam σπαδοπώγων, Anon. cod. Par. 2494, fol. 142 r°.

[2] Vox addenda lexicis. Plat. *Conv.* p. 190 D : Ἐφ' ἑνὸς σκέλους ἀσκωλιάζοντες.

[3] Leg. ῥύμης.

Ακαδημία Αθηνών / Academy of Athens

Καί σου καθεσθεὶς ἐξανέσῃ γυμνόπους[1],
Καὶ λαμπρὸς ἦν ὅλισθος ἀπὸ βαλβίδος·
Ἡ δ' ἀνακαγχάσασα σενθεῖν ἠξίου
Καὶ δοχμίῳ σλώματι μετρεῖν τὸ σλέγος·
« Πλὴν ζῆθι, φησὶν, ὁ δρομεὺς ἐμὸς γίγας,
Ὃν ὁ βραχὺς ἤλεγξε Φαυλίσας δρόμος.
Ὢ τῶν μάτην σόῤῥωθεν ἡμῖν ἐλπίδων!
Οἵῳ με συνῴκισεν οἰκτρῷ λειψάνῳ
* Λαθὼν ὁ σατήρ! μὴ γὰρ ἠγνόει[2] τάχα
Τοσοῦτο κακὸν εἰσφθαρὲν τῇ φιλτάτῃ·
Ἐγὼ δέ σοι καὶ ταῦτα λαμπρῶς ἀνύσω.
Χρὴ γάρ με σαφῶς ἐξαμεῖψαι τὴν Φύσιν,
Ἐπεὶ σὺ γυνὴ, κἂν δοκῇς ἄρσην Φάγος·
Τὸ κράσπεδον γοῦν ὑπανασυραμένη[3]
Καὶ μέχρι μηρῶν τοὺς σόδας ψιλώσασα,
Πόδας καθαροὺς, εὐπρεπεῖς, καλλισφύρους[4],

[1] Supra CIX, 2 : *Καὶ Σκύθης τὴν ἀναβολὴν καὶ κοῦφος καὶ γυμνόπους.* Cod. Par. XLVIII, 12 : *Ὁ σεινῶν καὶ ψιλὸς καὶ γυμνόπους.* Cod. Esc. CV, 57 : *Ὁ Θεσβίτης ἔμεινε γυμνόπους τάχα.* Quæ vox occurrit in epigrammate, opinor, inedito, cod. Par. 1630, fol. 63 r° : *Ἅρπαξ ὁ ληστὴς, ἀλλὰ τῆς σωτηρίας, Καὶ γυμνὸς, ἀλλ' ἔνδυμα τὸν σταυρὸν φέρων, Ἀπρόσκοπον δὲ τῷ Θεῷ τέμνων τρίβον, Καὶ γυμνόπους ἄριστος ἐγράφη, ξένε.*

[2] Cod. *ἠγνόη.*

[3] Præter hoc, alia ejusmodi composita ignorant lexicographi : *Ὑπανακρούω*, Theodor. Stud. cod. Coislin. 94, fol. 288 v° : *Οὔτε μὴν ἐχαυνώθης ἀπειλαῖς ὑπανακρουομέναις.* — *Ὑπαναῤῥήγνυμι*, German. Cpolit. cod. Coislin. 278, fol. 184 r° : *Πικρῶν δὲ δακρύων πηγὴν ἑτέρωθεν ὑπανέῤῥηξεν.* — *Ὑπανασταμόω*, Michl. Glycas, cod. Par. 228, fol. 25 v° : *Καὶ τὰς ἐκχύσεις βλύζεις μοι τῶν εὐεργετημάτων Οὐκ ἀργυρέας ὅ Φασιν ὑπανασταμουμένας.* — *Ὑπαναῤῥίσσω*, Germ. Cpolit. *l. l.* fol. 198 v° : *Ἀνατρέχει τῇ μνήμῃ πρὸς τὴν Μωσέως νησείαν, εὑρίσκει ὡς ἡ ταύτην πολεμήσασα κεφαλὴ καὶ τὰς πλάκας διαμασησαμένη, γαστρίμαργία ἦν ἔνθεν καὶ ταύτην πρώτην ὑπαναῤῥίσσει καὶ καταχάσκει τοῦ πειραζομένου.* — *Ὑπαναχαιτίζω*, S. Nilus, ed. Suares, p. 409 : *Καὶ ἐν μὲν τῇ ἐνδημίᾳ τῆς Θερμοτάτης ἐκδημίας ὑπαναχαιτίζει πρὸς ὀλίγον.*

[4] *De plantis*, v. 277 : *Ἐκ ποδὸς καλλισφύρου.*

Ακαδημία Αθηνών / Academy of Athens

Ὀξεῖς, ἁπαλοὺς, μαλθακοὺς, λευκοχρόους[1],
Ἐρυθροβαφεῖς[2] ὑπὸ τὰς πλέρνας μόνον,
Κούφους, χνόης πλὴν, ἀσπραβεῖς, ἡδύφλεβας[3],
Τῷ συζύγῳ τὸν ἴσον ἐκράτει δρόμον,
Καὶ μηδὲν ἀσθμαίνουσα παρῆν αὐτίκα,
Καὶ δὶς ἐκεῖνο, τοῦτο[4] καὶ τρὶς ἐκράτει·
Ἐπεὶ δὲ παρέματλε[5] θαμὰ τὰς γνάθους
Ὑφασμά τι τρίβουσα λινοῦν τοῖς πόροις,
Ὡς ἂν ἀπ' αὐτῶν ἐξελάσῃ τὴν κόνιν
Ἣν εὐθὺς ἠνέμωσεν ἐκ τῶν ἁλμάτων·
Ἐπεὶ δὲ[6] χαυνώσασα τὴν θηλανδρίαν[7]
Εἰς τὸν θάλαμον ἦλθεν ἐκ τοῦ τρισπέγου,
Κἀκεῖνος ἀλγῶν καὶ σπένων παρείπετο,
Καὶ τὰς θύρας ἔκοπεν εἰσδύνειν θέλων.
Τί δ' αὖ τὸ λοιπόν; ἀγνοῶν παρατρέχω,
Πλὴν εἰ μὲν εἰς εἴδωλα τὸν νοῦν φαντάσας,
* Καὶ συναγαγὼν τοῦ θορυβοῦ τὰς ἰκμάδας
Προσέσχεν αὐτῇ, δυσμενὴς γὰρ ἦν τέως,
Εὐδαιμονίζω τοῦτον ἔσθ' ὅτε βλέπων·
Εἰ δ' ἄρα μισῶ τῆς γυναικὸς τὴν τύχην
Τοὺς τοξότας[8] ἔρωτας ἐνθάδε τρέμων,
(Δεινοὶ γάρ εἰσιν εἰς κλοπὰς φιλεσπέρους[9],)

[1] Supra CLII, 1.

[2] Cf. cod. Paris. XLIV, 22.

[3] Vox ἡδύφλεψ addenda lexicis.

[4] Cod. ἐκείνῳ τούτῳ et supra ἐκεῖνο τοῦτο.

[5] Verb. παραμάτλω ignorant lexica.

[6] Fort. ἔπειτα.

[7] Vox addenda lexicis. Addenda et θήλανδρος, qua voce usus est Cosmas in Gregor. Naz. ap. Mai, *Spicil. Rom.* t. II, p. 37 : Ἀγῶνας τινὰς ἐφήβων καὶ θεῶν θηλάνδρων διηγεῖται.

[8] Anthol. Pal. τοξοφόρον ἔρωτα.

[9] German. Cpolit. cod. Coisl. 278, fol. 182 v° : Καὶ πρὸς τὰς φιλεσπέρους δυσμὰς τῶν σῶν τροπαιουχημάτων τὰς ἀκτῖνας ἐξάπλωσον. Vide supra 1, versum 229.

Ακαδημία Αθηνών / Academy of Athens

Ὅταν τὸ θερμὸν τῆς γυναικὸς ἐκζέσῃ,
Καὶ πρεσβύτην φίλυπνον[1] ἡ κλίνη φέρει.

* CCVII. Εἰς εἰκόνα τοῦ Χρισοῦ[2].

Σιγᾷς, Λόγε ζῶν· εὐλογεῖς δ' οὖν τὴν κτίσιν·
Βοᾷ γὰρ ἡμῖν ἀντὶ σοῦ τὸ βιβλίον,
Ἂν ἡ χάρις πέπεικε σιγᾶν τοὺς τύπους.
Τύπος δὲ σὺ, πῶς; μὴ γὰρ οὐ τάχα πνέεις[3];

CCVIII. Εἰς εἰκόνα τῆς Πηγῆς.

Τῶν παρθενικῶν ἀκροώμενος λόγων
Ὁ δεσπότης ἔσηκε σιγῶν ἐνθάδε·
Σὺ δὲ, ψυχὴ, βλέπουσα τὴν εὐσοργίαν
Τὰς ἐγγύας λάμβανε τῆς σωτηρίας.

* CCIX. Ἐπιτύμβιοι εἰς τὸν Φακρασῆν[4].

Οἷον τὸ συμβάν; Φακρασῆς γὰρ ἐνθάδε
Θρήνων ἀφορμή; Φακρασῆς; ὢ τῆς τύχης!
Τί γὰρ τοσοῦτον ἄλλο δεινὸν τῷ χρόνῳ;
Τῆς Φύσεως τὸ θάμβος ἐν τοῖς ἀψύχοις·
Τῶν πραγμάτων ὁ κόσμος ἐν τάφῳ κόνις·

[1] Id. *ibid.* fol. 224 v°: Οὐδὲν γὰρ ἔκλυτον τοῖς ἐγκρατευομένοις· οὐδὲν χαλαρὸν, οὐδὲν ῥᾴθυμον, οὐδὲν φίλυπνον. Mox fort. leg. φέρῃ.

[2] Ex apographo Read, ut et sequens.

[3] Cod. πνεῖς.

[4] «Hoc carmen, quod tamen in fine mutilum est, primus edidit Leo Allatius in diatribe de Georgiis. Inde repetiit Fabricius *B. G.* t. X, p. 542, atque ex eo hic denuo [p. 326] exhibetur. Dicatum est memoriæ Joannis Phacrasis, magni Logothetæ sub Michaele seniore, atque scriptum forsan anno 1302 est.» Wernsd. Non Joannis Phacrasis sed Manuelis Phacrasis memoriæ dicatum est, ut videre est v. 59, ubi legitur Σιδηριώτης Φακρασῆς, cujus cognomen Manuel novimus ex carmine supra edito CV, 23. Hosce versus sepulcrales rursus edendos putavi, cum supplementis ex cod. Flor. qui in reliqua parte versus continet XXII.

Ακαδημία Αθηνών / Academy of Athens

* Τὸ κάλλος εἰς γῆν· ἀπρεπὴς ἡ σεμνότης·
Ἡ δόξα καπνὸς, ἐν σιγῇ τὰ τῶν λόγων,
Ὁ πλοῦτος ἀργὸς, εὐτελὴς ὁ πᾶς βίος,
Ὁ καλλίπαις ἔρημος. Ὢ ζῶντος πάθους[1]!
Ἀνδρὸς τελευτῆς ζῆν ἀτεχνῶς ἀξίου.
Λειμὼν γὰρ ἦν ἐκεῖνος εἰς τὸ πᾶν γένος,
Τῇ τῶν ἀγαθῶν ἐντελεῖ βλάστῃ βρύων,
Ἢ χαρίτων θάλαμος[2], ἢ Μουσῶν τόπος,
Ἢ καταγωγὴ τῶν θεοῦ προσταγμάτων,
Οἷς ἐκ βρέφους ὥπλισε[3] λαμπρῶς τὸν βίον,
Ἀντικατάστὰς πρὸς τὰ τῆς ὕλης πάθη.
Τίς ἱκανὸς τοσοῦτον πενθῆσαι τέρας,
Ἥλιε καὶ γῆ καὶ τελευταῖοι κρότοι[4],
Κἂν ἐκ θαλατίων[5] συνάγῃ τὰ δάκρυα;
Πρεσβύτατον γὰρ καὶ πρὸ τῆς ἡλικίας
Ἐκεῖνον εὑρὼν καὶ περὶ λόγους μέγαν
Αὐτὸς βασιλεὺς, ὁ σκοπῶν εὖ τὰς φύσεις,
Ἀνῆκεν αὐτῷ τὰς λαβὰς[6] τῶν πραγμάτων.
Ὁ δ' εὐθὺς ἦν ἄγρυπνος ἐν τούτοις φύλαξ,
Σοφῶς κυβερνῶν τῶν φυλῶν τὴν ὁλκάδα·
Καὶ λογοθετῶν ἐγκριθεὶς τοῖς ὀλβίοις[7]

[1] Ed. Ὢ ζῶντος πάθος. Wernsd. male conjiciebat : Ὢ ζῶντος πάθος! Ἀνδρὸς τελευτὴ, ζῆν ἀ. ἀ. Aut ita : Ὢ ἀνδρὸς πάθος, ἅτερ τελευτῆς ζῆν. Vox τελευτῆς et ipsa pendet ab ὤ. Supra CXXII, 3 : Ὢ δεινοῦ πάθους! Τοῦ παιδὸς ὑπνώσαντος ἐκ παροιμίας! Conf. CXXX, 66 et infra CCLIX, 1.

[2] Conf. supra CXII, 2.

[3] Cod. Flor. ὤπλισσε.

[4] Wernsd. proponit βροτοί vel καὶ τελευτῆσαι κρότους. Nihil mutandum. Cf. supra CXXX, 29 ubi idem versus.

[5] Hephæstus Bulgar. cod. Par. 1277, fol. 261 v° : Δακρύων θέλω θαλάσσας, Τὸν ἀδελφὸν ὡς δακρύσω.

[6] Cod. Esc. CCXIII, 169 : Δοκεῖς θεωρεῖν τὰς λαβὰς τῶν πραγμάτων. Cod. Par. LXII, 85 : Ὁ νοῦς ὑφιστῶν τὰς λαβὰς τῶν πραγμάτων.

[7] Fabric. τῆς pro τοῖς. Wernsd. improbabiliter conjicit ὁλκίοις, i. e. *admotus*

Ὁσήμεραι ϖροὔκοπλεν εἰς τὰ βελτίω.
Τοῦ δὲ φθόνου ϖνεύσαντος αὐτῷ ϖρὸς βίαν,
Καὶ τὴν ἀγαθὴν ϖαρενεγκόντος τύχην,
* 30 Ὁ ϖαῖς βασιλεὺς, τοῦτον εὑρὼν [1] ϖατρόθεν,
Τὰς ἰδίας ϖροὔθηκεν αὐτῷ Φροντίδας.
Κἀνταῦθα δειχθεὶς ὑπὲρ ἀνθρώπου Φύσιν,
Ἐδυσφόρει μὲν κατὰ τῆς Φαύλης τύχης,
Ἔχων δὲ τὴν σύνευνον, ἑδραίαν βάσιν,
35 (Ἐπεὶ βοηθὸς καὶ τρυγὼν ἦν τὸν τρόπον,
Καὶ τῇ κατ' αὐτὸν ϖροσΦυὴς [2] ὄντως Φύσει)
Πέπονθεν οὐδὲν ὑπὸ τοῦ δεῦρο κλόνου·
ὬΦθη δὲ τοῦ Θλίβοντος αὐτὸν βελτίων
Καὶ τοῦ βίου κάλλισΓα τὸν ϖλοῦν ἰθύνας
40 Καὶ λαμπρὸν ὑπόδειγμα Φανεὶς τῇ κτίσει
Πρὸς [3] ϖᾶν ἀγαθόν, ὢ τελευτῆς ὀλβίας!
Εἰς τὴν γαληνὴν ἦλθε τὴν ϖοθουμένην,
Τὸ λαῖΦος ἐνδὺς τῆς σΓολῆς τῆς ἐσχάτης,
Ἵν' ἐκΦορηθῇ τῷ δανεισΓῇ δεσπότῃ
45 Ὁ ϖλοῦτος αὐτοῦ μὴ βραδύνας ἐν βίῳ.
Πενθεῖ μὲν οὖν τὸν ἄνδρα ϖᾶς ἁπλῶς ϖένης
Ὡς ϖρωτοΦυοῦς [4] ἐκ τριχὸς ϖΓωχοτρόΦου [5].
Θρηνεῖ δὲ καὶ ϖᾶς τεχνικῆς γλώττης λόγος,
Τὸν ϖαντοδαπὸν οὐκ ἔχων κοσμήτορα·
50 Ἡ σύζυγος δὲ καίπερ ἐξειλεγμένη,
Καὶ τοὺς τόκους βλέπουσα ϖατρώους τύπους,
Ὡς καὶ τὰ κήδη τῶνδε ϖεΦροντισμένα

gubernaculis Logothetarum. Vox λογοθετῶν participium ex verbo λογοθετέω.

[1] Fort. αἰρών Wernsd. Male.

[2] ΠροσΦυῶς Wernsd. qui recte conjecerat ϖροσΦυής.

[3] Versus 41 et seq. desunt in ed. Wernsd.

[4] Cf. supra LIX, 7.

[5] Vox a nostro valde amata. Cf. cod. Esc. CXXXV, 4 et passim.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Τῶν βασιλικῶν μέχρις ἐλθεῖν αἱμάτων,
* Οὐ βούλεται ζῆν, οὐδ' ἐπαινεῖ τὸν βίον,
Ἀλλὰ τελευτᾷ καὶ θανατᾷ πολλάκις,
Τὸ τῆς τύχης ἄπιστον ἐνθυμουμένη.
Σὺ δ', ὦ θεατά, πάντα συνεὶς ἐμφρόνως,
Ὅταν ἴδῃς ἄνθρωπον ἐν λύπαις, φράσον·
Σιδηριώτης Φακρασῆς κεῖται, ξένε,
Τὸ θαῦμα τῆς γῆς καὶ τὸ τῶν λόγων κράτος,
Καὶ σὺ τὰ σαυτοῦ δεινοπαθῶν δακρύεις;
Ἔα, τὰ γὰρ σὰ τοῦ πάροντος δευτέρα.

CCX. Τοῦ[1] αὐτοῦ πολιτικοὶ αὐθωρὸν πρὸς τὸν αὐτοκράτορα ἐν τῇ ἑορτῇ τῆς[2] Χριστοῦ γεννήσεως καὶ τῶν Φώτων.

Ὡς εἴδομέν σου πρὸ μικροῦ τὸ πρόσωπον, αὐτάναξ,
Ἐκλάμψαν ὑπὲρ ἥλιον ἐν τῷ τοῦ κράτους δίφρῳ[3],
Χριστοῦ τεχθέντος ἐπὶ γῆς τοῦ νοητοῦ Φωσφόρου,
Συνεδωροφορήσαμεν[4] τοῖς ἐκ Περσίδος τάδε·
Ἐξ οὐρανῶν ὁ πλασιουργὸς[5] ἐπὶ τὴν γῆν κατῆλθε,
Πρὸς οὐρανοὺς ὁ βασιλεὺς ἀπὸ τῆς γῆς ἀνῆλθεν·
Ὁ πλασιουργὸς ἀπὸ Θαιμὰν[6], ὁ βασιλεὺς δυσμόθεν,
Ὡσεὶ σλαγὼν ὁ πλασιουργὸς, ὡς πῦρ ὁ σλεφηφόρος·
Δεῖ γὰρ ἡμᾶς ἀναψυχὴν τὴν παρ' ἀμφοῖν λαμβάνειν·
Ὢ θαύματος! ὢ πράγματος! ὢ δανεισμάτων ξένων!

[1] Cod. M. fol. 103.

[2] Cod. Fl. ἐν τῇ ἑορτῇ τοῦ Χρ. γενυήσεως.

[3] Conf. supra LXXVI, 4. Id. LXXXVI, 27 : Τῶν ἀρετῶν ὄχημα.

[4] Vox addenda lexicis. Conf. supra CVII, 34.

[5] Substantivum πλασιουργία usurpant Psell. *In Cant. Cant.* p. 117 : Ὡς ἀδελφοὶ τυγχάνωμεν (al. τυγχάνομεν) εἰς λόγου πλασιουργίαν (al. λόγους πλασιουργίας). Melit. v. 1308 : Ὀρφεὺς ὁ Θρᾷξ ὁ λυρικὸς ὁ θεὶς θεογονίαν Καὶ κόσμου κτίσιν ἐξειπὼν βροτῶν τε πλασιουργίαν.

[6] Jerem. XLIX, 7 et 20.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ βασιλεὺς τῷ πλασιουργῷ σάρκα ῥευσιὴν εἰσφέρει,
Ὁ πλασιουργὸς τῷ βασιλεῖ ζῶσαν ἀῤῥεύσιως[1] χάριν·
Πίπλετε γοῦν οἱ δυσμενεῖς, πίπλετε θᾶτιον θᾶτιον,
Ὁ βασιλεὺς μετὰ Χριστοῦ· τί τὸ κομπάζειν μάτην;
Ταῦτα μὲν οὖν τὰ φθάσαντα καὶ πανηγυρισθέντα,
Νυνὶ δὲ πῦρ ὁ πλασιουργὸς[2], σίδηρος ὁ κρατάρχης[3].

* CCXI. Τοῦ Φιλῆ. Εἰς τοὺς λόγους τοῦ ἁγίου Ἰωάννου τοῦ τῆς θείας κλίμακος[4].

1. Εἰς τὸν πρῶτον λόγον. Περὶ τῆς τοῦ ματαίου βίου ἀποταγῆς[5].

Στρουθὸς λογικὸς εὑρεθεὶς τῷ δεσπότῃ
Τὰς κοσμικὰς, βέλτιστε, πταγίδας φύγε·
Ἔξεις γὰρ ἀνάπαυμα τὴν ἐρημίαν,
Εἰ μὴ πρὸς αὐτὰς ἐμπαθῶς ἀνασπρέφεις.

2. Περὶ ἀπροσπαθείας[6].

Ἀπροσπαθὴς, βέλτιστε, καθάπαξ μένε,
Μή τις σὲ δεσμὸς ἡδονῆς ἀνθελκύσῃ·
Καὶ φεῦγε γοργῶς τοὺς ὑποσπῶντας βρόχους,
Ἐπεὶ τὸ κακὸν εὐχερῶς ὑποσπρέφει.

3. Περὶ ξενιτείας[7].

Ἂν ὁ κτίσας ἅπασαν ἐντέχνως φύσιν
Ξένος διὰ σὲ μετριάσας εὑρέθη,
Τί καὶ σὺ, ταλαίπωρε, μὴ γίνῃ ξένος,
Πρὸς τὴν παλαιὰν εὐδρομῶν σου πατρίδα;

[1] Cod. ἀρεύσπως.

[2] In Catal. codd. Mon. ὁπλασπουργὸς σιδ. ὁ κρατάρχ. (*sic*).

[3] Spatium vacuum in fine paginæ codicis Florent.

[4] Cod. M. fol. 103.

[5] Addunt edd. καὶ ἀναχωρήσεως.

[6] Add. edd. ἤγουν τῆς λύπης.

[7] Add. edd. ἐν ᾗ καὶ περὶ ὀνείρων νέων.

Ακαδημία Αθηνών / Academy of Athens

4. Περὶ δειλίας[1].

Ὄνειρος ἡδὺς γάργαλος φιληδόνοις[2]·
Ὁ γὰρ ἀηδὴς φορτικὸς μικροψύχοις·
Δεῖ οὖν σε φυγεῖν τὴν ἑκατέρων βλάβην,
Καὶ μηκέτι, βέλτισλε, λαγὼ[3] ζῆν βίον.

5. Περὶ τῆς μακαρίας ὑπακοῆς[4].

Ὑπακοῆς, ἄνθρωπε, τοὺς ὅρους μάθε,
Καὶ μὴ θρασυνθῇς κατὰ τοῦ διδασκάλου·
Ὁρᾷς γὰρ αὐτῆς ἐν γραφαῖς τοὺς ἐργάτας
Κοινῆς τελευτῆς καὶ φθορᾶς ὑπερτέρους.

6. Περὶ μετανοίας[5].

Σκόπει μεταγνοὺς καὶ τὸ κυνῶδες πάθος,
* Μήπως ἅπερ πέφευγας ὡς βλάψαντά σε
Ὡς οὐκέτι βλάψαντα συλλέξεις[6] πάλιν·
Δεινὸν γάρ ἐσλιν εἰς ἀπόγνωσιν τρέχειν.

7. Περὶ μνήμης θανάτου.[7]

Τοῦ θανάτου, βέλτισλε, τὴν μνήμην φέρων
Καὶ τὸν δικασλὴν τῶν ἀποκρύφων σκόπει·
Πάντως γὰρ ἀπρόσκοπον[8] ἐξοίσεις βίον,
Τῆς σῆς τελευτῆς τὴν ἀπειλὴν προβλέπων.

[1] Serm. XXI in edd. Vid. infra 21.

[2] Cod. Par. LXVIII, 2.

[3] Demosth. *Pro Cor.* p. 314, 24 : Λαγὼ βίον ἔζης, δεδιὼς καὶ τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν ἐφ' οἷς σαυτῷ συνήδεις ἀδικοῦντι. Liban. *Ep.* LXXVIII, p. 251 : Καταφρονοῦντα μὲν τῶν πολλὰ κεκτημένων, λαγὼ δὲ βίον ζώντων.

[4] In edd. IV cum hoc lemmate : Περὶ μαρτυρίου τῆς ἀνδρείας ὑπακοῆς.

[5] Edd. Περὶ μετανοίας μεμεριμνημένης καὶ ἐναργοῦς, ἐν ᾗ καὶ περὶ τῆς θεαρέσλου φυλακῆς τῶν καταδίκων.

[6] Leg. συλλέξῃς.

[7] Conf. Stob. tit. CXXVI.

[8] Leg. ἀπρόσκοπον γάρ.

Ακαδημία Αθηνών / Academy of Athens

8. Περὶ πένθους [1].

Πένθει, ψυχὴ τάλαινα, καὶ χαῖρε πλέον
Αὐχοῦσα καλὰς εἰς τὸ μέλλον ἐλπίδας·
Γένοιτό σοι γὰρ ἀπὸ τῶν ἐναντίων
Τοῖς ὀσίοις ἴαμα τοῦ σοῦ λειψάνου.

9. Περὶ ἀοργησίας καὶ πραότητος [2].

Εἰ τῷ θεῷ, βέλτισε, δουλεύειν γλίχῃ,
Τήρησον ὀργῆς τὴν ψυχὴν ἐλευθέραν·
Εἰ γὰρ ἐπ' αὐτῇ τὰς προσευχὰς εἰσφέρεις,
Οὐχ ἱλαρυνεῖς [3] τὸν θυμὸν τοῦ δεσπότου.

10. Περὶ μνησικακίας.

Τὸ μνησικακεῖν πάθος ἀνθρώποις μέγα·
Καὶ γὰρ μεταξὺ δυσθεράπευτον [4] μένον
Τὸν δεσποτικὸν ὑποσαλεύει [5] θρόνον,
Οὗ ὡς ἔχεις, βέλτισε, τὴν λύμην φύγε.

11. Περὶ καταλαλιᾶς.

Σκοπῶν σεαυτὸν καὶ τὰ σαυτοῦ πρακτέα
Καταλαλιὰν τὴν ἀπάνθρωπον [6] μίσει·
Θεὸς γὰρ αὐτὸς, ἡ φιλάνθρωπος φύσις,
* Ὡς ἀκροατὴς δυσφορῶν πάρεσθί σοι.

[1] Edd. Περὶ τοῦ καθαρσίου πένθους.

[2] Edd. Περὶ ἀοργησίας ἡπίας.

[3] Cod. ἱλαρινῆς.

[4] Supra, CLV, A, 4 : Πάθος δυσθεράπευτον. Infra CCXIII, 400 : Τὸ γὰρ ἀνιῶν ἐντακέν μοι πρὸς βάθος Ἡ σὴ τελευτὴ δυσθεράπευτον κρίνει. Anon. cod. Par. 1087, fol. 190 r° : Γῆρας καὶ πενία δύο τραύματα δυσθεράπευτα. Cf. cod. Paris. 2322, fol. 28 v°.

[5] Aristænet. *Ep.* 1 : Αὐτὴν (Ζεφύρου πνοὴν) δέ πως ὑποσαλεύουσι τῶν Ἐρώτων αἱ αὖραι.

[6] Supra XXXV, 3.

12. Περὶ ϖολυλογίας[1].

Εἰ δρᾷ τὸ σιγᾶν ἀσφαλῆ σοι τὸν βίον;
Τῶν γοῦν ϖεριτλῶν οὐ ϖροτιμήσεις λόγων,
Καὶ ϖῶς ἐν αὐτοῖς ἐκκλινεῖς τοῖς ϖρακτέοις
Τὰς εὐθύνας, ἄνθρωπε, τῆς γλωσσαλγίας[2];

13. Περὶ ψεύδους.

Τὸ ψεῦδος ἀρχὴ τῶν κακῶν τῶν ἐν βίῳ·
Τὸ γὰρ ἀληθὲς τῶν καλῶν τοὐναντίον·
Ψυχὴ ταπεινὴ, φεῦγε γοργῶς τὸ σκότος,
Ὡς ἂν ἀπαθὴς ϖρὸς τὸ φῶς ἀναδράμῃς.

14. Περὶ ἀδικίας[3].

Πρόθυμος ὁ κλώψ· τί ῥᾳθυμεῖς, καρδία;
Σπούδαζε καὶ δέσποζε τῆς ἀκηδίας,
Μήπως ὁ λῃστὴς ὑποδὺς τὴν ἀργίαν
Τὸ ϖνευματικὸν ἁρπάσῃ κειμήλιον.

15. Περὶ τῆς ϖαμφάγου γαστρός[4].

Οἴδημα[5] γαστρὸς βλαπτικῶν ἔργων τόκος·
Ὁ γὰρ ἀφανὴς τῶν ϖαθῶν φυτοσπόρος
Ἀνδρίζεται μὲν τὴν τροφὴν ἐπεισφέρων[6],
Θεοῦ δὲ λιμὸν ϖροξενεῖ ϖαραυτίκα.

16. Περὶ ἀφθάρτου ἐν φθαρτοῖς.

Τὸν ἀγγελικὸν ἀσπασάμενος βίον

[1] Leg. Περὶ σιωπῆς ut in edd.

[2] Supra XCIX, 27 et Demophil. ed. Gale, p. 621.

[3] Leg. Περὶ ἀκηδίας.

[4] Edd. Περὶ γαστριμαργίας.

[5] Edidit Ideler, in *Phys. min.* I, p. 292.

[6] Edd. Περὶ ϖορνείας, ἐν ᾗ ϖερὶ ἁγνείας. Infra v. 3 pro διαπρέπων leg. διαπρέπεις.

Ακαδημία Αθηνών / Academy of Athens

Τήρει καθαρὸν τῶν ϖαθῶν τὸ σαρκίον·
Εἰ γὰρ ἐν αὐτῷ σωφρονῶν διαπρέπων
Κατὰ χάριν, ἄνθρωπε, καὶ Θεὸς γίνῃ.

17. Περὶ φιλαργυρίας.

Δεινόν τι σαφῶς ἡ φιλοχρηματία,
* Δι' ἧς μισητὸς ὁ ϖροδοὺς τὸν δεσπότην·
Παῦλος γὰρ αὐτὸς τὸ χρυσοῦν Χριστοῦ σῶμα
Εἰδωλολατρεῖν [1] τοὺς φιλαργύρους λέγει.

18. Περὶ ἀναισθησίας.

Ἄνθρωπε, νεκρὸς καὶ ϖρὸ τοῦ τέλους γίνου
Τὸν νοῦν Θανατῶν ϖρὸς τὰ τῆς ὕλης ϖάθη·
Δεῖ γάρ σε φυγεῖν τὰς ἀναισθήτους κρίσεις,
Ὡς ἂν φθορᾶς ἄγευστος ἐντεῦθεν μένῃς.

19. Περὶ ὕπνου [2].

Τὰς [3] εἰσαγωγὰς τοῦ μονοτρόπου βίου
Ἀγρυπνίᾳ [4] ῥύθμιζε καθεύδων μόλις·
Δεῖ γάρ σε φυγεῖν τὰς ὀνειρολεσχίας [5],
Μὴ γαργαλισθῇς [6] ὑπὸ φιλοσαρκίας [7].

[1] Ephes. V, 5 : Πλεονέκτης, ὅ ἐστιν εἰδωλολάτρης. Cf. cod. Esc. CLXXVI, 4. Theodor. Stud. p. 175 : Οὐδὲ ἐπαλινδρόμησεν εἰδωλολατρικῶς. Hoc adverbio carent lexica, quibus accedant alia cum voce εἴδωλον composita : Εἰδωλογραφία, Clemens Rom. cod. Par. 436, fol. 99 r° : Μὴ λέγε ταύτας σϖηλογραφίας· οὐδὲ γάρ εἰσιν, ἀλλ' ἀντικρυς εἰδωλογραφίαι. — Εἰδωλοθύτης, De S. Michaele ap. Boll. Sept. t. VIII, p. 43 : Οὐδεμία τοῖς εἰδωλοθύταις κατὰ τῶν Χριστιανῶν ἐδίδοτο ϖάροδος. — Εἰδωλόϖηκτος, De S. Demetrio ap. Boll. Oct. t. IV, p. 169 : Μὴ ἰσχύσῃ καθ' ἡμῶν τὸ εἰδωλόϖηκτον καὶ ἀθεμιτόγαμον καὶ ϖαράνομον ἔθος.

[2] Serm. XIX in edd. : Περὶ ψαλμῳδίας τῶν ἐν συνοδίαις.

[3] Edidit Ideler, t. I, p. 292.

[4] Idel. ἀγρυπνία. Cf. Boiss. *An. nov.* p. 316.

[5] Idel. ὀνεφολεσχίας (*sic*).

[6] Idel. μὴ γὰρ γαλισθῇς.

[7] Theodor. Stud. cod. Paris. 891, fol. 246 r° : Οἱ φιλοσαρκοῦντες τὴν φιλοσαρκίαν.

Ακαδημία Αθηνών / Academy of Athens

20. Περὶ ἀγρυπνίας[1].

Σύνοικον[2] αὐχῶν τὴν καλὴν ἀγρυπνίαν
Τοῖς ἀγγέλοις, ἄνθρωπε, συμψάλλεις τέως·
Εἰ δ' ὑπὸ τοῦ σκάμματος ἡ Φύσις κάμῃ,
Τῷ μετρίῳ τόνωσον αὐτὴν Φαρμάκῳ.

21. Περὶ τῆς ἀνάνδρου δειλίας[3].

Ἄνανδρον οὐ χρή τινα δειλίαν Φέρειν,
Ὅταν ὁ Σατὰν αὐθαδῶς ὡπλισμένος
Τῶν πνευματικῶν ὁπλιτῶν κατατρέχῃ·
Δεινὸν γὰρ αὐτῷ νῶτα γυμνὰ δεικνύειν.

22. Περὶ κενοδοξίας.

Εἰ νουνεχὴς εἶ, τὴν κενὴν δόξαν Φύγε,
Μήπως ὑπαχθῇς καὶ σΦαλῇς καὶ κομπάσῃς·
Ὁ γὰρ ἕλικτὸς καὶ τερατώδης δράκων
Ζητεῖ σε χανδὸν ἐκροΦῆσαι τὸν Φίλον.

23. Περὶ τῆς ἀκεΦάλου ὑπερηΦανίας[4].

* ΤῦΦον μισῶν ἄνθρωπος ὑπερηΦάνων
Τιμᾷ καθαρῶς τὸν Θεὸν καὶ δεσπότην,
Ὃς μέχρι παθῶν καὶ σαρκὸς[5] κατεσλάλη,
Νικῶν τὸν ἐχθρὸν ἀπὸ τῶν ἐναντίων.

24. Περὶ βλασΦημίας[6].

Ὅταν ἔχῃς ἔπαρσιν ὑπερηΦάνου,
Παντὸς λογισμοῦ Φεῦγε δυσΦήμου πλάνην·

[1] Edd. Περὶ διαΦορᾶς ἀγρυπνιῶν.
[2] Edidit Ideler apud quem Εὔνοικον pro Σύνοικον.
[3] Vide supra 4.
[4] Edd. Περὶ ὑπερη. ἐν ᾗ καὶ περὶ ἀκαθάρτων λογισμῶν τῆς βλασΦημίας.
[5] Leg. σαρκὸς καὶ παθῶν.
[6] Vid. supra 23 titulum ex edd.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ γὰρ πονηρὸς ἐξαπατᾷ σε κρύφα,
Βάσεις τιθεὶς τὰ κοῦφα τῶν βαρυτέρων.

25. Περὶ πραότητος καὶ ἁπλότητος [1].

Ἡ πραότης δίδωσιν ἁπλοῦν σοι τρόπον
Ἀκακίας δὲ καὶ πονηρίας μέσον·
Αὐτὸς δικασθὴς εὐσθοχώτατος [2] γίνου,
Τιμῶν τὸ καλὸν καὶ μισῶν τοὐναντίον.

26. Περὶ ταπεινοφροσύνης.

Φρονῶν ταπεινὰ γειτνιᾷς τῷ δεσπότῃ·
Τῷ γὰρ πονηρῷ τὴν ἐναντίαν τρέχεις.
Αἰσθήσεως δ' οὖν εὐπορῶν ἀποκρύφου
Τὰ τῆς ὕλης αἴσχιστα ἐκτρέπου πάθη.

27. Περὶ διακρίσεως λογισμῶν [3].

Πασῶν λογισμῶν ἀρετῶν ἔστω κρίσις,
Ἐν αἷς ὁ καλὸς εὐπραγεῖ ζυγοστάτης·
Οὐ γὰρ θεμιτὸν τοῖς στατῆρσι τοῖς νόθοις
Χρυσοῦ καθαρὰν ἐκλογὴν συνεισφέρειν [4].

28. Περὶ διακρίσεως εὐδιακρίτου [5].

Διάκρισιν μὲν εὐδιάκριτον φίλει,
Χωρὶς τὰ καλὰ καὶ τὰ φαῦλα δεικνύων·
Διάκρισιν δὲ τὴν ἐναντίαν μίσει,
Τῆς ἀρετῆς, ἄνθρωπε, τιμῶν τοὺς νόμους.

[1] Edd. Περὶ ἁπλότητος καὶ πραότητος, καὶ ἀκακίας καὶ πονηρίας.

[2] Conf. supra 1, 171.

[3] Edd. Περὶ διακρίσεως, ἐν ᾗ εὑρήσεις πλοῦτον. Pro Πασῶν λογισμῶν ἀρ. leg. Πασ. λογισμὸς ἀρ.

[4] Cod. Esc. CLVI, 2 : Καὶ τῇ λογικῇ πρακτικὴν συνεισφέρων. Epictet. *Dissert.* 1, 2, 28 : Οὕτως ἰσχυρὸν παρὰ τοῖς εἰθισμένοις αὐτὸ συνεισφέρειν ἐξ αὐτῶν ἐν ταῖς σκέψεσιν. Add. Euseb. *Eclog. Prophet.* ed. Gaisford, p. 55, et Nicephor. Call. *Hist.* t. II, p. 49.

[5] Fort. de eodem sermone ac præced.

Ακαδημία Αθηνών / Academy of Athens

29. Περὶ τῆς ἱερᾶς σώματος καὶ ψυχῆς ἡσυχίας[1].

Ἡσυχίας, βέλτισ|ε, δι|τ|ῆς ἀντέχου
Τῷ δημιουργῷ ϖροσλαλῶν μόνος μόνῳ·
* 115 Καὶ σώματος δὲ καὶ ψυχῆς Φροντισ|έου[2],
Ἐπείπερ ἀμφοῖν συντεθεὶς ἀνεκράθης.

30. Περὶ τῆς μακαρίας ϖροσευχῆς[3].

Τὰς ἀρετὰς, ἄνθρωπε, συλλήβδην ϖάσας
Τίκτει ϖροσευχὴ τῇ σπορᾷ τῶν ϖρακτέων·
Παρίσ|αται δὲ τῷ Θεῷ τὸ σαρκίον,
120 Ἐπὰν δι' αὐτῆς τὴν ψυχὴν καθαγνίσῃς.

31. Περὶ ἀπαθείας.

Ὅταν ἀπαθὴς ἐντελὴς ἀνὴρ γίνῃ,
Σαφῶς ἀνισ|ᾷς τὴν ψυχὴν τεθαμμένην·
Ζητεῖ γὰρ ἐλθεῖν εἰς τὸ Φῶς τῶν ἀγγέλων
Ἀφεῖσα τὸν χοῦν[4] τῶν ϖαθῶν καὶ τὸν ζόφον.

32. Περὶ ϖίσ|εως, ἐλπίδος καὶ ἀγάπης[5].

125 Σύνδεσμος ἁπλῶς ϖίσ|ις ἐλπὶς ἀγάπη
Τῶν ἀρετῶν, βέλτισ|ε, ϖασῶν ἐνθάδε·
Τὸ τρίπλοκον[6] δὲ τοῦτο μικρὸν σπαρτίον
Οὐδ' ὁ χρόνος ῥήγνυσιν ἀσχέτως ῥέων.

[1] Edd. Περὶ ἡσυχίας καὶ ἀναχωρήσεως· ἐν ᾗ ϖερὶ τηρήσεως νοῦ, ἐν ᾗ ϖερὶ διαΦόρων ἡσυχίας τρόπων.

[2] Supra CXCVIII, 70 : Λόγων ἱκανῶς τῶν σοΦῶν Φροντισ|έου.

[3] Edd. Περὶ ϖροσευχῆς ἀύλου, ἐν ᾗ ϖερὶ ὑπομονῆς.

[4] Cf. supra CXXX, 23.

[5] Edd. Περὶ ἀγάπης· ἐν ᾗ καὶ ϖερὶ ἐλπίδος καὶ ϖισ|εως, καὶ λαμπρότητος, καὶ Θεολογίας ϖοσῶς.

[6] Eustath. *Opusc.* p. 229, 16 : Σχοινίον ἁμαρτίας τοῦτο τρίπλοκον εἰς ἀγχόνην σΦίσιν αὐτοῖς ἐπιπλέξαντες. Id.

Ακαδημία Αθηνών / Academy of Athens

33. Εἰς τὴν ἄνοδον τῆς ἱερᾶς κλίμακος.

Ἰδοὺ κλίμαξ, ἄνθρωπε, καὶ βαῖνε πρόσω,
Καὶ γῆθεν ἀρθεὶς μὴ σταφῇς βλέψαι μάτην,
Ἐπεί σε Χριστὸς ὁ βραβεὺς τῶν βαθμίδων
Καλεῖ δι' αὐτοῦ καὶ προτείνει τὰ στέφη.

CCXII. Εἰς τὸν ποιμένα.

Διεξαγωγεῦ[1] τοῦ λογικοῦ ποιμνίου,
Τὴν πνευματικὴν μὴ παραδράμῃς χλόην·
Ὕδωρ γὰρ ἂν ἥδιστον εὑρεῖν ἰσχύσαις,
Ὃ γνωστικαὶ βλύζουσιν ἠρέμα φλέβες.

CCXIII. Τοῦ[2] σοφωτάτου καὶ λογιωτάτου κυρ. Μανουὴλ Φιλῆ[3] μονῳδία ἐπὶ τῷ δεσπότῃ κυρ. Ἰωάννῃ τῷ Παλαιολόγῳ, ἐν ᾗ ἐπιφέρει καὶ πρόσωπα τάδε τοῦ[4] δράματος. Πρόσωπα εἰσὶ ταῦτα· Βασιλεὺς[5], Δέσποινα, Βασιλεὺς, Βασίλισσα, Βασιλεὺς, Θεράπων[6].

* Προλογίζει Θεράπων[7].

Ὦ φῶς σοθεινὸν καὶ ψυχή μοι δευτέρα,
Καὶ φαιδρότης ἄῤῥητε, σοῦ γῆς ἐκρύβης,
Ὦ δέσποτα ζῶν καὶ παρὼν ἄλλον τρόπον;

p. 126, 44 : Οὐκοῦν ὡς οἷα τριπλόκῳ τούτῳ σχοινίῳ ἀγχόμενος, βιάζομαι σιγᾶν. German. Cpol. cod. Coisl. 278, fol. 180 v° : Εὔλογον κρίνει τῷ τριπλ. φραγγελίῳ τῆς μετανοίας. Jo. Staurac-cius, *In S. Demetrium*, cod. Coisl. 146, fol. 83 v° : Ἡ τρίπλοκος μαρτυρικὴ σφενδόνη Χριστοῦ. Cf. Eccl. IV, 12.

[1] Cod. Par. LVI, 97 : Διεξαγωγεῦ καὶ τροφεῦ καὶ προστάτα.

[2] Cod. M. fol. 107. Edidit Dr Stark in *Archiv f. Phil. u. Pædag.* Bd. XIV, p. 444 et sqq.

[3] Cod. M. τοῦ Φιλῆ sine μονῳδία.

[4] Cod. M. omittit τοῦ δρ. πρ. εἰσὶ ταῦτα.

[5] In cod. Mon. n° 201, *Catal.* t. II, p. 337 : Βασιλεὺς ὁ πατήρ· δέσποινα ἡ μήτηρ· βασιλεὺς ὁ ἀδελφός. Et mox ψυχή μου pro ψυχή μοι.

[6] Titul. in al. cod. suppl. Florent. fol. 35 r° :
Φιλῆς Μανουὴλ δεσπότην Ἰωάννην
Θανόντα πενθεῖ τεχνικαῖς εὐρυθμίαις.
Προλογίζει Θεράπων.

[7] Deest in cod. Flor.

Ακαδημία Αθηνών / Academy of Athens

Ἔτι γὰρ οὐκ ἔχω σε κατ' ὄψιν βλέπειν.
Τί δὴ σιωπᾷς καὶ λαθεῖν ἴσως θέλεις;
Τίς, εἰπέ μοι, θάλαμος εὐτύχηκέ σε[1];
Τίς ἀκροατὴς[2], εἰ λαλεῖς, πάρεσθί σοι;
Τίς οἰκέτης ἄγοντι ῥᾳσθώνης χρόνον[3];
Τίνας παραμένοντας ἐκτήσω φίλους;
Φύλαξ[4] δέ σοι τίς, εἴ γε καθεύδειν θέλοις[5];
Ἀλλ' εἰ μὲν ἐμπνεῖς, ἵνα τί μέλλεις[6] πλέον;
Ἴθι πρὸς ἡμᾶς ὁ[7] δρομεὺς θᾶττον γίγας·
Κεχήναμεν γὰρ εἰς τὸ σὸν πάντες μέλι[8],
Τῆς ἀρετῆς τὸ σίμβλον[9] εἰ[10] παρὼν δίδως·
Εἰ δ' ὡς λόγος τέθνηκας (ὢ καὶ πῶς φέρω[11]!)
Καὶ γῆς ἀπ' αὐτῆς ἁρπαγεὶς ὑπ' ἀγγέλου
Τὴν ἐσχάτην ἔλαθες ἀνύσας τρίβον,
Ἐχρῆν μὲν ἡμᾶς μηδὲ φῶς ἔτι βλέπειν,
Μηδὲ πλέκειν ἔμμετρον εἰς θρήνους μέλος·
Ἐπεὶ δέ σε θρηνοῦσι μικροῦ καὶ λίθοι,
(Τοῖς γὰρ λίθοις τρίπηχυν ἡρμόσω τάφον,)
* Ἡμῖν δὲ τοῦ πνεῖν καὶ λαλεῖν μέτεσθί τι,
Ὅπη ποτ' εἶ[12] νῦν ἀκροῶ μοι τῶν λόγων·
Καὶ ζῶν γὰρ ἡμᾶς εἰς τιμὴν[13] ἦγες φίλων,
Καὶ πολλάκις ἔνυτλες εἰς μέτρον γράφειν
Ὁ πάντα ῥυθμὸν ἠθικῆς ὥρας χέων[14],

[1] Cod. Flor. *εὐτύχηκέ σοι.*
[2] *ἀκροᾶται* cod. Flor.
[3] Cod. Flor. *χρόνου.*
[4] *Φύλαξίς σοι* St.
[5] Cod. Flor. omittit *θέλοις.*
[6] Cod. Flor. *μέλλῃς. Ἵνα τί*, id est quare.
[7] Fort. *ὡς* pro *ὁ.*
[8] *μέλον* St.
[9] Cf. cod. Par. CCXXI, 10.
[10] Cod. suppl. *οὐ* pro *εἰ.*
[11] *Φορά* St.
[12] Cod. suppl. *ᾗ* pro *εἶ.*
[13] *τιμάς* St.
[14] *χέας* St. Cod. Esc. CXI, 4 : *Τὸν σοφὸν φθόγγον χέῃ.*

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ μέτρα συνθεὶς τῇ ϖλοκῇ τῶν ϖρακτέων·
Πάντως δέ τις αἴσθησις ἐντέτηκέ σοι,
Καὶ ζῇς[1] μετασλὰς κἂν φθαρῇ τὸ σαρκίον.
Ὢ ϖῶς τὸ λυποῦν τὴν βοὴν εἴργει τρέχειν
Πικρῶς κατασχὸν[2] τῆς ϖνοῆς μοι τοὺς ϖόρους[3]!
Τί γὰρ τὸ Φιλότιμον εἰς λόγου[4] Φράσιν,
Ὅταν τὸ Θερμὸν συσλαλῇ τῇ καρδίᾳ,
Καὶ τοὺς ἀγωγοὺς τῶν Φλεβῶν ἐξικμάσῃ,
Καὶ ϖνεῦμα ϖυκνὸν[5] ἐκδραμὸν τῶν ἐγκάτων[6]
Παγῇ ϖρὸς ἀτμὸν καὶ κρυμὸν σλεναγμάτων[7];
Ὦ Θαῦμα κοινὸν, ὦ χάρις, ὦ δέσποτα!
Οὐρανὲ, συσλάληθι ϖενθῶν τὸν μέγαν.
Ἰδοὺ γὰρ αὐτὸς νεκρικῶς[8] ὑπεσλάλη,
Καὶ σπαργανωθεὶς[9] τῆς Φθορᾶς τοῖς ἀμΦίοις
Κεῖται καθεύδων τῷ νόμῳ τῆς Φύσεως.
Βροντῆς μὲν οὖν Θόρυβον οὐκ ἂν εἰσΦέροις·
Εἰκὸς γὰρ αὐτὸν δυσΦορῆσαι τῷ κτύπῳ
Πρὸ τῆς Θεοῦ σάλπιγγος ἐξυπνισμένον·
ΝεΦῶν δὲ ϖυκνῶν συνδρομὴν ἡρμοσμένην,
* Ἣν ϖνευμάτων κλώθουσα κερκὶς ἐξάγει[10],
Ἐνημμένος Φάνηθι χιτῶνος δίκην,
Ὡς ἂν τὸ βαθὺ τῆς βαΦῆς ταύτης μέλαν[11]

[1] Cod. suppl. *καὶ ζῆς ζῆς* (*sic*).

[2] Codd. Flor. *κατασχών*. Vid. supra CCII, 2.

[3] Hunc versum omittit cod. suppl.

[4] *λόγων* St.

[5] *ϖικρὸν ἐκδράμῃ* omisso sequ. v. cod. Mon.

[6] *ἀγκάτων* St. qui in notis : Scribe *ἐγκ*. Mox cod. suppl. *κρυμνόν*.

[7] Cod. Fl. *σλεγνωμάτων* (*sic*).

[8] Cf. cod. Esc. XXVI, 41.

[9] Cod. Flor. *σπαργάνῳ Θείς*.

[10] Cod. Flor. Ἣ *ϖνευμάτων κλώθουσαν κερκὶς ἐξάγη*. Nota metaph. Theod. Hyrtac. *Not. des Mss.* t. V, p. 728 : *Καὶ δῆτα τὴν ἐσθῆτα σὺ μὲν κερκίσι λόγων ἐξύΦαινες*. Cf. cod. Par. XLVIII, 8.

[11] *μέλειν* St.

Ακαδημία Αθηνών / Academy of Athens

Ὁρῶν τὸ κοινὸν ϖανταχοῦ γῆς δακρύῃ[1].
Ἦ τάχα καὶ σὺ τὰ ϖροσήκοντα δράσεις,
Ὄμβρους χέας ἄνωθεν ἀντὶ δακρύων.
Ἥλιε, Φῶς ἄῤῥητον εἰς γῆν ἐκρύβη[2].
Τῷ γὰρ ἀτερπεῖ[3] συσκιάζεται γνόφῳ·
Καὶ σὺ Θεωρῶν δυσπραγοῦσαν τὴν κτίσιν
Τὸ Φαιδρὸν οὐκ ἤμειψας, ἀλλ' ἔτι ζέεις.
Καὶ μὴν ϖαλαιὰν εὐτυχῶν ϖανδορκίαν[4],
Οὔπω τοσοῦτο κάλλος ἰδὼν εὑρέθης
Εἰς σάρκα ῥευσλὴν συντεθεῖσαν ὀσλέοις[5].
Ὦ[6] κῶνε[7] τῆς γῆς ϖανδοχεῦ[8] τῶν ἐν μέσῳ,
Γασλὴρ κρεμασλὴ τῆς γονῆς[9] τῶν ϖραγμάτων
(Ὁρμᾷ γὰρ εἰς σὲ ϖᾶν τὸ τοῦ λόγου βάρος),
Τί μὴ σεαυτὴν δυσϖαθοῦσαν[10] ῥηγνύεις;
Ποθῶ γὰρ ἰδεῖν ἐκ ταφῆς καὶ λειψάνων
Ἀναῤῥαγέντα ϖάλιν εἰς Φῶς τὸν μέγαν,
Μῆτερ[11] σαφῶς εὔτεκνε καὶ ϖαιδοκτόνε[12].
Πλὴν ἀλλὰ σὺ μὲν εὐτυχεῖς καὶ δευτέρως
Δείξασα καὶ κρύψασα τὴν ξένην Φύσιν,
Ὡς ἀσλραπῆς ἔλλαμψιν ἢ[13] βροντῆς κτύπον.
Καὶ νῦν ἔχεις τὸν ὄλβον εἰς[14] τοὺς ϖυθμένας,
Τοῖς ἀποδέσμοις τῆς Φθορᾶς καθειργμένον·
Ἡμῖν δὲ λοιπὸν δυσλυχὴς ὁ ϖᾶς βίος

[1] Cod. Flor. δακρύει. Cod. Mon. δακρύειν.
[2] Cod. Flor. ἐκρύβης.
[3] αὐτός ϖου St. pro ἀτερπεῖ.
[4] Hac voce carent lexica.
[5] ὀσλέος St. qui in notis : ὀσλέον cod. Mon.; ὀσλέων scribendum sit.
[6] Ὦ deest in cod. suppl.
[7] Fort. κοινέ. Addidi ἐν.
[8] ϖεπηγμένε cod. Mon.
[9] Cod. suppl. τοῖς γονεῖς.
[10] St. τί μή σε αὐτὴν δυσπαθοῦσα.
[11] Cod. Flor. μήτηρ.
[12] Cod. Esc. XCVI, 3.
[13] Cod. Fl. et St. καί pro ἤ.
[14] εἰς deest in cod. suppl.

Ακαδημία Αθηνών / Academy of Athens

Τῆς τοῦ γένους χάριτος ἐσλερημένοις [1].
Φθονήσασα γὰρ τοῖς βιοῦσι τῆς τύχης
Ἀναλυτικῶς εἰσδέχῃ [2] τὸν Φίλτατον.
Ἆρ' οὐχὶ [3] καὶ Θάλασσα ϖενθήσει τάχα
Θρηνῳδίαν [4] ἄκομψον ἁρμοσαμένη
Τῇ [5] συντόνῳ σύριγγι τῆς ἔνδον ζάλης,
Ἂν εἰς ϖνιγηρὸν καὶ σλενὸν τάφου σλόμα,
Χαρισμάτων ἄβυσσε, ϖικρῶς ἐῤῥύης;
Ποῦ [6] καὶ τὸ Φιλόμουσον [7] ὀρνίθων γένος;
Κἀκεῖνο δὴ δεῖ [8] συνδραμὸν τοῖς ἀψύχοις
Ὠδὰς λιγυρὰς ὀργανοῦν τῷ δεσπότῃ·
Καὶ [9] γὰρ λογικῆς μουσικῆς ἦν ἐργάτης
Νικῶν ἀτεχνῶς [10] τὸν σοφὸν ϖρὶν Ὀρφέα
Τοῖς ἐμφύτοις κρούμασι [11] τῆς εὐγλωτλίας,
Ἢ μᾶλλον αὐτὸς [12] μουσικὴν εἶχε ϖλάσιν [13]
Ἐκ τῆς ϖερὶ τὴν Φύσιν εὐαρμοσλίας·
Θραυσθεὶς δὲ γοργῶς ἐξελύθη τὸν τόνον [14],
Καὶ νῦν σιωπᾷ τῶν μελῶν κεκλασμένων [15],
Καὶ τῆς καλῆς μαγάδος ἐμπεφραγμένης.
Τῆς γὰρ ὑπάτης ἐκραγείσης καρδίας [16]
Ἀμήχανον ζῆν καὶ λαλεῖν τὸ σαρκίον,

[1] Cod. Flor. *ἐσλερημένης*. St. *ἐσλερημένος*. In notis : *ἐσλερημένοις* melius cod. Mon.

[2] Cod. suppl. *εἰσδέχει*.

[3] *ῥ' οὐχί* cod. suppl.

[4] Cod. Flor. *Θρηνῳδίας*.

[5] St. *σῇ συντόνῳ*.

[6] Cod. suppl. *οὐ* pro *ϖοῦ*.

[7] Cod. suppl. *Φιλότιμον*. Cf. supra CVI A, 17.

[8] Cod. Flor. omittit *δεῖ*.

[9] St. *ἐπεὶ* cod. Mon.

[10] Cod. suppl. *εὐτεχνῶς*.

[11] Cod. Flor. *κρούσμασι*. Infra v. 95 *τὸ κροῦμα*.

[12] Codd. Flor. *αὐτόν*.

[13] Cod. suppl. *ϖάσιν*.

[14] *νόμον* cod. suppl.

[15] Cod. suppl. *κεκλεισμένων*. Alter voluit *κεκληισμένων*.

[16] V. 90 et 91 desunt in codd. meis. Ex St. supplevi.

Ακαδημία Αθηνών / Academy of Athens

Ὦ [1] τάχα νευρὰ καὶ γλυφὶς [2] ἦν τὸ σἰόμα.
Πλὴν ἀλλὰ κἀμοὶ δυσἰυχῶς ὑποῤῥέει
Τὸ φθέγμα καὶ τὸ κροῦμα [3] καὶ τὸ σύντονον·
* Οὐ γὰρ Θεμιτὸν, εἰ σιγᾷς, ὦ δέσποτα,
Κομψῶς ϖαρ' ἡμῖν ὀργανοῦσθαι τὸν λόγον
Τοῖς ζῶσι νεκροῖς καὶ ϖνοῆς ἀλλοτρίοις [4].
Ἁπλῶς δὲ τίς οὕτω σε Θερμῶς δακρύσει,
Τῆς Φύσεως τὸ Θαῦμα τῆς ἀνθρωπίνης,
Ὡς ἐκραγῆναι τῇ ϖυρᾷ καὶ τὸν λίθον,
Ὃς Φεῦ κατασχὼν ὑπὸ γῆν ἔκρυψέ σε;
Ἢ τῇ κατὰ χείμαῤῥον [5] ἀσχέτῳ ῥύμῃ
Τῆς ἐκ σἰεναγμῶν δαψιλοῦς ἐπομβρίας
Τὸ τῆς τελευτῆς ἐκλυθῆναι Θριγγίον,
Ὡς ἂν ϖιανθῇ τῇ ῥοῇ [6] τὸ σαρκίον
Τοῖς [7] τοῦ ϖνίγους ἄνθραξιν ἐξικμασμένον,
Καὶ καθάπερ χλόη τις ἀνθήσῃ [8] ϖάλιν,
Ἀναψυχούσης τῆς ϖρὸς ὄρθρον ἱκμάδος;
Ἀλλ' ὦ ϖόποι [9], τί τοῦτο; Φεῦ τοῦ νῦν ϖάθους!
Ὁ κείμενος γὰρ οὐ ϖροσέσχε τοῖς λόγοις,
Μὴ γοῦν ϖρὸς ὀργὴν ἐκτραπεὶς ἀπεσἰράφη;
Καὶ ϖοῦ Θεμιτὸν εἰς Φιλάνθρωπον Φύσιν [10];

Βασιλεύς [11]. Ἐχρῆν μὲν ἡμᾶς μηδαμῶς σε δακρύειν
Ἐξ ἑσπέρας ἄντικρυς εἰς Φῶς ἠγμένον [12],

[1] St. ᾦ ταχα. In not.: ᾧ scribendum.
[2] Cod. Flor. γλυφῆς.
[3] τὸ κρ. καὶ τὸ φθ. cod. Mon. Conf. supra not. ad v. 85.
[4] Cod. Flor. ἀλλοτρίας, et supra ex correctione ἀλλοτρίοις.
[5] Cod. Flor. χείμαρον.
[6] St. τῇ ῥυῇ.
[7] Cod. suppl. ταῖς. Cod. Flor. Ταῖς τοῦ — ἐξεικασμένον.
[8] Cod. Flor. ἀνθήσει.
[9] St. ὤποποι.
[10] Ad marg. cod. suppl. σἰίχοι ριγ', id est 113.
[11] Cod. suppl. et St. Ὁ ϖατὴρ βασ.
[12] Cod. suppl. εἰργμένον.

Καὶ [1] ζῶντα καλῶς καὶ θεῷ συνημμένον·
Ἐπεὶ δὲ πενθεῖν ἐκδιάζεις τὴν Φύσιν,
Ἁρμόζομαι δὴ πατρικῶν θρήνων μέλος,
Ὦ σκύμνε καὶ παῖ καὶ νεοτλὲ δέσποτα·
* Πλὴν οὐκ ἐπαινῶ τοὺς κενοὺς Φυτοσπόρους,
Οἳ τοὺς τάφους ὁρῶσι καὶ τὰς εἰκόνας [2],
Καὶ τὰς ἐφεξῆς ἀγνοοῦντες [3] ἐλπίδας,
Ἐπιβοῶνται δυσπαθῶς τοὺς φιλτάτους,
Ὡς οὐκέτι βλέψοντες [4] αὐτοὺς ἐκ τάφων.
Οἶδα γὰρ ὢν ἄνθρωπος ἔμψυχος Φύσις,
Θνητὸς πεπηγὼς ἐκ γονῆς πρωτοσπόρου,
Υἱός τε ῥευστῶν καὶ πατὴρ θανουμένων,
Εἰκὼν [5] θεοῦ καὶ πλάσμα καὶ σκεῦος Λόγου
Πηλῷ φυραθὲν [6] καὶ φθορᾷ πολυτρόπῳ,
Εἰ καὶ βασιλεὺς Αὐσονάρχης εὑρέθην [7],
Καὶ πείθομαι ζῆν τὴν ψυχὴν τοῦ φιλτάτου
Πρὸς τὴν ξένην ἔγερσιν ἡτοιμασμένου [8].
Ἀλλ' ὦ χάρις τέθνηκας, ὦ τίνος χάριν
(Ἐρήσομαι γὰρ κἂν σιγᾷς τεθαμμένος)
Εἰς γῆν ἀγαθὴν ὑπ' ἐμοὶ [9] πρὶν [10] ἐσπάρης;
Καὶ γὰρ γεωργὸς ἐκ θεοῦ σὸς ἐκρίθην,
Σὺ δὲ προελθὼν εἰς χλοάζοντα στάχυν,
Ὁ κόκκος ὁ ζῶν εἰς βασίλειον δρόσον,
Ἄωρος εὐθὺς φεῦ θερισθεὶς ἐφθάρης·

[1] Hic versus deest in St. qui in notis indicat ex cod. Mon. ubi μᾶλλον pro καλῶς. Mox v. 118 pro ἁρμόζομαι fort. leg. ἁρμόζομεν.

[2] Hic versus deest in cod. suppl.

[3] Cod. Flor. ἀγνοοῦντας.

[4] Cod. Flor. et St. βλέψοντας.

[5] Hunc v. non habet St.

[6] St. φορευθεὶς καὶ φθορᾷ παλυτρόπῳ (sic).

[7] Cod. Flor. εὑρέθη.

[8] Cod. Flor. ἡτοιμασμένον.

[9] Fort. ὑπ' ἐμοῦ.

[10] St. ex cod. Mon. πρὶν supplet.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ νῦν σε ϖικρῶς ἐνσπαρέντα τοῖς[1] λίθοις
Ἡ τῆς τελευτῆς δυσλυχῶς[2] αὖλαξ[3] φέρει·
Πλὴν[4] ἔσλιν, ὦ ϖαῖ, τῷ Θεῷ ζῶσα δρόσος,
Ὑφ' ἧς λιπανθεὶς εὐσλαθὴς[5] ἔσῃ σλάχυς,
* Ὡς ἂν ὁ καρπὸς[6] ἐντεθῇ τῶν ϖρακτέων[7]
Τῷ μυσλικῷ σιτῶνι τῆς σωτηρίας.
Ἐγὼ φυτουργὸς, ἀλλὰ σύ μοι δενδρίον·
Ἐν Θάλπεσι δὲ καὶ κρυμοῖς τεθραμμένον·
Ἀ[8] τοῦ χρόνου δίδωσιν ὁ δρόμος[9] ῥέων,
Ὅταν ὁ καρπὸς[10] τῶν καλῶν ὑπεκβράσας[11]
Ἥδισλον ἐκ τῆς ὥρας ἀνέδειξέ σε,
Φεῦ καθάπερ σύκινον ἐτμήθης ξύλον,
Ἄκαρπον ἔσλως καὶ καταργοῦν τὸν τόπον·
Ὢ τῆς ἀφειδῶς ἐκτεμούσης[12] ἀξίνης
Δένδρον κομῶν τοσοῦτον! ὢ ϖικρᾶς τύχης!
Ὢ τίς μαρασμὸς τῶν μελῶν σου τοὺς κλάδους
Ἐν γῇ κατασχὼν ὑποτήκει τὴν δρόσον!
Πῶς καὶ τὸ φύλλον τῆς χρυσῆς ὄντως κόμης
Ἐκρεῖ σλερηθὲν τῆς χλιδῆς τῆς ἐμφύτου!
Πλὴν οὐχὶ ϖυρὸς ἀλλ' Ἐδὲμ σύ μοι[13] ξύλον
Μεταφυτευθὲν[14] εἰς τρυφῆς διεξόδους·
Οὐ γὰρ ἐγεύσω τοῦ ξύλου[15] τῆς βρώσεως,

[1] *τοῖς* deest in cod. suppl.

[2] Cod. suppl. *δυσλυχών*.

[3] Cf. cod. Par. CXLIX, 18.

[4] Vs. 142-145 translati in cod. Mon. post v. 156.

[5] St. *εὐπαθὴς — ἔσλη*.

[6] Cf. cod. Flor. XLIV, 52.

[7] Conf. supra I, 73.

[8] Conf. supra CXXXIV, 6.

[9] Codd. Flor. *ὁ χρόνος*.

[10] Cod. Esc. CLXXXIV, 2 : *Καρπὸν εὐπέπαντον ἀρετῶν*.

[11] St. *ὑπεμβράσας*. Cod. suppl. *ὑπερεκβάσεις*. Cod. Paris. LV, 38 : *Ὅταν ὁ Θυμὸς τῆς ψυχῆς ὑπεκβράσῃ*. Quæ vox addenda lexicis.

[12] St. *ἐκτενούσης*.

[13] St. *σύμος*.

[14] St. *μὴ ἀφυτευθέν*.

[15] Genes. I, 29.

Οὐδ' ἐξελύθης τῇ νόσῳ τῆς Φύσεως,
Ἄσαρκε μικροῦ καὶ παθῶν ὑπέρτερε,
Πρὶν ἐκρυῆναι τὴν δρόσον τοῦ σώματος.
Ὢ τίς τὸ σεμνὸν [1] τῆς ἐμῆς βλάσλης ῥόδον
Τέμνει πρὸ καιροῦ συμφορᾷ τεθηγμένῃ [2];
Πλὴν ἐκπιεσθὲν μυσλικὸν μύρον χέεις,
Ἐμοὶ δὲ τὸ ζῆν εὐμαρῶς [3] ἀναψύχεις,
* Ἔαρ τεθηλὸς ἐμβαλὼν [4] ταῖς ἐλπίσιν,
Ἐν ᾧ περιλαλοῦσι τὸν παντεργάτην [5]
Χελιδόνες [6] φανέντες ἐξ ἐρημίας,
Ὅσοι λυθέντες τοῦ κρυμοῦ καὶ τοῦ γνόφου,
Καὶ τῆς ῥυπαρᾶς ἡδονῆς τοῦ σαρκίου,
Φαιδρᾶς ὑπὲρ γῆν εὐποροῦσιν αἰθρίας.
Τίς [7] βασιλικῆς βότρυν ἄβρὸν [8] ἀμπέλου
Τρυγᾷ θρασυνθεὶς ὀμφακίζοντα βλέπειν [9];
Πλὴν καὶ τρυγηθεὶς καὶ θλιβεὶς οὐκ ἐῤῥύης [10].
Ὁ γὰρ νοητὸς ἀμπελών σε λαμβάνει,
Καὶ ζῇς ἐν αὐτῷ μὴ πλοούμενος τρύγην,
Ὡς ὑπὲρ ἡμᾶς ἐκταθεὶς καὶ περκάσας,
Ὦ βότρυ καὶ ῥὰξ καὶ σταφὶς τετηγμένη [11]!
Οἴμοι τί τοῦτο καὶ πάλιν ἐρήσομαι;
Πῶς ἐκρυεισῶν τῶν φλεβῶν τοῦ σαρκίου
Κεῖται μαρανθεὶς ὑπὸ γῆν ὁ δεσπότης;
Ἰδοὺ γὰρ αὐτὸν ὡς ἔχει φαντάζομαι
Τὸν νοῦν περισπῶν τῇ σορῷ τῶν λειψάνων.

[1] Cod. Mon. φαιδρός.
[2] Codd. τεθιγμένη.
[3] ἀναρῶς St. qui εὐμαρῶς ex cod. M. recipit.
[4] Cod. Flor. et St. ἐμβαλόν.
[5] Cf. cod. Par. CLXXII, 22.
[6] St. χελιδόνος φανέντος.
[7] Cod. Flor. τῆς pro τίς.
[8] St. ἁδρόν.
[9] St. βλέπων.
[10] Cod. Flor. ἐῤῥύεις.
[11] Codd. Flor. τεθηγμένη.

Ακαδημία Αθηνών / Academy of Athens

Ποῦ μοι τὸ κάλλος τοῦ ϖροσώπου τὸ ξένον,
Ὃ σεμνότης[1] ἔγραψε σὺν εὐεξίᾳ;
Ποῦ μοι τὸ σεμνὸν[2] τῆς χλιδῆς τῶν ὀμμάτων,
Ὃ τὴν Ἀερμὼν[3] ἐξενίκησε δρόσον;
Εἰ γὰρ[4] τὸ σῶφρον εἶχε Θαυμάσας μόνον
Κάλλος γυναικὸς μὴ σκοπῶν ἀλλοτρίας,
Ὁ δεσπότης ἐκεῖνος, ἡ ξένη Φύσις[5],
* Καὶ ϖαιδαγωγὸς τῆς ῥιπῆς ἦν ἐκ βρέφους
Θυμοῦ καθαρὸν[6] εὐτυχήσας τὸ βλέπειν,
Ποῦ δὴ Θεμιτὸν ἐμψυγείσας τὰς κόρας
Εἰς λάκκον[7] ὀργῆς ἐκρυῆναι καὶ γνόφον;
Ὦ ῥὶς ἀγαθὴ καὶ Φθορᾶς ὑπερτέρα
Πρὸς τὴν ϖεριτλὴν τῆς τρυφῆς εὐοσμίαν!
Τοὺς γὰρ μυρεψοὺς τῶν ϖαθῶν ἀπεσλράφης
Ἐκ τῶν ϖρὸς ἁβρότητα καὶ Θρύψιν[8] μύρων,
Μὴ μαλακισθῇ τὴν ψυχὴν ὁ γεννάδας.
Πῶς σοι τὸ χόνδρον ἐκπεσὸν[9] τῶν ὀσλέων
Οἰχήσεται νῦν τῇ νομῇ τῆς σαπρίας;
Ποῦ δῆτα[10] ϖαιδὸς ἀσΦαλεῖς ὤτων ϖλύχες;
Ὁ νοῦς γὰρ ὑμῖν ἀκριϐῶς ἐπεσλάτει[11],
Τοὺς ψιθυρισμοὺς ἐξορίζων ὡς νόθους,
Τοῖς ῥήμασι δὲ τῆς γραΦῆς τῆς ἐνθέου
Τὰς εἰσαγωγὰς εὐτρεπεῖς καθισλάνων.
Οἴμοι Φραγεῖσαι κεῖσθε[12]· Φεῦ καὶ τί δράσω;

[1] Cod. suppl. *σεμνότερον*.
[2] *Φαιδρὸν* cod. Mon.
[3] St. *ἀερνών*. In notis : « *αἴθριον* scribendum sit. » Male. Cf. Psalm. CXXXII, 3.
[4] St. *εἰνάρ*. In notis : *εἰς γὰρ* ex cod. recipiendum.
[5] Cod. Mon. *ὁ σλεΦανίτης*.
[6] Cod. suppl. *καθαρεῖν*.
[7] Apocalyps. XIV, 19.
[8] Cod. suppl. *Θρίψιν*.
[9] Cod. Flor. *ἐκπεσών*.
[10] Cod. suppl. *Ποῦ δὴ τά*.
[11] Cod. Flor. *ὑπεσλάτει*.
[12] Codd. Flor. *κεῖσαι*.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Τίς καὶ τὸ σίμβλον, τὸ γλυκάζον φεῦ σλόμα,
Θραύσας μετ' ὀργῆς ὡς μελίτλας[1] ἐξάγει
Τοὺς ἀσχέτῳ ϖλήτλοὐντας[2] ἐνσλάσει ϖόνους[3];
Ποῖος δὲ κηφὴν τὸν γλυκὺν ῥοῦν ἐσθίει,
Λαθὼν τὸν ἐσμὸν τῶν καλῶν τῶν ἀσλέρων[4];
Χεῖρες δέ σοι ναρκῶσι κατεσλαλμέναι,
Χεῖρες καθαραὶ[5] σαρκικῶν συγχωσμάτων[6],
* Ἃς μᾶλλον ἐχρῆν μηδαμῶς ὑποῤῥέειν
Ἐκ τῆς ἐπαφῆς μὴ βλαβείσας τοῦ ξύλου[7].
Φεῦ ϖῶς διὰ σὲ τὸ φθαρέν μοι σκυμνίον
Τὰς κιῤῥοειδεῖς[8] ἀμφιέννυμαι τρίχας,
Καὶ ζῶ μετὰ σὲ καὶ τὸ φῶς τοῦτο βλέπω,
Καὶ μὴ καθεύδων ὡς λέων ὠρύομαι[9];

Δέσποινα[10]. Ἥλιε καὶ γῆ καὶ βροτῶν ἅπαν γένος
(Καὶ γὰρ συνελθεῖν ἐν βραχεῖ δεῖ τὴν κτίσιν,)
Ἔτι σιωπῶ καὶ κατείργω τὸν γόον,
Τοῦ δεσπότου σιγῶντος! ὦ τοῦ Φιλτάτου!
Καὶ ϖῶς[11] ἀνεκτὸν, εἴ γε τὰς ὄρνεις[12] λόγος
Ὑπὲρ νεοτλῶν ἐκβιάζεσθαι κλάειν;
Πρὸς γὰρ τὸ φιλόσλοργον ἡ Φύσις ῥέπει,

[1] An ὡς μελιτλεύς? Sed fort. nihil mutandum.

[2] Cod. suppl. ϖλῆτλον. Fort. ϖλάττοντας.

[3] Codd. Flor. ἐν σλάσει ϖόνων.

[4] In marg. ἀπλέρων. Fort. εὐπλέρων. St. habet τῶν εὐπόρων.

[5] Cod. suppl. καθαραῖς. St. in notis: «ῥυπαραὶ cod. Mon. utrumque quanquam contrarium locum habet, cum συγχώσματα σαρκικά aut carnis ipsius tumorem, quo mortua manus polluatur, significare possit aut ad voluptates transferre, a quibus alienæ manus fuerint.»

[6] Leg. συγχρωσμάτων.

[7] Cod. suppl. μὴ βραβείσας. Cod. Flor. τὸ ξύλον.

[8] Cod. Flor. κηῤῥοειδεῖς.

[9] Ad oram cod. suppl. σλίχοι ρί. Cf. supra ad v. 113.

[10] Cod. Vat. et cod. suppl. Ἡ μήτηρ δέσποινα.

[11] Cod. suppl. ϖᾶς pro ϖῶς.

[12] Cod. Vat. et cod. suppl. ὄρνις.

Βοᾷ δὲ ϖικρῶς καὶ Θρασὺς Θὴρ ἔσθ' ὅτε,
Ἂν ἀποβαλὼν εὑρεθῇ τὸ σκυμνίον·
Καὶ δάμαλις μὲν μόσχον ἐθρήνησέ ϖου,
Τοῦ τῶν μυκηθμῶν ἐνταθέντος ὀργάνου·
Δορκὰς δὲ νεβρὸν[1] εἰ ϖροκείμενον βλέποι[2],
Τῆς Φύσεως τὸ ϖάθος οὐκ ἂν ἐκφύγοι·
Ὅλως δὲ τίς οὐκ οἶδε τὴν ἔμπνουν Φύσιν
Ἐν τοῖς λυπηροῖς δυσπαθεῖν ὑπειργμένην[3];
Πῶς οὖν ἐπὶ σοὶ μὴ σπαράξω τὴν κόμην;
Πῶς μὴ δὲ τοῖς ὄνυξι ῥήξω τὰς γνάθους;
* Δεῖ γάρ με κιρνᾶν τὰς ῥοὰς τῶν δακρύων
Ἐρυθροβαφεῖ[4] συμφορᾷ σπαραγμάτων·
Ἠγάπησα[5] δ' ἂν εἴπερ ἦν μοι τεκνίον,
Ἢ χαλκὸς, ἢ σίδηρος, ἢ δρῦς, ἢ Φύσις[6];
Ἢ λίθος ὑγρὸς, ἢ κεκομμένη ϖίτυς,
Ὡς ἂν ἀπορῥαγέντα ϖενθήσω[7] κλάδου
Ἀρωματικὰς τὰς χοὰς ϖοιουμένη·
Τάχα γὰρ ἂν ἐντεῦθεν ἐσφαίρωσά σοι
Καὶ μαργάρους ϖαγέντας, εἰ μή τις Φθόνος,
Ἀνθ' ὧν ϖοτε ζῶν δεσποτικῶς εὐπόρεις·
Νυνὶ δὲ ϖενθεῖν εὐπρεπῶς οὐκ ἰσχύω·
Πρὸς γὰρ τὸ δυσαίσθητον[8] οὐκ ἐξετράπην·
Ἀλλ' ἅπλεται μὲν τῆς ψυχῆς μου τὸ Θλίβον·
Ἀνάπλεται δὲ τῶν Φλεβῶν ἡ Θερμότης,
Καὶ γίνεται Φλὸξ ἡ ϖυρὰ τῆς καρδίας,
Ὅταν λάβῃ τὸ ϖνεῦμα τῶν σλεναγμάτων,

[1] νεβρῶν cod. suppl.
[2] Cod. Flor. βλέπει et supr. οι.
[3] ὑπειργμένα cod. Flor.
[4] Cod. Flor. ἐρυθροβαφῆ. Conf. cod. Par. XLIV, 22.
[5] Cod. suppl. Ἠγησάμην δ' ἄν. Fort. Ἤτ' ἠγάπησ' ἂν εἴπερ ἦμην, τεκνίον.
[6] Fort. τὴν Φύσιν.
[7] ϖειθήσω apograph. Matrang.
[8] Infra CXCVIII, 60.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ βόσκεται τὸ δρᾶγμα[1] τῆς εὐταξίας,
Δριμὺν δὲ καπνὸν ἐνσκεδάζει τοῖς λόγοις,
Ὡς ἂν τὸ λυποῦν ἐκρυῇ τῶν ὀμμάτων.
Παπαὶ ωαπαὶ τί τοῦτο; ωῆ χάρις χάρις;
Ἰωάννη[2], τί τοῦτο; μὴ ζῶν ἐκρύβης;
Ἦκε ωρὸς ἡμᾶς, ἀλλὰ Φεῦ νῦν οὐ ωνέεις.
Ἰωάννη, τί τοῦτο; καὶ ωῶς ἡρπάγης;
Ὢ τήκομαι τὰ σπλάγχνα καὶ ωῶς δακρύσω!
Δεινὸν τὸ ωαρὸν, ἀλλὰ τί δῆτα δράσω;
* Πικρὸν τὸ λυποῦν[3], ἀλλὰ τί λέξω ωρέπον;
Ἰωάννη, ωιμπρᾷς με· τίς δώσει[4] δρόσον;
Πῆ τὰς ἀγαθὰς τῆς τεκούσης ἐλπίδας,
Ὦ ωαῖ, λαβὼν ἔκρυψας; ὢ ωῶς ἰσχύσω[5];
Φεῦ Φεῦ σιωπᾷς; οὐδ' ἀπόκρισιν[6] δίδως;
Ἆρ' οὐδὲ ωατρὸς οὐδὲ μητρὸς αἰσθάνῃ,
Κωφὸς ωρὸς ᾠδὰς εὑρεθεὶς τραχυτέρας;
Ἄνδρες γυναῖκες δεῦτε ωενθήσατέ με[7]
Τερπνὸν ωρὸς ἀκμὴν ἀποβαλοῦσαν[8] ῥόδον.
Γῆ μὲν γὰρ ἴσως, κἂν ῥυὲν Φύλλον ωέσῃ,
Πάλιν ἔχει τὸ χρῆμα κατειλημμένον·
Ἐμοῦ δὲ ωικρῶς ἐκπεσὼν ὁ δεσπότης[9]
Κεῖται σιωπῶν εἰς μυχοὺς γῆς[10] ἐσχάτους.
Ἐγὼ δὲ καὶ ζῶ καὶ βλέπω τὸν ἥλιον,
Ἦν μᾶλλον ἐχρῆν συνθανεῖν τῷ Φιλτάτῳ[11].

[1] Cod. Flor. δράμα et supra δρᾶγμα, quod metaphorico sensu, *segetem, fructum*, recepi. Ceteri δρᾶμα.

[2] Fort. Ἰωάνη. Versus notati 261 et 262 desunt in cod. Flor.

[3] Fort. λοιπόν sive λεῖπον.

[4] Cod. suppl. δώσας.

[5] Cod. suppl. ἰσχύω.

[6] Cod. Vat. ὑποκρίσιν.

[7] ωενθήσατέ μοι cod. Flor.

[8] Cod. suppl. ἀποβαλοῦσα.

[9] Cod. Mon. ὁ Φίλτατος.

[10] ἀπόκρυΦος cod. Mon.

[11] Cod. Mon. τῷ δεσπότῃ.

Ἥλιε (καὶ γὰρ ϖανταχοῦ γῆς ἐκτρέχεις),
Ποῦ Νιόβης τὸ ϖάθος ἐκδίδασκέ με;
Ὢ ϖῶς ἐπαινῶ τὴν Φορὰν τῶν δακρύων,
Ὅταν λίθου δύναμις αὐτὴν ἐξάγῃ [1];
Ῥευσὶὴ δὲ σαρκὸς ἐκτροπὴ καὶ χαυνότης
Πρὸς τὸν τοσοῦτον ὄγκον οὐκ ἂν ἀρκέσοι;
Ὁ δεσπότης ἀπῆλθεν· ὢ κοινοῦ ϖάθους!
Ὁ δεσπότης χνοῦς ὁ γλυκὺς [2] ὁ γεννάδας,
Ἡ κατὰ ϖαθῶν δυσμενῶν εὐανδρία,
Τὸ Θαῦμα τῆς γῆς ὁ χρυσοῦς ὁ δεσπότης,
* Ἀὴρ ἵνα τί μὴ ϖνοὴν αὖθις δίδως
Καὶ ζῶντα σαΦῶς ὀργανοῖς μοι τὸν νέον;
Αἰθὴρ ἵνα τί μὴ ϖαρὼν Θάλπεις [3] ϖάλιν
Κρυμοῖς μαρανθὲν Φθαρτικοῖς τὸ σαρκίον;
Ὕδωρ ἵνα τί μὴ δροσίζεις [4] τὸν μέγαν
Αὐχμῷ [5] τελευτῆς δυσλυχῶς ϖεΦρυγμένον;
Ῥάγηθι γῆ ῥάγηθι, δός μοι τὴν Θίβην
Ἐν ᾗ συναΦθεὶς [6] ὁ χρυσοῦς χοῦς ἐκρύβη.
Παπαὶ σιγᾷ τὰ ϖάντα καὶ τί δεῖ λέγειν;
Ἰωάννη, ϖρόελθε [7] τῆς ϖαροικίας·
Οἴκησον αὖθις μητρικῶν σπλάγχνων σίέγην.
Οὐ γὰρ μισῶ τὸ σῶμα κἂν ἀπεψύγη·
Δυνήσομαι δὲ ϖανταχοῦ [8] τοῦτο σίέγειν,
Ἕως τελευτῆς καὶ ταΦῆς καὶ λειψάνων.
Ὢ δυσλυχὴς ἔγωγε ϖαρ' ὅσον [9] ϖνέω

[1] Cod. Mon. ἐκχέη quod præferendum. St.
[2] St. ὁ γλυκός.
[3] Cod. Flor. Θάλπης.
[4] Cod. Flor. δροσίζης.
[5] Cf. cod. Par. XIV, 380.
[6] Cod. Flor. συναΦθείς et supra συνηΦθείς. Cod. suppl. et cod. Vat. συληθείς.
[7] Codd. Flor. ϖροῆλθε. Pro Ἰωάννη fort. leg. Ἰωάνη.
[8] Cod. Mon. ϖανταχῆ.
[9] Cod. Vat. ϖαρόσον.

Ακαδημία Αθηνών / Academy of Athens

Τοῦ φιλτάτου θανόντος! ὢ ωικροῦ [1] βίου!
Τί μοι τὰ φαιδρὰ τῆς ωολυζήλου τύχης,
Ἡ ωορφύρα, τὰ σκῆπτρα, τὸ χρυσοῦν σέφος,
Ὁ μαργαρίτης, ἡ χλαμὺς, ὁ λυχνίτης,
Ὁ θῶκος αὐτὸς, ἡ βαφὴ τῆς ἀρβύλης,
Πέπλα, τρυφὴ, χρήματα, ωροσθήκη κράτους,
Δορυφόροι, κτήματα, γυναῖκες, κόραι,
Στρωμνὴ [2] μαλακὴ, θρύψις, ἁβρότης, γέλως;
Τί καὶ τὰ λοιπὰ τῆς ῥοῆς τῆς ἀσλάτου,
Ἂν οὐκέτι ωνέοντα τὸν ωαῖδα βλέπω;
* Φεῦ, φεῦ θανατῶ συσχεθεῖσα τοῖς ωόνοις,
Καὶ λειποθυμῶ [3] καὶ λαλεῖν οὐ δύναμαι.
Βασιλεύς [4]. Εἶτά σε μὲν ωροὔθηκε [5] νεκρὸν ὁ χρόνος·
Θρηνεῖ δὲ ωατὴρ καὶ τεκοῦσα δακρύει·
Πενθεῖ δὲ καὶ ωᾶν τὸ ωροσῆκον, ὡς θέμις,
Μελαμβαφεῖς [6] χιτῶνας ἠμφιεσμένοι.
Ὁ ωαῖς δὲ μετρεῖ [7] τὰς λαβὰς τῶν δακρύων
Ποθῶν [8] ἀτεχνῶς [9] καὶ τελευτήσαντά σε,
Ὦ σύγγονε ζῶν, κἂν ἀφ' ἡμῶν ἡρπάγης.
Ἐγὼ δὲ λαλῶν οὐ σαφῶς σε δακρύω·
Τὸ γὰρ ωάθος τὴν φύσιν ἐξέτηξέ μοι [10]
Στυγνὰς καθισλῶν τῆς ψυχῆς τὰς ἐμφάσεις [11].

[1] Cod. Flor. μικροῦ.

[2] σλρομνή cod. Flor.

[3] Cod. suppl. λυποθυμῶ.

[4] Cod. Vat. et cod. suppl. Βασιλεὺς ἀδελφός.

[5] Cod. Vat. ωροὔθηκεν.

[6] Codd. Vat. Flor. et suppl. μελεμβαφεῖς. Cf. cod. Par. CXLIX, 110. Tzetz. *Ep.* 68 : Σὺ δὲ μελίπηκτον ἀλλ' οὐ μελέμβαφον (fort. leg. μελάμβαφον) ψαθαρὸν ἀπέσλαλκας ἐπὶ ωίνακος.

[7] Cod. Vat. μερεῖ.

[8] St. in notis : ωολῶν cod. Mon. librarii culpa.

[9] Cod. suppl. εὐτεχνῶς.

[10] Cod. Flor. με et supra μοι.

[11] Hic versus deest in cod. suppl. et in Vat.

Ακαδημία Αθηνών / Academy of Athens

Πλὴν εἴπερ [1] ἀντίλυτρον ἐξῆν εἰσφέρειν,
Ὦ πνεῦμα καὶ φῶς τῆς ψυχῆς τοῦ συγγόνου,
Αὐτὴν ἂν αὐτὴν [2] τὴν ψυχὴν προηκάμην·
Ἐπεὶ δὲ θανὼν τὴν ἀνάστασιν μένει,
Καθ' ἣν τὸ νεκρὸν [3] αὖθις ἀνθοῦν ὀστέον
Καὶ σάρκα ποιεῖ καὶ πνοὴν προσλαμβάνει,
Καὶ νεῦρα πυκνὰ καὶ φλεβῶν πόρους φύει [4],
Καὶ πήγνυται ζῶν εἰς μελῶν διαρτίαν,
Καὶ βηματίζει καὶ ποδὶ κούφῳ τρέχει,
Καὶ γίνεται πῦρ καὶ πρὸς αἰθέρα βλέπει,
Καὶ δείκνυται φῶς, εἰ δὲ μή, νὺξ καὶ σκότος·
Τί δεῖ με ποιεῖν; ἀλλὰ πένθει [5], καρδία,
Τὸν σύγγονον, φεῦ, τὴν ὁμόπνουν [6] καρδίαν.
* Ὡς ἡ βραδυτὴς ἀνιᾷ με τοῦ χρόνου,
Κἂν εἰς τὸν ἀκμάζοντα δεσπότην ῥέῃ·
Ὃ τάχα φησὶ καὶ σιγῶν ὁ δεσπότης [7].
Ἦν γὰρ ἐκεῖνος εὐπρεπὴς, ὥρας γέμων,
Ὥρας φυσικῆς οὐ κατηναγκασμένης,
Ἡδὺς, προσηνὴς, εὐφυὴς, ὅλος χάρις.
Ἦν ἀρεϊκὸς, εἰ παρῆν ὅρος [8] μάχης,
Κυνηγετικὸς, εἰ παρεῖχεν ὁ χρόνος,
Δημηγορικὸς ἀκριβῶς φλόγα πνέων,
Θυμοῦ χαλινὸς [9], ἡδονῆς ἀντιστάτης,
Βραβεὺς [10] ἱλαρὸς, ἂν ἐλάνθανε τρέφων.
Ὦ πῶς μεταξὺ ζωγραφήσω τὸν μέγαν,

[1] Cod. suppl. et cod. Vat. *εἰ μέν* pro *εἴπερ*.
[2] Cod. Mon. *ἐκείνων αὐτὴν τήν*.
[3] Cod. Flor. *τὸν νεκρόν*.
[4] Cod. Mon. *φέρει*.
[5] St. *πενθεῖ καρδία*.
[6] Cf. infra ccxv, 89.
[7] Hic versus deest in codd. Vat. Flor. et suppl.
[8] Cod. suppl. *ὄρη*. An voluit *ὥρη*?
[9] Stob. III, 25 : *Ψυχῆς χαλινός*.
[10] Cod. Flor. *βραβευ*.

Πολλῶν χεθεισῶν συμφορῶν τῇ καρδίᾳ,
Καὶ τῆς ἐναργοῦς ἐκρεούσης[1] μοι χρόας;
Λευκὸς μὲν ἦν ἐκεῖνος ἀλλ' ὑπὲρ γάλα,
Εἰ καὶ τυρωθεὶς καὶ ϖαγεὶς τῇ συσλάσει,
Λυθεῖσα χιὼν ὡς ὁρῶ νῦν εὑρέθη[2],
Τὸ φυσικὸν δὲ φῦκος οὐκ ἔχον ζέσιν,
Ἢ τὰς γνάθους ἔθαλπεν ἡ ξένη κράσις,
Ἔσθη ϖρὸς ὠχρὰν ἐκτραπὲν καχεξίαν·
Ἐμοὶ δὲ μικροῦ καθορῶντι[3] τὴν κόμην,
Κόμην ἐκείνην τὴν χρυσῆν, τὴν ὀλθίαν,
Ἣν ἡ φύσις ἔδειξεν ὡς φῶς αἰθρίας,
Ἡλιοειδῶν[4] εὐποροῦσαν ἀκτίνων,
Καὶ τὸν[5] χρυσοῦν ἴουλον ἐνθυμουμένῳ,
Καὶ τὴν μελιχρὰν τῆς σοφῆς γλώτλης χύσιν,
* Τὰς μὲν τρίχας ἴσλησιν εὐθὺς ἡ φρίκη[6],
Ἐγκόπλεται δὲ τῆς βοῆς ἡ γοργότης,

[1] Cod. Flor. *ἐκρεθύσης* et supra *εὑρεθείσας*. Hoc probat correctiones Florentinas de conjectura esse, non ex alio codice.

[2] *ὡς ὁρῶν νῦν εὑρέθης* cod. Flor.

[3] Cod. Flor. *καθορῶτι*. Cod. suppl. *καθορῶν τε*. Cod. Vat. *καθορῶν τι*.

[4] Cod. Flor. *ἡλιοειδῶς*. Plura cum *ἥλιος* composita, omnino, opinor, nova, addam : Ἡλιοακτινόμορφος, Anon. cod. Par. 37, f. 159 v° : *Πόθεν εἰς ἡμᾶς ϖαραγέγονας, ἡλιοακτινόμορφε.* — Ἡλιοβόλως, Anon. in Lucam, cod. Coislin. 110, fol. 49 v° : *Καὶ εἰς τὴν σύμπασαν ἡλ. διαπεφοίτησε.* — Ἡλιόδρομος, Anon. cod. Coisl. 394, fol. 1 v° : *Καὶ σφαιρικὸν ϖόλον δὲ ἡλιόδρομον.* — Ἡλιολαμπέω, Theodor. Stud. cod. Par. 891, fol. 52 r° : *Ἡλιολαμπήσωμεν αὐτὰς τῇ θάλψει τῆς ϖνευματικῆς ἀγάπης.* — Ἡλιονικήτωρ, Theodor. Lascar. ap. Mai, *Patr. Nov. Biblioth.* t. VI, p. 262. — Ἡλιοπρεπής, Germ. Cpolit. cod. Coisl. 278, fol. 211 v° : *Τὰ ἡλιοπρεπῆ αὐχήματα τοῦ αὐσονοκράτορος.* — Ἡλιόρατος, De S. Theodoro, cod. Par. 1447, fol. 4 r° : *Ἡλιόρατε, θεσμοσυλλήπλωρ σλεφοκόμε.* — Ἡλιοσέληνος, Jo. Tzetz. *Allegor. Il.* Proleg. 980, p. 56, ed. Boisson. : *Λείψεις ἡλιοσέληνοι.* — Ἡλιωνυμία, German. Cpol. *l. l.* : *Ἔχει μὲν οὖν ὁ αὐτοκράτωρ τὴν ἡλιωνυμίαν ϖροσφυεσλάτην.* Adde et adverbium Ἡλιακῶς ex Proclo in Tim. p. 12.

[5] Cod. suppl. *καὶ τὸ*.

[6] Cod. Flor. *ἡ χροία* pro *ἡ φρίκη*.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ βραδύνει τὸ φθέγμα ληφθὲν τοῖς ϖόνοις·
Ὅταν δὲ σαφῶς ἐννοήσω τὴν χάριν,
Ἣν εἰς τὰς ὀφρῦς ἡ Φύσις ἐζωγράφει,
Καὶ τὴν γαληνότητα Φεῦ τῶν ὀμμάτων,
Καὶ τῆς σιωπῆς τὰς λαλούσας ἐμΦάσεις,
Καὶ τὴν σlιβαρὰν τῶν μελῶν εὐρυθμίαν [1],
Ὦ συγγόνου Θέλξας με καθάπαξ [2] ἔρως,
Ὁρῶ σκοτεινὰς τὰς βολὰς τοῦ Φωσφόρου.
Τί ϖρὸς σὲ τὸν τοσοῦτον, ὦ Θεῖον τέρας,
Ὦ ϖαῖ Χαριτώνυμε, κἂν ἀντεσlράφης,
Ἡ τὸν Γύγην σlρέφουσα ϖυκνὰ σΦενδόνη [3]
(Τὸ γὰρ Φυσικὸν κέντρον ἐσΦαίρωσέ [4] σε
Τῷ συντόνῳ σΦίγματι τῆς εὐεξίας)
Τὰς γραμμὰς ἰθύνασα [5] τῆς εὐταξίας
Πρὸς τὰς μεταξὺ τῶν ϖαθῶν ἀντισlάσεις [6];
Πῶς οὖν ϖερισχὼν ὁ τροχός [7] σε τῆς τύχης
Εἰς τὸν καθ' ἡμῶν ἐξεκύλισε δρόμον,
Καὶ ϖῶς μόνον δειχθέντα κατέκρυψέ σε;
Ἥλιε, ϖῶς ὁρῶ σε, ϖῶς δὲ καὶ ϖνέω,
Τῆς καρδιακῆς ἐκλυθείσης λαμπάδος,
Ἐν τῷ κατασχόντι με τῆς λύπης γνόΦῳ;
Τίς μοι κρατῆρα [8] συμΦορῶν ὀλεθρίων
Ἤνεγκε λαθὼν δυσμενὴς ὑπὸ σκότει;
Πόθεν [9] τὸ ϖικρὸν ἐξεπέμΦθη μοι βέλος;
* Ἰδοὺ γὰρ αὐτὸν οὐχ ὁρῶ τὸν τοξότην.

[1] Cod. Mon. διαρτίαν.
[2] Cod. Vat. καθάπερ. St. edit. μὴ καθάπαξ.
[3] Vid. Cicer. *De Offic.* III, 9.
[4] Cod. suppl. τὸν Φυσικόν κέντρον ἐσΦέρωσέ σε.
[5] Cod. Flor. ἰθύνουσα.
[6] Cod. Vat. et cod. suppl. ἀποσlάσεις.
[7] Conf. cod. Par. LXXXI, 1.
[8] Theod. Hyrtac. *Ep.* 24: Τὸν ἄκρατον κρατῆρα Φιλίας.
[9] St. ϖόθον.

Ακαδημία Αθηνών / Academy of Athens

Ὢ καρδιαλγῶ, κιρνάτω τις Φάρμακον·
Ἐμεῖν γὰρ εἰκὸς τοὺς χυμοὺς τοῦ κινδύνου·
Ἀλλ' ἀγανακτεῖ δυσφορῶν ὁ δεσπότης·
Ἴσως γὰρ ὑπήκουσε τῶν σλεναγμάτων,
Ὡς ἂν[1] τὸ λυποῦν ἀντιφάρμακον λάβοι.
Πλὴν, ὦ Χαριτώνυμε, τί ταῦτα[2] δράσεις;
Τὸ γὰρ ἀνιῶν[3] ἐντακέν μοι πρὸς βάθος[4]
Ἡ σὴ τελευτὴ δυσθεράπευτον κρίνει·
Εἰκὸς μὲν ἂν ἦν εἰ παρὼν κατεσκόπουν
Τὴν μητέρα θρηνοῦσαν, ὢ δεινῆς τύχης!
Τὴν ἐκφορὰν, τὸ σῶμα, τὴν ὑψοῦ κλίνην,
Τὰς[5] οὐ γαμικὰς νεκρικὰς δὲ λαμπάδας,
Τὰς εἰς τὸ κοινὸν ἐκμελεῖς[6] θρηνῳδίας,
Τὴν βασιλίδα, τὴν καλὴν ὁμευνέτιν,
Τὰς μὲν γνάθους δρύπλουσαν ἐξ ἀθυμίας,
Αὐτὴν δὲ μικροῦ τὴν ψυχὴν ἡμαγμένην,
Χοὴν ἐπὶ σοὶ καταλείβουσαν ξένην[7].
Ἔτι δὲ καὶ τὰ σκῆπλρα, καὶ τοὺς οἰκέτας,
Καὶ τὸν[8] περιτλὸν ὁρμαθὸν τῶν μαργάρων,
Καὶ[9] τύμβον αὐτὸν καὶ τὸν ἐνταῦθα[10] ζόφον,
Καὶ τὴν ἐπ' αὐτοῦ ξυμβολὴν τῆς μαργάρου·
Ἐπεὶ δὲ παρὼν οὐκ ἐτύγχανον τότε,

[1] Cod. Mon. ὁ γάρ.
[2] ταύτῃ cod. Vat.
[3] Cod. Flor. ἀνιοῦν.
[4] Cod. suppl. βάρος.
[5] Hic versus deest in cod. Vat.
[6] Cod. Flor. τὸν κοινὸν ἐμμελεῖς. Recte cod. suppl. ἐκμελεῖς, dissonas. Supra v. 76 ἄκομψον. In Cantacuz. 1, 230 : Κολοιὸς ἐκμελής. Ælian. *Hist. Anim.* II, 11, de eleph. : Φέρειν δὲ καὶ ἦχους ἐμμελεῖς. Recte ἐκμελεῖς suspicatus est Jacobsius, quem videre est de eadem confusione apud alios.
[7] Hunc versum omittit cod. Flor.
[8] Cod. Vat. καὶ τὸ περιτλόν.
[9] Hic versus et sequens desunt in cod. Flor.
[10] Cod. Mon. ἐνταυθοῖ.

Πρὸς τὰς μεταξὺ μάχας ἠσχολημένος[1],
Νῦν δὴ σιωπῶ κατ' ἐμαυτόν σε[2] κλάων[3].
Βασίλισσα[4]. Κἂν ἡ κτίσις ἅπασα πενθεῖν ἰσχύῃ,
Κἂν[5] οἱ βασιλεῖς εὐπορῶσι δακρύων,
* 420 Κἂν ἡ βασιλὶς δυσφορῇ πρὸς τὸν πόνον[6],
Κἂν ἡ πρὸ μικροῦ βασίλισσα δακρύω,
Κἂν ζῶν ὁ πατὴρ οὐ δοκῇ[7] μοι φῶς[8] βλέπειν,
Σβεσθέντος εὐθὺς τοῦ πυρὸς[9] τῆς καρδίας
Ἐκ τῶν κατ' αὐτοῦ δυσλυχῶν ἀγγελμάτων,
425 Κἂν ἡ τεκοῦσα, κἂν ἀδελφὸς, κἂν φίλος,
Κἂν ὁσλισοῦν ἄνθρωπος ἀλγῇ συντόνως,
Οὐκ ἔσλιν οὐδὲν πρὸς τὸ νῦν, ἄνερ, πάθος·
Ἀλλ' εἴπερ ἐξῆν[10] συνδραμεῖν καὶ τοὺς λίθους,
Τὴν[11] τῆς λύπης αἴσθησιν εἰσδεδεγμένους,
430 Τότ' ἂν ἔφην τὸ πένθος εὐπρεπῶς ἔχειν·
Εἰ δ' ἀγγέλους ἔπεισε δακρύειν πάλιν
Ὁ δημιουργὸς προσλαβών σε τὸν μέγαν,
Ὡς καὶ τὸ κοινὸν[12] ἀκροᾶσθαι τῶν γόων[13],
(Εἰσὶ γὰρ ὡς δεῖ συμπαθεῖς τοῖς ἐξ ὕλης
435 Ὅσῳ[14] πλέον βλέπουσι τὴν κάτω πλάνην,)
Ἦν ἂν φορητόν· εἰ δὲ μὴ, φεῦ τῆς τύχης,
Ἡ καρδία τμήθητι, μὴ τέρας βλέπω,

[1] Cod. Vat. et cod. suppl. ἠσχολαμένος. Supra v. 383 : Πρὸς τὰς μεταξὺ τῶν παθῶν ἀντιστάσεις.

[2] Cod. Vat. σοι pro σε.

[3] Cod. suppl. κλαίων. Ad marg. στίχοι ζή. Non numerantur versus 327 et 343 qui desunt in codice.

[4] Cod. Vat. et cod. suppl. Ἡ γυνὴ βασιλὶς.

[5] Hunc versum non habet cod. Vat.

[6] cod. Flor. et St. τὸ πάθος. Cod. suppl. δυσφορεῖ πρὸς τὸν πόνον.

[7] Cod. Flor. δοκεῖ.

[8] φῶς μοι cod. Vat. et cod. suppl.

[9] Cf. cod. Par. IV, 11.

[10] εἰ παρεξῆν cod. Vat.

[11] Cod. Flor. καί pro τήν.

[12] Cod. suppl. κοινεῖν.

[13] γόνων codd. Flor. et suppl.

[14] Cod. suppl. ὅσον.

Ακαδημία Αθηνών / Academy of Athens

Μὴ σῶμα νεκρὸν εἰς ἐμαυτὴν ἐμπνέει [1].
Ὑπαρ [2] τὸ λυποῦν, οὐκ ὄναρ, ὦ δέσποτα,
Καὶ φθέγξομαι [3] δὴ θαῦμα καὶ τοῦτο ξένον·
Ψυχὴν γὰρ οὐκ ἔχουσα σενθεῖν ἰσχύω·
Ποῦ μοι τὸ κάλλος, ἡ τρυφὴ [4] τῶν ὀμμάτων,
Τὰ σεμνὰ φιλήματα, τὸ γλυκὺ σλόμα;
* Ποῦ τὸ [5] χρυσοῦν πρόσωπον ὡς εἶδος ῥόδου;
Ποῦ τῶν λόγων τὰ ῥεῖθρα τῶν ὑπὲρ λόγον [6];
Ἔα τίς ἐφθόνησεν ἡμῖν τῆς τύχης;
Ὁ χρυσὸς ὡς χνοῦς ἐκριπισθεὶς ἐῤῥέτω,
Τὸν ἐκ λίθων σλέφανον οὐκέτι σλέγω·
Μαραίνεται γὰρ ὥσπερ ἂν ἦν ἐκ ῥόδων·
Τοὺς μαργάρους ἐντεῦθεν οὐ θέλω βλέπειν·
Κοινοὶ γάρ εἰσιν ἀκριβῶς ἀκτῆς [7] λίθοι·
Τὰ πέπλα, τὸν ῥοῦν τοῦ πηγέντος ἀργύρου,
Τοὺς γαργαλισμοὺς [8] τῆς τρυφῆς καὶ τοῦ κλέους,
Οἴχεσθέ μοι ῥιπλοῦντες οἱ δορυφόροι·
Τὴν δεσποτικὴν οὐχ ὁρῶ [9] γὰρ ἀξίαν.
Ἄνερ, γλυκὺ πρόσφθεγμα [10], φαιδρότης, χάρις,
Ἡβῶν σὺ νεκρὸς, χήρα δ' αὐτή σοι νέα,
Χήρα βρέφους ἄμοιρος, οὐ σλεναγμάτων·
Πλὴν ἀλλὰ παράνοιξον εἰ χρὴ τὸν τάφον,
Καὶ θανατῶσαν εἰσδέχου τὴν σύζυγον,
Ὥσπερ ποτὲ ζῶν ὑποθεὶς τὰς ἀγκάλας.

[1] Fort. ἐμπνέῃ.
[2] Codd. Flor. et suppl. ὑπέρ.
[3] Cod. suppl. φθέγγομαι. Cod. Vat. omittit δή.
[4] Cod. Vat. et cod. suppl. ἡ σλροφή. Non male.
[5] Cod. suppl. Ποῦ μοι τό.
[6] Cod. suppl. ὑπὲρ λόγων.
[7] Codd. Flor. et suppl. ἀκτίς.
[8] Infra ccxv, 65 : Καὶ τὰ τῆς δόξης φάσματα γαργαλισμοὶ νηπίων. Conf. v. cl. Boisson. ad Psellum, p. 234.
[9] Codd. ὁρῶν.
[10] Conf. supra cxxx, 71.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ γὰρ κατασχεῖν τῆς ϖνοῆς τὰς συρμάδας
Εἰς βόθρον, εἰς χοῦν, εἰς τελευτῆς ϖασλάδα,
Τερπνὸν διὰ σὲ τὸν γλυκύν μοι δεσπότην·
Εἰ δὲ σλέγεις[1] ἔρημον οἰκῶν τὸν τάφον,
Ἔχω κλάδον μέλανα τὸν φυτοσπόρον
Ὡς ἐκ ϖόνου φλέξαντος ἠνθρακωμένον,
* Καὶ τῆς[2] ἀκαλλοῦς ἐκτροπῆς τῶν ἀμφίων,
Εἰς ὃν καταπαύσασα ϖενθήσω ϖλέον,
Τῆς τρυγόνος τὸ φίλτρον ἐκμιμουμένη.
Φεῦ ϖῶς τὸ ϑερμὸν τῆς ψυχῆς τῷ ϖατρί μου
Ἔσϐη μαρανθὲν ἴσα καὶ φυτοῦ δρόσῳ;
Ὥσπερ δὲ φύλλον ἀσθενῆσαν ἐκρέει
Ἡ ϖρὶν διὰ σὲ τοῦ ϖροσώπου φαιδρότης,
Τοῦ τῆς φυλῆς δενδρῶνος[3] ἀπηνθηκότος·
Ἀλλ', ὦ γραφικὴ ϖλασλικῆς ὑπερτέρα,
Καὶ ϖρὸς τὸ φαυλότατον εὐπορωτέρα,
Καὶ κατὰ τὸ ϖρόχειρον ἀφθονωτέρα,
Καὶ κατὰ τὴν ὅρασιν εὐπρεπεσλέρα,
Καὶ κατὰ τὴν κίνησιν εὐχερεσλέρα,
Καὶ ϖρὸς λόγου δύναμιν εὐτονωτέρα,
Καὶ ϖρὸς ϖάθους δήλωσιν εὐκρινεσλέρα,
Κἂν εἰς μονιμότητος ἠτλήϑης χρόνον,
Ὡς ἂν γράφοις τὸν ἄνδρα σὺν ἀωρίᾳ,
Ἆρ' οὐχὶ λευκὸν τουτονὶ τυποῦν ϑέλεις;
Ἀλλ' ἀσθενὲς τὸ κόμμι[4] καὶ δοκεῖ μέλαν,
Ὅταν[5] ϖρὸς αὐτὸν συγκριθῇ τὸν δεσπότην.
Ἆρ' οὖν ἐρυθρόν; ἀλλὰ συνθήσεις ϖάχος,

[1] Cod. suppl. *σλέγεις* et supra *ης*.
[2] Codd. mei et St. *ἢ τῆς*.
[3] Cod. Vat. *δενδρῶν*.
[4] Cod. Mon. et cod. suppl. *τὸ κόμμυ*. Cod. Flor. *τὸ κόμμα*.
[5] St. *ὅσαν*.

Καὶ τὴν φυσικὴν οὐ καλῶς γράψεις χρόαν.
Ποίῳ δὲ καὶ σχήματι καὶ σολίσματι
Γράψεις ἐκείνην εὐφυῶς μοι τὴν θέαν [1],
Οἷον δὲ τοπρὶν εἰς ἑορτῆς ἡμέραν
* Ὁ τῆς ἑορτῆς εἶχεν αὐτὸν ὀκρίβας [2];
Πῶς ἂν γράφοις τὸ θαῦμα [3]; Βαβαὶ τῆς τύχης·
Οὐδὲ γραφικὴ τοὺς ἐμοὺς λύει πόνους,
Ἣν ἐσχάτην ἔχουσι παραμυθίαν
Οἱ παρὰ [4] νεκροῖς δυσλυχοῦντες ἐν βίῳ.
Εἰς τοῦτο λοιπὸν εὐσλοχῶ ταύτης πλέον,
Τῇ καρδίᾳ γράψασα τὴν ἔμπνουν φύσιν
Ἐκ τῶν νοητῶν τῆς ψυχῆς κερασμάτων,
Ὁποῖος ἦν ἐκεῖνος ὁ πρῶτος τύπος,
Ὃς εἰς λίθου πίνακας ὑγροὺς [5] ἐῤῥύη
Δεινῶς μελανθεὶς τῆς φθορᾶς τῇ συγχύσει.
Ἀλλ' ὦ γραφικῆς εὐφυῶς [6] ἐπισλάτα,
Ἀναψυχὴν γάρ τινα πολλάκις δίδως
Τοῖς ὑπὸ θερμῶν συμφορῶν πεφλεγμένοις [7]
Μετὰ μαρασμὸν [8] καὶ παρακμὴν τῆς λύπης,
Ἀφεὶς τὸ χρῶμα τοῦτο τῆς κοινῆς ὕλης,
Ὡς καὶ τὰ κοινὰ τῶν παθῶν ἄλλα [9] γράφοις,
Τὰς τῶν ἁπασῶν ἀρετῶν κίρνα χρόας,
Καὶ γράφε καλῶς τὸν χρυσοῦν μοι δεσπότην·
Πλὴν μηδὲ τοῦτο πρᾶτλε· πόῤῥω γοῦν γίνῃ [10].
Γραφήσεται γὰρ τοῦ θεοῦ τῷ δακτύλῳ

[1] τὴν πλάσιν cod. Mon.
[2] Cod. Flor. ὀκρύβας. Ed. ὁ κρίβας.
[3] ἐνταῦθα pro τὸ θαῦμα cod. Vat.
[4] οἱ περί cod. suppl.
[5] Codd. Flor. et suppl. ἐκ λίθου πίνακας ὑδρούς. An εὔχρους?
[6] Fort. εὐφυοῦς.
[7] Codd. Flor. et suppl. πεπλεγμένοις.
[8] Conf. cod. Par. XII, 6.
[9] St. ἄλλως.
[10] Cod. Vat. γίνου.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Φαιδρὸς διαυγὴς εὐσλεφὴς [1] πάντα [2] μένων
Ὁ δεσπότης ἐκεῖνος αὐτὸς ἡ χάρις·
Εἰς γῆν δὲ τούτῳ κόσμος αὐτάρκης πάλιν
* Αὐτὸς βασιλεὺς ὁ σπορεὺς καὶ δεσπότης·
Ἐγὼ δὲ σιγῶ κἂν προήχθην τοῖς πόνοις
Παθοῦσα δεινῶν [3] συμφορῶν ἀμετρίαν·
Ἀλλά γε [4] μικροῦ πᾶσά με Θρηνεῖ [5] κτίσις,
Παγκοσμίου χάριτος ἐσλερημένην [6].

Βασιλεύς [7]. Ὦ [8] παῖ, σὺ μὲν τέθνηκας, εἰ δίδως λέγειν,
Ὥρας ἐν ἀκμῇ δυσφορῶν τῇ συνθέσει·
Πρὸς γὰρ τὸν ἁπλοῦν φυσικῶς ἀνατρέχεις,
Τὸ πνεῦμα τῆς γῆς εὐχερῶς ἀποσπάσας,
Μὴ συμποδισθῇ τῇ σχολῇ [9] πρὸς τὸν δρόμον·
Καὶ νῦν συναφθεὶς τοῦ Θεοῦ τοῖς ἀγγέλοις
Φῶς μὲν βλέπεις [10] ἄδυτον ἐξ ἀϋλίας [11],
Οἰκεῖς δὲ παράδεισον ἐκ μετουσίας,
Ἐνταῦθα πολλῶν ἐντρυφῶν [12] χαρισμάτων·
Καὶ γὰρ τὰ φυτὰ τῆς Ἐδὲμ ζῶντα βλέπεις
Ἐν ταῖς νοηταῖς τῆς χλιδῆς διεξόδοις·
Ὁρᾷς τὸν ἐσμὸν τῶν ψυχῶν ἠθροισμένων [13]
Ἐν τοῖς πρόθυροις Ἀβραὰμ προκολπίοις [14].
Ὁρᾷς ὕδωρ κάλλιστον ἀφθόνως ῥέον·

[1] St. ἀσλεφής. Cod. Mon. εὐσλαλήν.

[2] Cod. suppl. φαιδρῶς — πάντως μένων. Cod. Vat. πάντως.

[3] Cod. Vat. et cod. suppl. δεινήν.

[4] ἀλλ' ἄγε cod. Vat.

[5] Codd. Θρήνει. Cod. suppl. Θρήνους.

[6] ἐσλερημένη cod. Flor.

[7] Cod. Vat. et cod. suppl. Ὁ πατὴρ βασιλεύς.

[8] ὦ omissum in cod. Mon.

[9] Cod. Mon. τῇ τριβῇ.

[10] Cod. suppl. βλέπεις γάρ.

[11] Supra CXVII, 8.

[12] Cf. *Thesaur.* III, p. 1184 C. Vs. 530 et sequentes non exstant in cod. Mon.

[13] Ed. et cod. suppl. ἠθροισμένον.

[14] Hic versus et sequens desunt in cod. Flor.

Πατεῖς δὲ τὴν γῆν ὡς πραῢς τὴν ἁγίαν,
Καὶ τὴν ἀναψύχουσαν ἀῤῥήτως πόαν,
Ἀφεὶς τὸ σὸν πέδιλον ὡς κούφως[1] τρέχοις[2].
Οὐκ ἔστι σοὶ θὴρ, οὐδ' ἐνεδρεύων ὄφις,
Οὐ δυσμενῶν φάλαγγες, οὐχ ἵππος[3] τρέχων,
Ὡς ἄν σε λαθὼν[4] ἀκρατῶς συναρπάσῃ,
Οὐ τόξον, οὐ πῦρ, οὐ τεθηγμένον ξίφος,
* Οὐ κλωψ ἀπηνὴς, οὐ σφαγεὺς ὁδοστάτης,
(Δῃστὴς μόνος[5], κἀκεῖνος ἐν σεσωσμένοις),
Οὐ φίλος ἐχθρὸς, οὐδὲ λανθάνων φίλος,
Οὐ κρυπτὸς, οὐ πρόδηλος ἀνθρώπων[6] φθόνος,
Οὐκ ἀνέμων ἅμιλλα συντονωτέρων,
Οὐ[7] ῥευμάτων σύῤῥηξις ἀγριωτέρων,
Οὐ πνευμάτων ἔντευξις ἀνθρωποκτόνων,
Ὡς εἶπε Δαυὶδ[8], ἐν πυρᾷ μεσημβρίας,
Οὐ σεισμὸς, οὐ κίνδυνος ἐξ ἀσιτίας,
Οὐ λοιμὸς[9], οὐ θάνατος ἐξ ἀῤῥωστίας,
Οὐ πυρετοῦ δύναμις, οὐ μελῶν κλόνος,
Οὐ παῖς ἰατρῶν, οὐ γυνὴ τεθλιμμένη,
Οὐ φίλτατοι θρηνοῦντες, οὐ τρύχων φόβος,
Οὐ ξυγγενοῦς θάνατος, οὐ θρήνων μέλος,
Οὐ δακρύων πρόχυσις, οὐ χιτὼν μέλας,
Οὐ πλοῦτος ἀνθῶν καὶ παρευθὺς ἐκρέων,
Οὐ φροντίδων κάματος, οὐ ψυχῆς πόνος,
Οὐ δαπάνη σώματος, οὐδὲν ἄλλό τι.

[1] Cod. Vat. et cod. Flor. κοῦφος.
[2] Codd. τρέχεις. Malim τρέχῃς.
[3] οὐδ' ἵππος cod. Vat.
[4] Cod. suppl. ἐσλαθών.
[5] Codd. Vat. et suppl. μόνον ex cor., male. Est quem dicimus *le bon larron*.
[6] Cod. Vat. et cod. suppl. ἀνθρώπου.
[7] Hic versus deest in cod. Vat.
[8] Psalm. xc, 6 : Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, — ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.
[9] Cod. Flor. οὐ λιμός.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ ταῦτα μὲν σὺ τῇ φθορᾷ χαίρων δίδως[1],
Καὶ μέχρις αὐτῶν οὐρανῶν γῆθεν τρέχεις
Ἁπλοῦς[2], ἀμιγὴς, εὐπετὴς, ἔξω βλάβης·
Ἐγὼ δὲ πενθῶν οὐκ ἐπαυσάμην ἔτι·
Ἡ γὰρ Φύσις πείθει με πυκνὰ δακρύειν·
Κἂν οὐκ ἐφικτὸν τὸ φλογίζον[3] πῦρ σβέσαι[4]
Τοῦ σοῦ μαρασμοῦ, προσφυές[5] μοι σκυμνίον.
Ἆρ' οὖν παραινεῖς ἐκκακεῖν[6] ἐν ταῖς λύπαις,
* Χριστοῦ μαθητὰ καὶ μιμητὰ τοῦ πράου,
Ἢ τὴν καθ' ἡμᾶς ἐκγελᾷς τραγῳδίαν;
Μυκτηριεῖς[7] γὰρ τάχα καὶ σὺ, δέσποτα,
Τοὺς δυσανασχετοῦντας ἐξ ἀθυμίας·
Ἀλλ', ὦ ποθεινὴ τῆς Φυλῆς[8] ξυναυλία,
Παύσασθε δὴ παύσασθε πενθοῦντες μάτην,
Ὡς[9] ἀγανακτεῖ συμπαθῶν ὁ γεννάδας·
Θρηνεῖν γὰρ οὐ χρὴ τοῦ Θεοῦ τὸν ὁπλίτην
Εἰς τὰς ἄνω Φάλαγγας ἐξειλεγμένον·
Νῦν μᾶλλον ἐστὶ βασιλεὺς ὁ δεσπότης
Τῆς γῆς ἀφεστὼς[10] καὶ Θεῷ συνημμένος[11].
Ἡμεῖς δὲ νεκροὶ κἂν δοκῶμεν ἐμπνέειν,
Δεδοίκαμεν γὰρ ἀκριβῶς τὸν Θάνατον,
Εἰ μὴ σχεδὸν λέγοιμι τὰς ἄλλας λύπας,
Οἳ[12] τῆς φθορᾶς ἄγχουσιν ἔσθ' ὅτε πολέον·

[1] Cod. Flor. hunc versum et sequentem omittit.

[2] ἁπλῶς cod. suppl.

[3] Codd. Flor. et suppl. φλογίζειν.

[4] Cod. suppl. σβέσῃ.

[5] προσφιλές cod. Vat.

[6] Codd. Flor. et St. ἐκκαλεῖν. Conf. infra CCLX, 4.

[7] Codd. Flor. μυκτυριεῖς. St. μυκτηρίσεις.

[8] Cod. Vat. φιλῆς.

[9] Hunc versum omittit editor.

[10] St. ἀφετώς.

[11] Cod. suppl. συνημμένος et supra συνηγμένος.

[12] Pro οἳ leg. αἳ.

Νῦν ἀετοῦ πλέρυγας ἀῤῥεύστους[1] φέρει,
Φυγὼν τὰ δεσμὰ δραστικῶς τοῦ σαρκίου.
Νῦν ὡς ἀηδὼν εὐλογεῖ τὸν δεσπότην,
Ὃς αὐτὸν ἐξήγαγεν εἰς τὴν αἰθρίαν·
Νῦν ἐστὶ δορκὰς ἐκλυθεῖσα τῶν βρόχων,
Οὓς χεὶρ πονηρᾶς ἡδονῆς οἶδε πλέκειν,
Εὑρὼν δὲ τὸ ζῶν ψαλμικῶς[2] ὕδωρ πίνει·
Νῦν εἰς γαληνοὺς λιμένας αὐλίζεται,
Τοῦ μὲν κάτω κλύδωνος ἀπηλλαγμένος,
Ἁγνὴν δὲ τηρῶν τῆς ψυχῆς τὴν ἀξίαν,
* Ἐμοὶ δὲ μικροῦ συλλαλῶν καὶ συμπνέων,
Καὶ πρὸς τὸ Φιλόστοργον ἐξ ἔθους βλέπων.
Οὐκοῦν ἐπ' αὐτῆς τῆς σοροῦ τοῦ δεσπότου,
Τάδε ξέειν[3] δίδωμι τοῖς ἑρμογλύφοις[4].

Ἐπίγραμμα[5].

Βασιλέως παῖς εὐσεβὴς ὁμοτρόπου,
Καὶ δεσπότης πρὸς ὥραν ἁκμῆς ἐῤῥύη·
Καὶ νῦν σιωπᾷ καὶ καθεύδει τοῖς λίθοις,
Τὴν ἐσχάτην σάλπιγγα τοῦ τέλους μένων,
Ὡς ἂν, Θεατά, μὴ σκοπῇς πρὸς τὸν τύφον,
Ἀλλὰ πρὸς αὐτὴν τῆς τελευτῆς τὴν κόνιν,
Κἂν εἰς τὸν ἀκμάζοντα κομπάζῃς χρόνον·
Ἐνταῦθα γὰρ δὴ πᾶς ὁ τοῦ βίου δρόμος
Ἀναλυτικὸς[6] τοὺς βροτοὺς ὑπεκφέρει,
Χοῦν πάντα λεπτὸν καὶ σκιὰν φεῦ δεικνύων[7].

[1] Cod. Flor. ἀῤῥεύστως. Conf. supra CXII, 89.

[2] Cf. Joann. IV, 10 et 11, et Psalm. XLI. Mox v. 596, St. συροῦ.

[3] Bandini male ζέειν.

[4] Cod. suppl. ὁρμογλύφοις. Post hunc versum legitur Ἐπίλογος.

[5] Cod. M. fol. 120.

[6] Ed. et cod. suppl. ἀναλυτικῶς.

[7] Cod. suppl. ad. marg. : Οἱ ὅλοι

CCXIV. Τοῦ αὐτοῦ πρὸς τὸν αὐτοκράτορα κύριον Μιχαὴλ τὸν Παλαιολόγον εἰς ὃν ἐξειργάσατο λέοντα φίλον εἶναι κυνί.

* Τί τοῦτο; νικᾷς εὐτυχῶς καὶ τὰς φύσεις
Λέοντα κυνὶ συμβιοῦντα δεικνύων,
Ὦ καὶ λεόντων σκύμνε καὶ σκύμνων λέον,
Καὶ θαῦμα κοινὸν, Αὐσονάρχα, καὶ ξένον!
Καὶ γὰρ ὑλακτῶν ὁ στρατὸς τῶν βαρβάρων
Τοῖς σοῖς βρυχηθμοῖς ὀξέως ἁλίσκεται·
Καὶ γίνεται δὴ πανταχοῦ σοι τὸ ξίφος
Ὄνυχος ἀκμὴ συσπολῆς ἐλευθέρα,
Καὶ τῆς φυσικῆς δεικτικὴ κραταρχίας,
Ὑφ' ἧς διασπᾷς εὐχερῶς τοὺς αὐθάδεις.
Ὄφις μὲν οὖν δέδοικεν ἰδὼν σκορπίον·
Ὠθεῖ γὰρ αὐτὸν εἰς φθορὰν τὸ κεντρίον
Ἰῷ τὸν ἰὸν εἰς τὸ νύγμα συγχέον·
Νεκρὸς δὲ νεκρὸν οὐδαμοῦ πεπληγμένον[1]
Ποιεῖ τὸν ἐχθρὸν ὁ σφαγεὶς παραυτίκα·
Βιοῦν γὰρ ἐξῆς ὁ φθορεὺς οὐκ ἰσχύει,
Συναπολαβὼν[2] τὴν ψυχὴν τῷ φαρμάκῳ.
Γαλῆ δὲ μυὸς ἐξ ὀπῆς δεδραγμένη
Τοῖς ὀστέοις βέβρυχε τοῦ θηράματος·
Ὀξὺς δὲ κυνὸς καὶ πολύστροφος δρόμος
Αἱρεῖ λαγωὸν εἰς φυγὴν[3] ἠπειγμένον·
Φεύγει δὲ τοὺς δράκοντας Ἰνδὸς ἐλέφας[4],

στίχοι τοῦ Φιλῆ οὓς ἐποίησε πρὸς τὸν δεσπότην εἰσὶν ὁμοῦ χέ. Et ad calcem hujus folii 243 r° hoc tetrastichon :

Εἵληφε τέρμα τουτονί τε τῶν στίχων
Χριστοῦ Ἰησοῦ τοῦ θεοῦ μου ἱκέτης,
Φιλῆ Μανουὴλ τῶν γεγραφότων τάων
Εἰς τὸν δεσπότην τὸν Ἰωάννην τάχα.

[1] Cod. πεπληγμένος et in marg. πεπληγμένον.

[2] Leg. συναποβαλών, solenni verborum λαβεῖν et βαλεῖν confusione.

[3] Cod. ἐκφυγεῖν et in marg. εἰς φυγήν.

[4] Cf. *De eleph.* 246.

Ακαδημία Αθηνών / Academy of Athens

Στυγῶν τὸν ὀλκὸν ὡς ταχὺν πρὸς ἀγχόνην,
* Τάχα δὲ καὶ πῦρ καὶ κριὸν[1] καὶ δέλφακα,
Καὶ μῦν κρεμασθὸν εἰς λινόπλοκον βρόχον.
Ὕαινα δὲ πρόεισι νυκτὸς ἔσθ' ὅτε
Καὶ τὰς βαλιὰς ἐκτοπίζει παρδάλεις·
Λέων δὲ μισεῖ καὶ τὸ πῦρ καὶ τὰς κύνας,
Καὶ προσφάτως κλάοντα παυθήρων βρέφη·
Νυνὶ δὲ συνεὶς τῶν λεόντων ὁ σκύλαξ
Οἷς πρὸς τοὺς ἐχθροὺς Αὐσονάρχης εὑρέθης,
Καὶ σοῦ καθαρῶς ἐκπλαγεὶς τὴν καρδίαν,
Ἣν ἡ κρατίστη Φύσις ἐντέθεικέ σοι,
Καθάπερ εἰκὸς ἐξαμείβει τὴν Φύσιν,
Καὶ μέχρι κυνὸς μετριάζει, δέσποτα·
Μᾶλλον δὲ καὶ λέοντα μικροῦ σε βλέπων
Ἐν τῇ σιβαρᾷ τῶν μελῶν διαπλάσει,
Συστέλλεται μὲν ὁ Θρασὺς Θὴρ ἐνθάδε,
Βακχεύεται δὲ τῷ ξένῳ τῆς ὄψεως·
Ὑφίσταται δὲ τὰς ἀφὰς καὶ τοὺς βρόχους
Καὶ τὰς κυνικὰς παιδιὰς ἀποστέγει·
Συνέλκεται δὲ παντοχῇ τῇ συντρόφῳ,
Δοκῶν χαμερπὴς τῶν ποδῶν τῇ προσβάσει·
Θυμοῦ δὲ τηρεῖ τὴν ψυχὴν ὑπερτέραν
Μὴ τὴν κυνικὴν ἐκταράξῃ καρδίαν·
Μερίζεται δὲ τὰς τροφὰς ἀκινδύνως,
Καὶ τῆς ἐρυγῆς ἐξελαύνει τὸν φόβον·
Ὑπνοῖ δ' ἐπ' αὐτῶν τοῦ κυνὸς τῶν ἰσχίων,
Ἕλος δροσῶδες τὰς τρίχας ποιούμενος·
* Ἐκμάττεται γὰρ εἰς τὸ σῶμα τὸ στόμα
Καταῤῥεουσῶν ἡσυχῇ τῶν ἰκμάδων·

[1] *De eleph.* 178.

Ακαδημία Αθηνών / Academy of Athens

Ὅταν δὲ μὴ τὸν κύνα ϖαρόντα βλέπῃ,
Μισεῖ τὰ δεσμὰ καὶ ϖρὸς ἅλματα βλέπει·
Ζητεῖ γὰρ αὐτὸν ὡς ἐπίφθονον φίλον,
Καὶ δεινοπαθεῖ καὶ σlενάζει καὶ βρύχει·
Πλὴν ἔσlιν εὑρεῖν εὐμενῆ καὶ τὸν κύνα
Τῇ καταγωγῇ, τῇ τροφῇ, τῷ ϖαιγνίῳ,
Καὶ τῇ ϖρὸς αὐτὸν ἐντελεῖ κατασlάσει·
Καὶ γὰρ μαλακὸν καὶ χαμαίζηλον[1] βλέπει
Χωρὶς ὑλακῆς γειτνιῶν τῷ δεσπότῃ·
Καὶ γίνεται δὴ τοῖς ϖοσὶ τοῦ Θηρίου
Στρωθεὶς ἐπὶ γῆς αὐτοκίνητος[2] τάπης·
Οὐ δύναται γὰρ ἀγνοῆσαι τὴν Φύσιν,
Πολλῶν μεταξὺ συντρεχόντων Φασμάτων·
Λέων μὲν οὖν ϖῦρ ἐσlι μικροῦ τὴν Φύσιν,
Ὡς εἰς μάχας ἄντικρυς Αἰτναία ζέσις·
Ὃ γὰρ ἂν ἐξ ὄνυχος ἁρπάσας Φάγοι
Τομῶς δαπανᾷ τῇ Φλογὶ τῶν ἐγκάτων·
Ἴσας δὲ ϖυρσοῖς εὐτυχεῖ καὶ τὰς τρίχας
Ἐκ τῶν ἐνύγρων ἀνθράκων τῆς Φύσεως·
Ψυχρὸς δὲ ϖᾶς δήϖουθεν ὡς ὕδωρ κύων,
Καὶ μᾶλλον αὐτὸς ὁ δρομεὺς Θηροκτόνος[3].

[1] Supra LXXXIII, 8 : Πρὸς τὰ χαμαίζηλα σωΦρόνως βλέπων ; CXCVI, 2 : Νοῦν χαμαίζηλον. Vid. Boeckh, *Inscr.* n° 523.

[2] Cf. supra XLIII, 81.

[3] God. Esc. CCXIII, 137 : Θηροκτόνον κάλλισlον εἰργάσατό σε. Id. *De eleph.* 3. Alia ejusmodi composita, opinor, nova sunt hæc : Θηροδοξία, Ephr. Syr. t. III, p. 431. — Θηρολετὴρ, Tzetz. cod. Par. 2644, fol. 250 r° : Θηρολετῆρος ἐς ὅσσα ϖερ οὔρεσιν ἀμΦινέμονται, et Θηρολέτειρα, Eustath. *Opusc.* p. 20, 50. — ΘηρόμορΦος, Theodor. Stud. p. 93 E. — Θηρόψυχος, Anon. cod. Par. 2506, fol. 7 v° : Περιάργους ἢ Θηροψύχους. Quædam alia ex Θηρίον sunt derivata, quibus carent lexica : Θηριοβρωσία, Theodor. Stud. cod. Coisl. 94, fol. 272 v° : Θηριοβρωσίαν νοητήν. — Θηριομαχεῖον, *Actt. Pauli et Theclæ*, p. 54, ed. Tischend. : Σὲ δὲ, Θέκλα, εἰς τὸ Θ. ἀπάγω. — Θηριόπληκτος, Anon.

Ὦ ϖᾶσα λευκὴ τῶν τριχῶν ἡ ϖυκνότης!
Πλὴν τοῦτο καινὸν εἰ τὸ ϖῦρ ὕδωρ σλέγει,
Καὶ τὴν ἀκατάλληλον οὐ Φεύγει κράσιν·
Ὁρῶ γὰρ αὐτὸ καὶ Φιλοῦν τοὐναντίον,
Καὶ τὴν ἀπ' αὐτοῦ μὴ Φέρον διάσλασιν.
Μὴ σύμβολον καὶ τοῦτο τῆς σῆς ἰσχύος,
Δι' ἧς τὸν ἐσμὸν [1] συσλελεῖς τῶν βαρβάρων,
Οἷς ἡ κυνικὴ ϖροσΦυὴς ἀπλησλία;
Μὴ τῷ γαληνῷ τῆς ψυχῆς καὶ μετρίῳ
Τοὺς αἱμοχαρεῖς [2] κερδανεῖς κύνας, λέον;
Μὴ νῦν γε μικρὸν συσκιάσῃς [3] τὴν σπάθην,
Μὴ καὶ σοβηθῇ καὶ κρυβῇ ϖᾶς σατράπης;
Τὸν σόν με λοιπὸν εὐμενῶς κύνα βλέπων
Ὧδε [4], βασιλεῦ, καὶ τροΦῆς δίδως ψίχας·
Καὶ γὰρ ὑλακτῶ καὶ κροτῶ σου τὴν Φύσιν,
Ὡς ἐξ ἔλους δή τινος ἢ λόχμης λέων
Συχναῖς ἐρυγαῖς ἐκδιώξαις τοὺς ϖόνους,
Οἳ ϖαραΦωλεύουσι [5] καὶ Θλίβουσί με·
Δείξαις δέ μοι Φεύγουσαν εὐθὺς δορκάδα
Μικρόψυχον ϖᾶν, Αὐσονάρχα, νῦν ϖάθος·
Πλὴν ἀλλὰ βασίλευε τὸν ϖάντα χρόνον
Χώρων Θαλασσῶν ἐθνικῶν σλρατευμάτων,
Πρὸς ὠκεανὸν ἐκτινάσσων τὴν σπάθην,
Ἣν αὐτὸς ἐσλόμωσας ἐκ τῶν αἱμάτων,
Ὡς ἂν ἐπ' αὐτῆς τῆς καλῆς ὄχθης Φθάσας
Τῷ συμβασιλεῖ καὶ σπορεῖ τάδε Φράσῃς,

cod. Par. 2256, fol. 564 r°: Σκορπιοπλήκτοις καὶ Θηριοπλήκτοις ὠΦελεῖ. — Θηριοπρεπῶς, S. Cyrill. *Opp.* t. II, p. 293 C, 310 E, 378 A.

[1] Cf. cod. Esc. CCXIII, 110.

[2] Cf. cod. Par. 11, 53.

[3] Leg. συσκιάσεις.

[4] Contra metrum. Fort. Ὧδί, vel Λέον βασιλεῦ. Cod. suppl. βασιλεύς.

[5] Cf. cod. Par. CCIII, 78.

Ακαδημία Αθηνών / Academy of Athens

Ταῖς σαῖς ἐργαῖς προσλεθέντων ἁλμάτων·
* 100 Λέον βασιλεῦ, κοσμικὴν θήραν δέχου.

CCXV. Τοῦ αὐτοῦ. Ἄνθρωπος διαλεγόμενος μετὰ ψυχῆς[1].

Ἄγε, Ψυχή μου ταπεινὴ[2], σχολάσωμεν καὶ γνῶμεν
Τὴν σύγχυσιν, τὸν θόρυβον, τὴν ζάλην[3] τῶν πραγμάτων,
Καὶ τὴν συχνὴν περιτροπὴν, καὶ τοὺς πυκνοὺς εὐρίπους[4],
Ὡς οἱ γραφεῖς τοὺς ἀμυδροὺς ἐν ἀποσκάσει τύπους,
Καὶ μεταγνῶμεν τῆς παιχτῆς τῶν γινομένων σφαίρας,
Ὑφ' ἧς ὡς παῖδες ἀγενεῖς πολλάκις ἀτακτοῦμεν,
Οὐ συνορῶντες τὸ δεινὸν τῶν ἀθυρμάτων πέρας.
Μέχρι γὰρ τίνος τὸ δοκοῦν, μέχρι δὲ σοῦ τὸ ψεῦδος;
Οἰχέθωσαν[5], ἐρρέτωσαν, ἀρθήτωσαν ἐκ μέσου
Τὰ θέλγητρα, τὰ φόβητρα, τὰ νόθα προσωπεῖα.

Ψυχή.

Βουλῆς ἀρίστης, Ἄνθρωπε, μελετωμένης ἤδη
Συνηγορῶ, συντρέχω σοι, μισῶ τὴν βραδυτῆτα,
Μὴ πάλιν φιλυπόστροφα[6] τὰ πάθη κατασκήσῃ,
Καὶ γένηταί σοι χείρονα τὰ δεύτερα τῶν πρώτων[7].
Πλὴν ἔδει τὴν κυβέρνησιν ζητῆσαι πρὸ τῆς ζάλης,
Καὶ πρὸ τῆς νόσου τὸ δριμὺ καὶ σκῦφον τοῦ φαρμάκου,
Καὶ τὴν σκεπάρνην περιβολὴν τῶν ὅπλων πρὸ τῆς μάχης·

[1] Cod. M. fol. 123. In cod. Flor. legitur ante titulum κατὰ ἀλφάβητον.

[2] Bandin. male ταπεινά.

[3] Conf. supra CXI, 56. Cod. P. V, 10: Συχνῶν λογισμῶν δυσχερῆ λύων ζάλην.

[4] Εὔριπος βίου, nota metaphora de qua Boisson. *Anecd. nov.* p. 6.

[5] Cod. οἰσχέθωσαν.

[6] Martyr. S. Demetrii, n° 29: Φιλυπόστρατα γὰρ τὰ τοιαῦτα νοσήματα τοῖς μὴ διὰ προσευχῆς καὶ πολιτείας ἁγνῆς τὴν ὑπὸ τοῦ κρείττονος φυλακὴν κεκτημένοις. Pro φιλυπόστρατα cod. Mazarin. φιλυπόστροφα, i. e. *redire solent.* Conf. Eustath. *Opusc.* p. 5, 49.

[7] Matth. XII, 45.

Ακαδημία Αθηνών / Academy of Athens

Νυνὶ δὲ κινδυνεύομεν ἐκ περιτλῆς ῥᾳστώνης,
Καθάπερ οἱ καθεύδοντες καὶ ῥέγχοντες ἐκ μέθης,
Μετὰ καιρὸν τὸ πρὸ καιροῦ λυσιτελῶς εὑρίσκειν [1].

Ἄνθρωπος.

Γλυκύτητι πικρότατος ἀνακραθεὶς ὁ βίος,
Ὁ κλὼψ, ὁ κόλαξ, ὁ λῃστὴς, ὁ δυσμενὴς, ὁ φθόρος,
Θέλγει τὴν φύσιν τὴν θνητὴν, ὥσπερ τὸ πῦρ τὰ βρέφη,
* Καὶ τοῖς δοκοῦσι σκυθρωποῖς τὰ σκυθρωπὰ [2] μιγνύει,
Καὶ συναρπάζει μεταξὺ, καὶ πarασύρει τρέχων,
Καθάπερ πῶλος ὑβριστὴς ἀπαίδευτον ἱππότην,
Καὶ τοῦ καλοῦ τὴν αἴσθησιν κατὰ μικρὸν ἀμβλύνει,
Καὶ δείκνυσι φαυλότερον τὸ μέλλον τοῦ παρόντος·
Ἔστι δὲ πάντως ἄμεινον τοῦ [3] θνήσκειν τὸ καθεύδειν,
Κἂν μόλις ὁ μικρόψυχος ἀνενεγκεῖν ἰσχύσῃ.

Ψυχή.

Δεῦρο λοιπὸν τὸ γηγενὲς καὶ ταπεινὸν σαρκίον
Ἀπὸ βαλβίδος ὅ φασι πάντα διδάσκου πρώτης,
Καὶ σκόπει μοι τὴν σύζυγον, τὴν θαυμαστὴν ἐκείνην,
Τὴν φίλην, τὴν ὁμόψυχον, τὴν ὁμογνώμονά σοι,
Τὴν εὔσχημον, τὴν εὔτροπον, τὴν εὔνουν, τὴν ἀνδρείαν,
Ἣν ἐπαινεῖ καὶ Σολομῶν πρὸ τῶν ἐνταῦθα λόγων,
Τὴν εὐγενῆ, τὴν φιλεργὸν [4], τὴν λογικὴν τρυγόνα·
Πῶς ᾤχετο, πῶς ἔῤῥευσε, πῶς ἔσβη, πῶς ἐκρύβη,
Καθάπερ ἄνθος ἐν ἀγρῷ [5] καὶ μετὰ θέρους χλόη,
Καὶ μετὰ νέφος ἀστραπὴ καὶ χνοῦς ἀπὸ τυφῶνος.

[1] Cod. εὑρίσκει.
[2] Fort. τὰ τέρπουνα; vel simile quid.
[3] Fort. τὸ θνήσκειν, τὸ κ.
[4] Sup. LXXIX, 90 : Πλὴν ἡ φιλεργὸς, ἣν Σολομῶν σεμνύνει. Cf. Prov. XXXI, 10.
[5] Psalm. CII, 14.

Ακαδημία Αθηνών / Academy of Athens

Ἄνθρωπος.

Ἔδει σε, φίλη μοι Ψυχή, τῶν ἄλλων ὑπομνῆσαι,
Καὶ τὴν ἐσχάτην συμφορὰν εἰσενεγκεῖν ὑστέραν·
Τὰ γὰρ ἐξαίφνης λυπηρὰ τῶν ἐλπισθέντων χείρω,
Καθάπερ τὴν ἀκήρυκτον τῆς κηρυχθείσης μάχης
Χαλεπωτέραν ἀτεχνῶς οἶδεν ἡ Φύσις κρίνειν·
Ἐπεὶ δὲ ταύτην προὔθηκας, ὦ τῶν ἐμῶν δακρύων!
Καὶ τὴν τοῦ λόγου κεφαλὴν συγνάζειν ἐπιτρέπεις,
Γνώριζε δή μοι τὰς κρυπτὰς τῆς σοθουμένης τρίβους[1]·
* Λαθοῦσα γάρ με τῆς εὐνῆς ἀπέριτος ἐξέδυ,
Καὶ νῦν μαθεῖν ἐπιθυμῶ σοῦ μένει, σοῦ κοιτάζει.

Ψυχή.

Ζητεῖς ἐκείνην κατιδεῖν; τῶν ἀνεφίκτων τοῦτο·
Τῶν γὰρ δεσμῶν τῶν φυσικῶν ὡς ὄρνις ἀποπλῶσα,
Καὶ ψαλμικῶς[2] περισταρᾶς μετάφρενα λαβοῦσα,
Παρὰ τὸν κῆπον τῆς Ἐδὲμ κατέπαυσεν ἀσμένη·
Σὺ δὲ σεζὸς καὶ χαμερπὴς ὑπὸ τῆς ὕλης μένων,
Πῶς φθάσῃς τὴν ὑπόπτερον, σῶς τὴν οὐρανοδρόμον;
Ἄφες τὸν νοῦν τὸν ἄληπτον, ἡ τῆς σαρκὸς σαχύτης·
Ἄφες τὸ σπευῦμα τὸ γοργόν, ἡ γηγενὴς νωθρότης·
Τῆς γὰρ φωνῆς καὶ τῆς στοργῆς οὐκ ἐπιστρέφεταί σου
Μεμνησευμένη τῷ Χριστῷ μετὰ φαιδρᾶς λαμπάδος.

Ἄνθρωπος.

Ἤδειν ἐγὼ καὶ πρότερον, κἂν ἐμαυτὸν οὐκ ἤδειν,
Ὡς καὶ μετὰ τοῦ σώματος ἄληπτος ἦν ἐκείνη·
Χρυσὸς γὰρ ἅπας παρ' αὐτῇ κόνις ἐκρίθη κούφη,

[1] Cod. τρίβου. — [2] Psalm. LXVII, 14.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ κάχληκες οἱ μάργαροι, καὶ τρίβωνες οἱ πέπλοι,
Καὶ τὰ τῆς δόξης φάσματα γαργαλισμοὶ[1] νηπίων
Εἰκότως ἐνομίσθησαν ὑπὸ μεγαλονοίας.
Ποῦ ταῦτα δὴ τὰ θαυμαστά; ποῦ τὰ σεμνὰ πρακτέα;
Σύνες μοι, γύναι, τῆς φωνῆς, ἀποκρίνω[2] συνήθως,
Καὶ τῆς ἐντεῦθεν ἡδονῆς μὴ φθόνει τῷ συζύγῳ·
Πάντως γὰρ οἶδας πειθαρχεῖν, εἴ τι σοι λέγειν εἶχον.

Ψυχή.

Θαυμάζω σου, μικρόψυχε, θυροκοποῦντος μάτην·
Ἡ μὲν γὰρ κεῖται μεταξὺ καθεύδουσα τῶν λίθων
* Ἐκ τῶν πολλῶν τε καὶ θερμῶν τῆς ἀρετῆς ἱδρώτων,
Τοῦ μαλθακοῦ καὶ τρυφεροῦ πεπονηκότος σκήνους·
Σὺ δὲ τοῖς[3] ἔξωθεν αὐτὴν περικτυπεῖς θορύβοις;
Οὐ δέδοικας, οὐ πέφρικας, οὐκ ἠρεμεῖς, οὐ τρέμεις,
Οὐχ ὑποσέλλῃ μετ' αἰδοῦς, οὐ σέργεις τὸ συμφέρον,
Ἀλλὰ θρηνεῖς, ἀλλὰ πενθεῖς, ἀλλὰ κραυγὴν ἐξάγεις·
Σκόπει μὴ τούτοις, βέλτισε, τὴν συμφορὰν αὐξήσῃς
Καὶ δυσφορήσῃ κατὰ σοῦ τῆς γυναικὸς τὸ πνεῦμα.

Ἄνθρωπος.

Ἰδοὺ πικρότερον ἡμῖν τὸν χωρισμὸν εἰργάσω,
Τοὺς θρήνους ἀνακόπλουσα, Ψυχή μου, τοὺς ἐκ βάθους.
Πῶς οὖν ἐξατμισθήσεται[4] καὶ πόθεν ἀπορρεύσει
Τὸ συναχθὲν καὶ παχυνθὲν ἐν τοῖς ἐγκάτοις νέφος,
Ὡσεὶ δαλὸς ἀπὸ καπνοῦ πρὸς ἔξοδον ὁρμήσας
Μετὰ τὴν περιδίνησιν καὶ τὴν φορὰν τὴν κάτω;
Πῶς δὲ τοῦ πάθους μαρανῶ τὴν φλόγα μὴ δακρύσας;

[1] Conf. supra ccxiii, 453.
[2] Leg. ἀπόκριναι.
[3] Cod. τῆς.
[4] Cod. ἐξατμηθήσεται.

Ακαδημία Αθηνών / Academy of Athens

Ὦ ϖίμπραμαι καὶ τήκομαι, δός μοι, Φιλτάτη, δρόσον·
Δεινοπαθῶ, λειποθυμῶ, ζητῶ σε τὴν ὁμόπνουν[1]·
Εἰ δ' οὖν ἄλλο τι γέγονε, μὴ κατοκνήσας λέγειν.

Ψυχή.

Καλὴν ἐκείνην καὶ σοφὴν ἐν γυναιξὶ Φανεῖσαν
Ἀπὸ τῆς γῆς ϖρὸς οὐρανοὺς ὁ ϖλασίουργὸς ἀνάγει·
Πῶς γὰρ εἰκότως[2] Θησαυρὸν λαθόντα καλυΦθῆναι,
Πῶς δὲ τὸν λύχνον τοῦ Φωτὸς ὑπὸ τὸν χνοῦν κρυβῆναι,
Καὶ ϖόλιν οὕτω Θαυμασίὴν ἐπ' ὄρους μὴ τεθῆναι[3],
Κἂν γοῦν ἀποτινάξασα τὸ ϖάχος καὶ τὴν ὕλην
Ἐν τοῖς τῶν ζώντων ὀΦθαλμοῖς ἐῤῥίπισε τὴν κόνιν,
* Ἵν' οὕτω σκαρδαμώτίωσι ϖληρούμενοι δακρύων·
Ἀλλὰ μισεῖ τοὺς κωκυτοὺς ἡ τῆς χαρᾶς ἀξία[4].

Ἄνθρωπος.

Λέγε, Φιλτάτη μοι Ψυχὴ, καὶ ϖερὶ τοῦ λειψάνου,
Καὶ δίδασκε τὴν ἐκτροπὴν τοῦ κάλλους τοῦ συμΦύτου·
Ποῦ τὸ τῆς κόμης εὐπρεπὲς, ἡ τοῦ μετώπου χάρις,
Ἡ τῶν ὀΦρύων τοξικὴ[5] ϖεριγραΦὴ καὶ σίάσις,
Ὁ τῶν ὀμμάτων ἵμερος[6], ἡ τῆς ῥινὸς εὐθύτης,
Τῶν ϖαρειῶν τὸ Φοινικοῦν, ὅπως ἐτρύγα ῥόδον
Ὑδροποτοῦσα[7] νουνεχῶς ἐπὶ τροΦῇ μετρίᾳ,
Τὰ χείλη τὰ διάβροχα τῇ τῶν ἰνῶν ϖορΦύρᾳ,
Καὶ τοῦ τραχήλου τὸ λευκὸν, καὶ τῶν χειρῶν ἡ ϖλάσις,
Καὶ τὰ λοιπὰ τοῦ σώματος ἐκείνου τοῦ ϖαγκάλου.

[1] Supra ccxiii, 340.
[2] Leg. εἰκὸς τὸν Θησ.
[3] Ezech. xxviii, 14.
[4] In hoc decasticho deest versus.
[5] Cf. supra cxxxi, 42.
[6] Cod. ἡ τῶν ὀμμ. ἵμερος.
[7] German. Cpol. cod. Coislin. 278, fol. 481 r°: Καὶ ἅπαξ τῆς ἡμέρας καὶ τοῦτο μετὰ τὴν ἑσπέραν τροΦῆς ἅπτονται καὶ ὑδροποτοῦσι.

Ακαδημία Αθηνών / Academy of Athens

Ψυχή.

Μόνων ἐκείνων τῶν χειρῶν καὶ τῶν χρησίμων ὀμμάτων
Οὐδ' ἅψασθαι τετόλμηκε τῆς τελευτῆς ἡ λώβη.
Ποῦ γὰρ ἐχρῆν τοὺς ὀφθαλμοὺς τῆς σωφροσύνης ῥεῦσαι,
Καὶ γυμνωθῆναι τῆς χλιδῆς τὰς φερεπόνους χεῖρας,
Ἐν αἷς ὑφαίνετο σοφῶς ὁ ποικιλοτρόφος πέπλος; -
Τὰ δ' ἄλλα τεταρίχευται καὶ μένει σεσηρότα[1],
Τῆς φυσικῆς ὑγρότητος ἐξικμασθείσης ἤδη·
Μετὰ δὲ τὸν τῆς σάλπιγγος τῆς τελευταίας ἦχον
Καὶ σάρκες ἀναβήσονται προφητικῶς[2] καὶ φλέβες
Ἐκ τῶν ὀστέων τῶν ξηρῶν καὶ τεταπεινωμένων.

Ἄνθρωπος.

Νῦν ἤδη συντρεχέτωσαν οἱ τραγῳδοὶ τοῦ βίου,
Καὶ τὴν σκηνὴν θρηνείτωσαν πεσοῦσαν τῶν πραγμάτων,
Καὶ τὴν δεινὴν ὑπόκρισιν τῆς τύχης καὶ τὸ δρᾶμα
* Σωφρόνως κωμῳδείτωσαν ἐπὶ χοροῦ[3] συμφώνου·
Τὸ γὰρ ἀσύμβατον αὐτοῦ σημαίνοντες οἱ λόγοι
Τέφραν[4] καλοῦσι καὶ καπνὸν καὶ κόνιν τὰ παρόντα,
Καὶ πλάνην καὶ σκοτόμαιναν καὶ βρόχον καὶ παγίδα,
Καὶ θήρατρον ἀλλόκοτον ἐνέδρας ὑποκρύφου,
Καὶ χείμαρρον[5] ἀφ' ὑψηλοῦ καὶ δρέπανον[6] καὶ σφαῖραν,
Ἢ καὶ πετλὸν καὶ συνεχῆ περιτροπὴν ὀστράκου[7].

Ψυχή.

Ξένον οὐδὲν ὡς ἐκ τῆς γῆς καὶ τῆς ῥευστῆς οὐσίας

[1] Fort. σεσηπότα.
[2] Jerem. VIII, 1.
[3] Cod. χώροῦ (*sic*).
[4] Conf. Boisson. in Pachym. p. 258.
[5] Cod. χείμαρον.
[6] Cod. Par. XIV, 173 : Ἄλλος δὲ καὶ δρέπανον αὐτῷ προσγράφει.
[7] Proverb. Diogenian. VI, 95.

Ακαδημία Αθηνών / Academy of Athens

Πάλιν εἰς γῆν μετὰ ϖολὺ τὴν Φύσιν ὑποσ|ρέφειν·
Φαίνεται γὰρ καὶ κρύπ|εται καὶ τέθηλε καὶ φθίνει,
Καὶ ζῇ καὶ θνήσκει ϖαρευθὺς ἐν ἐφημέρῳ σ|άσει,
Καὶ γίνεται ϖαλίνδρομος[1], καθάπερ ὁ καρκίνος·
Εἰ μὴ γοῦν ὁ ϖρωτόπλασ|ος[2] ἐτρύγησε τοῦ ξύλου,
Καὶ ϖρὸς τὴν γεῦσιν τῆς Φθορᾶς εὐκόλως ἠπατήθη,
(Φεῦ τῆς ϖολλῆς ἁπλότητος καὶ τῆς ἀϖροσεξίας!)
Οὐκ ἂν ὑπερεκάγχαζεν ἐπὶ τοῖς γινομένοις,
Ὡς μῖμος, ὁ Δημόκριτος μαινόμενος ἐμφρόνως.

Ἄνθρωϖος.

Ὀλολυζέτω ϖίτυς μοι, ϖέπ|ωκε γὰρ ἡ κέδρος[3],
Ἣν ηὔξησαν οἱ σ|αλαγμοὶ τῶν ἀφανῶν δακρύων
Ἐν τῷ Λιβάνῳ τῆς ψυχῆς ἠρέμα ϖληθυνθεῖσαν·
Πίτυν δὲ λέγω τὸ θνητὸν ὅϖερ εἰμὶ σαρκίον,
Ἀσ|ήρικτον, εὐτίναχτον, εἰς τὸ ϖεσεῖν ἑτοίμην.
Εἰ γὰρ ἐκείνην τὴν σ|ερρὰν ἀπὸ τῶν ἔργων κέδρον
Ἀνέσπασε ϖροθέλυμνον[4] τῆς τελευτῆς ἡ λαῖλαψ,
Ἐγὼ τί ϖείσομαι λοιπόν; οὐδὲ γὰρ ἔχω βάσιν,
* Οὐ ῥίζαν, οὐδὲ σ|έλεχος, οὐδὲ καρποὺς ἐνδρόσους,
Ὅτι μὴ Φύλλα καὶ Φλοιὸν καὶ σῆψιν κεκρυμμένην.

Ψυχή.

Περι|Φανῶς ἀγανακτεῖς, εἰ καὶ δοκεῖς λανθάνειν.

[1] Cod. Par. CXLIX, 58.

[2] Anon. *De S. Theodoro*, v. 57. German. Cpol. cod. Coisl. 278, fol. 184 v°: Καὶ ἀνατρέχει διανοίας κινήμασι ϖρὸς γῆν ἐκείνην ἣν οἱ ϖροπάτορες τοῦ γένους ἡμῶν καὶ ϖρωτόπλασ|οι ἀῤῥύϖαροι ἐχοροβάτησαν τοῖς ϖοσί. Id. fol. 188 v° et fol. 223 r°: Καὶ οἱ ϖρωτόπλασ|οι ἐϖιϖεφυλλισμένην ἔχοντες τὴν αἰδῶ. Id. fol. 225 r° et 228 r°. Meliten. 149: Τοῦ ϖλασ|ουργήσαντος Θεοῦ ϖάλαι τοὺς ϖρωτοϖλάσ|ους.

[3] Zachar. XI, 2.

[4] Cod. ϖροθέλιμνον. German. Cpol.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γὰρ βουλόμενος θρηνεῖν τὴν Φίλην ὀμευνέτιν
Εἰσάγεις ἐξεπίτηδες τὴν φύσιν τῶν πραγμάτων,
Καὶ μεταξὺ φιλοσοφεῖς καὶ φεύγων ὑποσυρέφεις,
Καὶ κλέπτεις τὴν περίσταsιν τῷ δόλῳ τῶν σκωμμάτων,
Ἀλλ' ἀναισθητεῖς τοῖς ἐμοῖς ἐπ' αὐτοφώρῳ βρόχοις·
Καὶ βούλομαί σε τιμωρεῖν ὑπὸ δεσμοῖς ἀῤῥήτοις,
Εἰ μὴ φιλοσοφώτερον τὴν συμφορὰν ὑποίσεις.
Ἡ μέντοι μεγαλόψυχος[1] ἐκείνη καὶ γενναία
Πάλιν ἡμῖν ὑπόθεσις τοῦ λόγου κατασήτω.

Ἄνθρωπος.

Ῥαινόμενος τῶν λόγων σου, Φίλη Ψυχή, τοῖς μύροις
Ἀναψυχὴν οὐκ ἀγεννῆ[2] λαμβάνω κατ' ὀλίγον·
Ὃ γὰρ ἐζήτουν ἐξαρχῆς τοῦτό μοι πάντα δίδως,
Τὸ περὶ ταύτης δηλαδὴ τῆς ποθουμένης λέγειν,
Ἧς τὰς σειρῆνας εὐχερῶς οὐκ ἔχω παρατρέχειν.
Εἰ γοῦν ἐθέλεις ἀναπνεῖν καὶ φθέγγεσθαι καὶ βλέπειν
Ἐμὲ τὸ σῶμα τὸ θνητὸν ᾧ συνεκράθη πάλαι,
Πεῖθέ μοι τὴν ὁμόζυγον εἰς μέσον παρελθοῦσαν
Ῥῆξαι φωνὴν καὶ πρὸς ἡμᾶς ἑσιῶτας κεχηνότας·
Ναὶ ταύτην, εἴπερ ἐγχωρεῖ, κατάθου μοι τὴν χάριν.

Ψυχή.

Σὺ μὲν ζητεῖς ἀδημονῶν, ἐγὼ δὲ πειθαρχῶ σοι·
Τὴν μέντοι πάλαι σιγηλὴν ἄρτι λαλεῖν ἐργῶδες·

Cod. Coisl. 278, fol. 203 v°: Τῆς ῥίζης προθελύμνου ἀνασπάσθείσης. Adverb. προθελύμνως, quo carent lexica, usurpat Theodorus Alania ap. Mai, *Bibl. nov. Patr.* t. VI, p. 394: Προθελύμνως ταῦτα ἐτέμνομεν.

[1] Unde vox μεγαλοψυχότης ap. Anon. in Jo. Comnenum, cod. Esc. 2, Υ, 10, fol. 418 r°: Περὶ τὰς δόσεις μεγαλοψυχότητος. Quæ vox addenda lexicis. Cf. supra CXXXV, in lemmate.

[2] Cod. ἀγενῆ.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ γὰρ ϖεπαιδαγώγηται καθείρξασα τὴν γλῶτταν
* Καὶ τάξιν ἐν τοῖς χείλεσιν ἐφάνη σταλαμένη·
Πλὴν ἀλλὰ δεῦρο ϖρὸς ἡμᾶς, γύναι φιλτάτη, δεῦρο
Καὶ ζῶσα φθέγξαι καθαρῶς καὶ ϖαραμύθησαί μοι
Τὸν ἄνδρα τὸν ὁμόψυχον εἰ θανατῶντα βλέπεις.
Ἆρα συνῆκας τῆς φωνῆς, ἢ καὶ λοιπὴν ϖροσθήσω;
Δοκῶ γὰρ ἐξυπνίζειν σε μηδὲν ἀγανακτῶσαν [1],
Ἐπεί μοι συνεγίνωσκες εἴ τι καὶ ϖρὶν ἀτόλμως [2].

Ἡ σύζυγος [3].

Τί τοῦτο, φιλοσώματε; τί τοῦτο, μικρολόγε;
Τί με καλεῖς ἐπὶ τὸν χοῦν ἀπὸ τῶν οὐρανίων;
Τί με ϖρὸς σῶμα χαμερπὲς ὀτρύνεις ἀνασταρέφειν;
Τί ϖρὸς τὸ σκότος τῶν ϖαθῶν ἀπὸ φωτὸς ἀδύτου;
Τί ϖρὸς τὸ δεσμωτήριον ἐκ τῆς ἐλευθερίας;
Οὐ δέχομαι τὴν ϖρόῤῥησιν, οὐκ ἀγαπῶ τὴν σχέσιν,
Ἀγανακτῶ ϖρὸς τὴν φωνήν, ϖάλιν ὑπνώττειν θέλω,
Τὸν θόρυβον οὐ δέχομαι, ϖοθῶ τὴν ἡσυχίαν·
Κἂν γὰρ ὁ σύζυγος χρησταὶ ἀπὸ τῶν ϖεπραγμένων,
Ἀλλ' οὔπω μοι γλυκύτερον ὧν ἔσχον μετὰ ϖότμον.

Ψυχή.

Ὑπόμεινον τὴν ϖρόσκλησιν καὶ φθέγξαί μοι ϖολλάκις·
Οὐδὲ γὰρ ἀναγκάζομεν, ἀλλὰ ϖαρακαλοῦμεν
Μὴ δὴ κατάσχῃς μηδαμῶς τοῦ σώματος τὴν δρόσον
Ὕλης ἀπάσης καὶ φθορᾶς ἐφάπαξ ὑπερτέρα·
Σὺ μὲν γὰρ ἴσως τὰ σαυτῆς ἀφιλοκόμπως [4] φράσεις,

[1] God. ἀγανακτῶσαν.
[2] Leg. ἐτόλμων.
[3] Male cod. Ἄνθρωπος.
[4] Supra CVI, 42 : Ἀφιλόκομπος. In Cantacuz. v. 200 : Ἀφιλόκομπός ἐστι καὶ ϖρᾷος φύσει.

Καὶ πρός με τὴν ἀφήγησιν εἰκότως παραθήσεις·
Ἐγὼ δὲ πρὸς τὸν ἄνθρωπον τοὺς λόγους παραπέμψω
Σπουδάζουσα, πρεσβεύουσα, διδάσκουσα τὸν τρόπον·
Ἴσθι γὰρ ἄν τι δύναιτο λυσιτελὲς εὑρίσκειν,
Εἰς[1] τοῦτον πορευόμενος μέχρι τινὸς τὸν βίον.

Ἡ σύζυγος.

* Φιλενδεικτεῖν[2] με πρὸ καιροῦ μὴ νόμιζε κειμένου,
Οὐ μὰ τὴν ἄνω δύναμιν, οὐ μὰ τὴν κάτω νόσον,
Οὐ μὰ τὴν κάτω κίνησιν, οὐ μὰ τὴν ἄνω στάσιν·
Ἐπεὶ δὲ τὰ συντείνοντα μανθάνειν ἱκετεύεις,
Ἄκουε δὴ μετὰ σιγῆς καὶ πόρθμευε τοὺς λόγους·
Εἰ μὴ ῥᾳθύμως πρὸς αὐτοὺς καὶ μικροψύχως ἔχεις,
Μεγάλη καὶ δυσέκνιπλος[3] ἐν τοῖς ἥνητοῖς ἡ πλάνη
Τοῖς ἀναισθήτοις καὶ τυφλοῖς καὶ φαύλοις καὶ προσφάτοις,
Φεῦγε, Ψυχὴ ταλαίπωρε, τὴν ἐν τῇ ψάμμῳ στέγην,
Καὶ μὴ ληφθῇς ἐν τοῖς δεσμοῖς τῆς ὑποσπώσης ὕλης.

Ψυχή.

Χάριν εἰσόμεθα πολλὴν εἰ σαφηνίζεις[4] τάδε,
Καὶ μὴ καθάπερ αἴνιγμα τὴν φράσιν ἐπικρύπλεις·
Οἱ γὰρ νοσοῦντες χαλεπῶς κωφεύουσι πολλάκις,
Καὶ δεῖ συχνῆς τε καὶ τρανῆς τῆς ἐπὶ τούτοις γλώττης·
Εἰ δὲ παθοῦσα τὴν σιγὴν μακρηγορεῖν οὐ θέλεις,
Εἰπὲ λακωνικώτερον τὸν περὶ τούτων λόγον,
Καὶ πάλιν ἔχου τῆς εὐνῆς καὶ τῆς Ἐδὲμ τῆς φίλης,

[1] Cod. εἰ, et mox Ἄνθρωπος.

[2] Unde φιλένδεικτος ap. German. Cpol. cod. Coisl. 278, fol. 203 r°: Καὶ ὑπόσλεγοι τὸ θεατρικὸν ἐκφεύγουσαι καὶ φιλένδεικτον. Et φιλενδεικτικὸς ap. eund. fol. 124 r°: Τὸ ἀδόλεσχόν τε καὶ περιττὸν ἀποπλύων ὡς φιλενδεικτικὸν καὶ ἀνθρωπάρεσκον.

[3] Cod. male δυσύκνηπλος.

[4] Cod. σαφηνίζει.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῆς ἀρίστης ἀμοιβῆς τῶν προκατωρθωμένων [1],
Καὶ τοῦ νυμφῶνος τῶν ψυχῶν καὶ τῆς τρυφῆς τῆς ξένης·
Οὐδὲ γὰρ δυσφορήσομεν οὐδὲ χαλεπανοῦμεν.

Ἡ σύζυγος [2].

Ψυχὴ καθάπερ ἔμβρυον εἰς τὸν τῆς μήτρας γνόφον
Στενούμενον σφιγγόμενον θλιβόμενον χρονίζον,
Εἶτα πρὸς φῶς ὑπεκδραμὸν [3] ἀγανακτεῖ καὶ κλάει·
Τὸν γὰρ ἐνταῦθα πλατυσμὸν οὐκ οἶδε πρὸ τῆς πείρας.
Οὕτω καὶ πᾶς τις ἄνθρωπος ταῦτα βελτίω κρίνων
Πρὸς τὴν ἐκεῖθεν ἔλλαμψιν δυσαρεστεῖ πολλάκις·
Εἰ δὲ σαφῶς ἠπίστατο πῶς ἔχει τὰ τοῦ τέλους,
Καὶ τὰ μὴ μεταπίπλοντα καὶ τὰ λυσιτελοῦντα,
Τούτων ἂν πάντως τῶν φθαρτῶν ἐμφρόνως ἀπεπήδα,
Καὶ τοὺς δεσμοὺς τοὺς ἐμπαθεῖς ἐῤῥήγνυ παραυτίκα.

Ἄνθρωπος.

Ὦ χαῖρε, φίλη μοι Ψυχή, καὶ ζῆθι καὶ φαιδρύνου,
Καὶ συναντιλαμβάνου [4] μοι τῆς περὶ ταῦτα γνώμης,
Ὅτι συνῆκα τῆς φωνῆς τῆς μελιχρᾶς ἐκείνης,
Ὅτι κατέγνων τῶν τῆς γῆς πραγμάτων ὡς ἀστάτων,
Ὅτι φιλοσοφώτερον ἄρτι λαμβάνω βίον,
* Μὴ στερηθῶ τῶν ἀγαθῶν τῶν περὶ τὴν ὁμόπνουν·
Ἄλλοις [5] ὁ κόσμος πονηρὸς, ἄλλοις ὁ φροῦδος τῦφος,
Ἄλις ἐμοὶ τῶν κωκυτῶν [6], ἄλις ἰδοὺ τῶν θρήνων·

[1] Cod. προσκατορθωμένον.

[2] Cod. Ἄνθρωπος et infra Ψυχή.

[3] Cod. ὑπεκδραμών.

[4] Supra xcv, 31 : Ἔπρατες ἃ χρὴ καὶ συναντελαμβάνου. Vid. Philon. Carpath. in Cantic. p. 210. Cod. Coisl. 110, fol. 53 r°; cod. Par. 396, p. 671; *Spicil. Rom.* X, p. 209, part. 2ª; Bolland. Sept. t. VIII, p. 395.

[5] Ludere videtur in verbis ἄλλοις et ἄλις quæ eumdem habebant sonum.

[6] Cod. κοκυτῶν.

Παιδαγωγείτω μοι λοιπὸν ἐπὶ τοῖς ἀβουλήτοις
Καὶ ῥυθμιζέτω μοι τὸν νοῦν τῆς γυναικὸς ἡ μνήμη [1].

* CCXVI. Εἰς τὸ λείψανον τῆς ἁγίας Καλῆς.

Ὁ ϖῆχυς οὗτος τῆς Καλῆς τῆς ὀλβίας,
Ὃ τοὺς μίτους [2] ἔνηθε τῆς εὐποιΐας.

CCXVII. Εἰς λείψανον τοῦ ἁγίου Παύλου [3].

Τοῦ σοῦ ϖοδὸς λείψανον, ὦ Παῦλε, βλέπων
Τοὺς ὑπὲρ ἡμῶν ϖροσκυνῶ [4] τούτου δρόμους.

CCXVIII. Στίχοι εἰς λίθον ἀμίαντον ἔχοντα ἐγγεγλυμμένην τὴν Χριστοῦ γέννησιν καὶ ἄνωθεν τὸν Χριστὸν λεμίον [5]. Τοῦ Ἁγιοαναργυρίτου [6].

Τιμῶ σε, λίθε, κἂν μικρὸς μὲν τὴν ϑέαν,
Ἀλλὰ τὸν ἀχώρητον ἐντὸς εἰσφέρεις·
Ἀλλ' ὡς ἀληθῶς ἀμίαντος τυγχάνεις,
Τὴν ἀμίαντον ἐντυποῖς [7] γὰρ μητέρα,
Ἣν ϖαρθένον σύνοιδα, κἂν λεχὼ βλέπω
Βρέφος ϑεὸν κύουσαν, ὢ ξένου τόκου!

CCXIX. Ἕτεροι.

Ἡ ϖαρθένος [8] ἄφλεκτος [9] ὡς ϖρὶν ἡ βάτος,

[1] Pro ἡ μνήμη male ὕμνημεν in cod. M.

[2] Conf. cod. Par. CXXXIII, 1 et 7. *De animal.* 1467 : Μίτους νήθουσι κερκίδος δίχα.

[3] Conf. supra XXII.

[4] Cod. προσκυνῶν.

[5] An τὸ Χριστοῦ λεμίον? Hesych. Λεμὸς, λάρυξ, φάρυγξ et supra s. v. Λαιμός. Pro *stomacho* ab Homero usurpatum tradit Jul. Pollux II, 4. Apud nostrum vero *vultu*, seu *effigie*. Jo. Malal. X, p. 265, 1 : Στηθάριν μολιβοῦν, ἔχοντα λεμὶν τοῦ Ἄρεως · ubi λεμίν pro λεμίον. Sed ap. nostrum fort. leg. τὸν Χριστὸν ἀέριον.

[6] Fort. monachus τῶν Ἀναργύρων.

[7] Cod. ἐν τυποῖς.

[8] Contra metrum, ut CCXX, 1. Fort. Ἡ ϖαρθένος γ' ἄφλεκτος.

[9] Supra XC, 4 : Πῦρ ἐνθέου χάριτος ἀφλέκτως δέχου.

Ακαδημία Αθηνών / Academy of Athens

Κἂν μητρικῶς γεννᾷ γάρ ἐστι ϖαρθένος·
Πιστὸν τὸ Θαῦμα τοῦτο κράζει καὶ λίθος,
Τὴν ἀμίαντον δεικνύων ταύτης Φύσιν·
Σεβάζομαι γοῦν τοῦ τόκου τὴν εἰκόνα.

* CCXX. Ἕτεροι.

Λειμὼν ὁ λίθος ὡς Φυτὸν Χριστὸν ἔχων,
Ῥίζα δὲ τούτου μητροπάρθενος[1] κόρη·
Ὁρῶν τὸ Φυτὸν γνωστικῇ Θεωρίᾳ
Μάθῃς τὸ Θαῦμα τοῦ ξένου μυστηρίου·
Ἐκθλαστάνει γὰρ τὴν βροτῶν σωτηρίαν
Θεὸς κυηθεὶς ὡς βροτὸς νέον βρέφος.

CCXXI. Ἕτεροι.

Ὡς εὖ γέ σοι γένοιτο, χεὶρ λιθοξόου!
Τὸν γὰρ ἀχειρότμητον ἐξ ὄρους[2] λίθον
Ἐν ἀμιάντῳ τῇ λίθῳ διαγράφεις,
Ἐξ ἀμιάντου ϖαρθένου ϖροηγμένον.

* CCXXII. Εἰς τὴν Χριστοῦ γέννησιν[3].

Χριστὸς[4] τὸ τεχθὲν, ἡ τεκοῦσα ϖαρθένος,
Σπορᾶς ἄνευ σύλληψις, ἄφθορος τόκος·
Τοῖς γὰρ ἀτεχνῶς σωστικοῖς ἐναντίοις
Ἔδει λυθῆναι τοῖς βροτοῖς τἀναντία.

* CCXXIII. Εἰς τὴν ἀνάληψιν.

Ἐν γῇ Χριστὸς[5] χθὲς, καὶ βροτὸς νῦν ἐν ϖόλῳ·

[1] Cod. Par. CCIV, 2.

[2] Alludit ad prophetiam Danielis de Christo ex somnio Nabuchodonosoris ductam, II, 34 et 45.

[3] In meo *Catal. codd. Esc.* p. 43. Carmina CXXII — CCXLI ex apographo amici Read.

[4] Al. Θεὸς pro Χριστός.

[5] Metrum vitiatur. Fort. Ἐν γῇ Θεὸς χθές.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ θαῦμα διπλοῦν, καὶ τὸ δὴ μεῖζον τόδε·
Παρὼν γὰρ εἰς γῆν οὐ μεθῆκε τὸν πόλον,
Ἐκεῖ δὲ παρὼν οὐ κενοῖ τὴν γῆν πάλιν.

* CCXXIV. Εἰς εἰκόνα τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἐκ προσώπου τοῦ πρωτοστράτορος τοῦ Γλαβᾶ.

Ὦ πνεῦμα καὶ φῶς καὶ πυρὸς μένος φλέγων [1],
Ὡς πνεῦμα τὸν νοῦν, ὡς δὲ φῶς τὴν καρδίαν,
Ἀναψύχον φώτιζε καὶ ῥύθμιζέ με,
Καὶ τῶν παθῶν μου τὴν κακὴν ὕλην φλέγε.
Τὴν πίστιν ἀθρεῖς, τὸν χρυσάργυρον βλέπεις·
Τί λείπεται γοῦν εἰς τιμὴν τῆς εἰκόνος;
Ὁμώνυμός σοι τὴν τιμὴν πρωτοστράτωρ [2]
Δούκας ὁ Γλαβᾶς ἐκ ψυχῆς τάδε γράφει.

* CCXXVI [3]. Εἰς εἰκόνα τοῦ μεγάλου Γεωργίου καὶ τοῦ ἀρχιστρατήγου.

Ἐξ οὐρανῶν ὁ μάρτυς ἱππεὺς ὁπλίτης·
Εἰ δ' οὐκ ἔχει κίνησιν, οὐδέν τι ξένον,
Ὅπου γε καὶ νοῦς ἐν πλεροῖς [4] ὢν οὐ τρέχει·
Πλὴν ἔστιν ἀμφοῖν μυστική τις ὀξύτης.

* CCXXVII. Εἰς εἰκόνα Χριστοῦ δι' ἰνοκοπίας [5] τὸν ἱματισμὸν ἔχοντος.

Ὁ πάντα κοσμῶν καὶ πρὸ τῶν χρόνων μένων
Εἶδος βρεφικὸν ὡς βροτὸς πλήρης φέρεις
Ἐν ἱματισμῷ [6] ψαλμικῶς διαχρύσῳ,
Κοσμῶν ἀτεχνῶς τὴν βροτῶν ἀκοσμίαν.

[1] Leg. φλέγον.
[2] Apogr. πρωτοστράτορ.
[3] Num. ccxxv jam supra editum sub num. cxcii quod vid.
[4] Conf. cod. Par. x, 15.
[5] Vox addenda lexicis. Theod. Stud. *Ep.* lib. II, 68 : Οἶδα τὰς ἰνοκοπίας τῆς ψυχῆς. Interpres : «Novi quot animo molestias hauseris.» Cf. cod. Par. cxiv.
[6] Psalm. xliv, 11.

* CCXXVIII. Εἰς τὴν σταύρωσιν, τοῦ Λωπαδιώτου ἐκείνου κυρίου Ἀνδρέου [1].

Θεὸς κλονεῖται καὶ κλονεῖ πᾶσαν κτίσιν,
Μύει τὰς κόρας καὶ σκοτίζει φωσφόρους,
Καὶ νεκρὸς ὀφθεὶς τοῦ Σατὰν νεκροῖ κράτος.

CCXXX [2]. Εἰς εἰκόνα δεσποτικὴν ἔχουσαν ἐν τῇ περιφερείᾳ μαργάρους εἰς ἀέρα μέλανα πεπηγότας.

Ὡς μαργαρίτην τὸν θεάνθρωπον μέγαν
Γραφέντα λεπτοῖς ἀγλαΐζω μαργάροις
Χέας ὑπ' αὐτοὺς ἐκ βαφῆς εἶδος μέλαν,
Ὡς ἂν τὸ βαθὺ τῶν παθῶν φύγω σκότος [3].

* CCXXXI. Εἰς τὴν θεοτόκον ἢ παρεισληλυθεισαν ἄγγελοι ἐκ λίθου πεποιημένοι.

Τοῦ σοῦ τόκου τὸ θαῦμα, σεμνὴ παρθένε,
Κἀν τοῖς τύποις οὐχ ἧττον εὑρέθη ξένον·
Τί γὰρ ἂν ἄλλο τοὺς ἀΰλους ἀγγέλους
Τοὺς ἐξ ὕλης ἤμειψεν εἰς λίθου φύσιν;

* CCXXXII. Εἰς τὸ Ἀναστάσεως ἡμέρα.

Τί τοῦτο; καὶ φῶς καὶ ψυχῶν ἔαρ [4] βλέπω.
Καὶ γὰρ ὁ χειμὼν [5] τῆς φθορᾶς ἀπερρύη,

[1] In cod. Mon. n° 198, *Catal.* t. II, p. 284 sqq. exstant epistolæ cujusdam anonymi ad Lopadiotam D. Andream (τῷ Λοπαδιωτῇ κυρῷ Ἀνδρέᾳ) et responsoria Lopadiotæ. Vs. 2 post μύει fort desunt quædam.

[2] Ne quæras n° ccxxix, supra jam editum p. 5, VIII, ex cod. Esc. In cod. Flor. hoc lemma : Εἰς εἰκόνα ἔχουσαν τὴν ὑπαπ., ἐν δὲ τῇ περ. προφήτας. Vs. 12 pro ἐφρίκεται leg. ἐφέλκεται ex eod. cod.

[3] Supra CXCVIII, 174.

[4] Cf. cod. Par. XIII, 140.

[5] Cf. supra XLV, 14.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ πάντα Φαιδρᾶς εὐποροῦσιν αἰθρίας·
Τὰ γὰρ νέφη[1] παρῆλθε τῆς ἀθυμίας·
Καὶ γίνεται μὲν εὐπρεπὴς ὁ νυμφίος,
Ἀνίσταται δὲ καὶ σκυλεύει τοὺς τάφους,
Καὶ δείκνυται φῶς καὶ διώκει τὸ σκότος·
Καὶ κτείνεται μὲν τῆς φθορᾶς ὁ προσλάτης,
Συντρίβεται δὲ τῆς ταφῆς τὰ μοχλία,
Συνείρεται δὲ τῶν μελῶν ἡ σαπρία,
Γλυκαίνεται δὲ τῶν ψυχῶν ἡ πικρία·
Καὶ φλὲψ ἀμυδρὰ καὶ ῥυεῖσα μακρόθεν
Νῦν αἷμα ποιεῖ καὶ δροσίζει τὴν Φύσιν·
Ὀστοῦν δὲ νεκρὸν ἐν βραχεῖ σάρκας Φύει,
Καὶ ζῇ τὰ νεκρὰ καὶ πνοὴν αὖθις βρύει·
Ἀνοίγεται δὲ συμπεσὸν πάλιν στόμα,
Λαλεῖ δὲ νεκρὸς ἐκ ταφῆς ἀνηγμένος,
Ἐντείνεται δὲ καὶ σφριγᾷ πρὸς ἐλπίδα·
Ψυχαὶ δὲ τὸ πρὶν ταῖς σοροῖς καθειργμέναι,
Καὶ παρὰ τοῖς σώμασι κατῳκισμέναι,
Νῦν ἐκλυθεῖσαι τῆς σκιᾶς καὶ τοῦ γνόφου
Καὶ τῆς ἐν αὐτῷ νεκρικῆς δυσοδμίας
Ἀκωλύτως τρέχουσιν εἰς Ἐδὲμ τόπους·
Καὶ πᾶσα λοιπὸν ἡ σπορὰ τῶν λειψάνων
Εἰς ἀναβρασμοὺς καὶ γονὰς ὑπεκτρέχει.
Οὐδεὶς Γαληνὸς ἐξορίζει τὰς νόσους,
Οὐδεὶς παρ' ἡμῖν Φαρμακεὺς Ἱπποκράτης,
Οὐδεὶς Φυσικοῦ συγγραφεὺς λόγου Πλάτων·
Ληρεῖ γὰρ αὐτὸς καὶ καθεύδει Σωκράτης

[1] Cod. Vat. xxix, 53 : *Ὠθεῖς τὰ πυκνὰ τῆς ἀθυμίας νέφη*. Pisid. *Hex.* 8 : *Οὐδὲν γὰρ οὕτως ὡς ἀθυμίας νέφος Χειμῶνα γεννᾷ*. Ephr. Syr. t. III, p. 527 et 552. Anon. ap. Cram. *An. Par.* t. IV, p. 289 : *Καὶ πᾶν καθαίρει τῆς ἀθυμίας νέφος.*

Ακαδημία Αθηνών / Academy of Athens

Πρὸς τὴν μετεμψύχωσιν οὐκέτι βλέπων.
Ἔχω ϖαρόντα Πέτρον, ὃς λύει νόσους·
Ἔχω γραφέντα[1] Παῦλον, ὃς Θραύει ϖόνους·
Ἔχω σοφοὺς κήρυκας ἐξ ἀγραμμάτων.
Τὸ γὰρ ἔαρ ϖάρεσΙι τῆς ἐγέρσεως,
Ὃ καὶ γυναῖκες εἶδον ὡς χελιδόνες,
Καὶ νῦν ϖεριλαλοῦσι τοὺς ἀποσΙόλους
Ἀηδόνας φανέντας ἀντὶ τετΙίγων.
ΛευκόπΙερος[2] δ' οὖν ἄγγελος κύκνου τρόπον
Εὐαγγελικὰς ὀργάνοῖ μελουργίας,
Οὗ λαμπρὸν ἀπήχημα καὶ τὸν νοῦν Λόγον
Εἶναι νομίζων εὐλόγησον, δέσποτα.

* CCXXXIII. Εἰς τὸν μέγαν ἄρχοντα τὸν Ῥαούλ.

Κριθὰς, ἀρισΙεῦ, τοῖς ἐμοῖς ἵπποις ϖρόες·
Τρεῖς γὰρ ϖαρῆλθον ἅμα νυξὶν ἡμέραι
Καὶ βρῶσιν αὐτοῖς οὐδαμῶς ἤνεγκέ τις·
Ἂν οὐχὶ καὶ σὺ, Φράζε μοι δὴ τί δράσω.

CCXXXIV. Εἰς τὸν αὐτοῦ Θεράποντα.

ἙσΙῶτα καὶ γελῶντα καὶ βλέποντά με
Τὸν ἀγαπητὸν οὐκ ἀγαπῆσαι Θέλω·
Μισῶ γὰρ αὐτὸν ὡς ἀγεννῆ[3] δορκάδα
Καὶ κάνθαρον καὶ ϖΙῶκα καὶ φαύλην φύσιν.

CCXXXV. Εἰς τὸν Κυζίκου.

Ἐν Κυζίκῳ τὸν οἶνον ἀφθόνως ϖίνειν
Οὐδέν τι καινόν· ἐν δὲ τῇ Βυζαντίδι
Καὶ μάλα καινὸν, Θαυμάσιε δέσποτα.

[1] Leg. γράφοντα. — [2] Cf. cod. Esc. xc, 6. — [3] Cod. ἀγενῆ.

Τὸν [1] Κυζικηνὸν τοιγαροῦν γλεῦκος δίδου
Διψῶντα σαφῆ μὴ ϖαρατρέχων φίλον.

* CCXXXVI. Πρὸς τὸν ἡγούμενον τῆς μονῆς τοῦ [2] Ἐφέσου.

Τὸ σακκίον ϖέπομφα, τὸ κτῆνος βλέπεις·
Ὁ ϖαῖς ϖαρεσλώς· τοιγαροῦν, ὦ δέσποτα,
Προΐκα χορηγὸς ἀντὶ χρησλῆρος γίνου,
Τοὺς κριθίνους μάλισλα φαυλίζων φίλους.

CCXXXVII. Εἰς τὴν δευτέραν ϖαρουσίαν.

Σοφόν τι ϖοιῶν ὁ γραφεὺς δεῦρο, ξένε,
Πραὺν δικασλὴν τὸν Θεόν σε [3] δεικνύει,
Σιγῇ δὲ κοσμεῖ τὰ σχεδὸν ζῶντα σλίφη,
Ὡς ἂν ϖροσελθὼν ἀκριβῶς ϖάντα βλέπῃς
Καὶ μὴ διασλῇς ἐκπλαγεὶς τῇ συγχύσει.
Πλὴν εἰ ϖρὸ καιροῦ τὴν Θεοῦ κρίσιν τρέμεις
Ὁρῶν ἀμυδρὰς τοῦ Θυμοῦ τὰς ἐμφάσεις,
Τί χρή σε ϖαθεῖν εἰ Θεὸς ϖάντα κρίνων,
Καὶ ζῇ τὰ νεκρὰ καὶ τὸ ϖῦρ τοῦτο βρέμει;
Ὥσλε βλέπων ῥύθμιζε, ϖισλὲ, τὸν βίον.

CCXXXVIII. Εἰς τὸν μέγαν σακελλάριον τὸν Καππάδοκα [4].

Ἄμμον Θαλασσῶν, ὑετῶν τε σλαγόνας,
Φυλλῶν ἀριθμὸν εἰς ἔαρος ἡμέρας,
Τῶν ἀσλέρων ὅμιλον ἀλλ' [5] εἰς αἰθρίαν
Ῥᾴον διεξέλθοι τις ἢ τὰς ἀπλέτους
Εὐεργεσιῶν τῶν τοσούτων ϖλημμύρας [2],

[1] Fort. τό pro τόν.
[2] Fort. τῆς μονῆς τῆς Ἐφ.
[3] Leg. σοι δεικνύει.
[4] Fort. idem ac ὁ Καππαδόκης qui infra CCXLV μέγας οἰκονόμος dicitur.
[5] Fort ἄν. Mox apogr. διεξέλθη.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ τῶν ἀπείρων δωρεῶν τὰς ἐκχύσεις[1],
Ἃς ἐκκενεῖς μοι πλεισλάκις τῆς ἡμέρας,
Φροντισλά μοι καὶ μέγα σακελλάριε.

* CCXXXIX. Εἰς τὸν μέγαν στρατοπεδάρχην τὸν Ῥαούλ[2].

Ἅπασαν ἀφεὶς νῦν περιτλὴν Φροντίδα
Τοὺς Θαλάμους πύκαζε τῶν σῶν φιλτάτων,
Καὶ τὴν παλαιὰν τῶν καλῶν φίλων σχέσιν
Ὡς ἡδὺς ἐγκαίνιζε τοῖς ἔργοις φίλος·
Μᾶλλον δὲ τοὺς θλίβοντας ἀῤῥήτως πόνους
Ὡς βαρβάρους ἔξελε[3] τῶν φιλουμένων
Χρυσᾶ κατ' αὐτῶν συμπαθῶς ῥίψας βέλη.
Καὶ τίς γὰρ ὡς σὺ, κἂν λαλεῖν ἴσως θέλῃς,
Κἂν ἔργα ποιῇς, ὁ χρυσοῦ κρείτλων φίλος,
Ὁ καὶ στρατηγὸς καὶ πολὺς ὢν ἀγχίνους,
Καὶ φιλίας δύναμιν ἡμῖν ἐγχέας
Ἦν οὐδ' ὁ μακρὸς Φαυλιεῖ δήπου χρόνος;

* CCXL. Εἰς τὸ βιβλίον ὅπερ ὠργάνωσεν Δομεστίκῳ τῷ Ἀτζύμῃ.

Τῷ τῶν θεμάτων τῆς ἕω Δομεστίκῳ,
Τῷ παντοδαπῷ τῶν χαρίτων ὀργάνῳ
Φιλῆς Μανουὴλ ὀργανῶ τὸ βιβλίον,
Ἐνταῦθα συνθεὶς ἐξ ἐράνου[4] τὸν φόρον·
Ἔχοι γὰρ ἂν ἥδυσμα τὴν εὐρυθμίαν
Εἴ πως ἄγοι καί τινα ῥᾳστώνης χρόνον
Ὁ νοῦς ὁ πυκνὸς ὁ γλυκὺς πάντων πλέον,
Ὃν ἔσχον ὀξὺν δυσπραγῶν εὐεργέτην,
Καὶ δεύτερον φῶς καὶ πνοὴν καὶ καρδίαν,

[1] Ephræm. 32 : Φιλοδωρίας χύσις.
[2] Cf. infra CCXLIV.
[3] Fort. ἔξαιρε.
[4] Apogr. ἐξεράνου.

Ακαδημία Αθηνών / Academy of Athens

Ἀφ' οὗπερ αὐτῆς ἐκπεσὼν τῆς πατρίδος
Εἰς τὴν βασιλεύουσαν ἐρρίφην πόλιν.
Πλὴν εἴπερ ἐξῆν καὶ ψυχὴν καὶ σαρκίον
Αὐτῷ παρασχεῖν, οὐδαμῶς ἂν ἠχθόμην·
Νυνὶ δὲ τἄλλα πάντα μετρίως ἔχει
Κἂν αὐτὸς ὢν ἄριστος ἡδέως φέρῃ,
Καὶ τὸν πρὸς ἡμᾶς εὐμενῆ στέργῃ τρόπον
Ὁ τὴν περιθρύλλητον ἐξ ἔργων φύσιν
Δεικνὺς λογικῶν εἰσφορῶν ὑπερτέραν.

— (?) * CCXLI. Εἰς τοὺς ἁγίους τεσσαράκοντα.

Χειμὼν τὸ λυποῦν, σὰρξ τὸ πάσχον ἐνθάδε·
Προσχὼν ἀκούσεις καὶ στεναγμοὺς μαρτύρων·
Εἰ δ' οὐκ ἀκούσῃ [1], καρτεροῦσι τὴν βίαν
Πρὸς τὰ στέφη βλέποντες οὐ πρὸς τοὺς πόνους.

—CCXLII. Εἰς τὸν ἅγιον Θεόδωρον τὸν στρατηλάτην, τοῦ Προδρόμου [2].

Κατὰ σκοποῦ βάλλουσι τῶν σῶν ὀμμάτων
Οἱ τοξόται μείρακες, ὦ στρατηλάτα,
Καὶ ταῖς μὲν ἐκτὸς καμμύεις λοιπὸν κόραις,
Ταῖς δ' ἐντὸς ὀξὺ τὸν ποθούμενον βλέπεις.

CCXLIII. Εἰς τὴν ἁγίαν Μαρίαν τὴν Αἰγυπτίαν [3].

* Ὁ νοῦς τὸ σῶμα πρὸς πόλον βιάζεται,
Ἡ γῆ καθέλκει δεικνύουσα τὴν φύσιν·
Θεὸς δικάζων ἀέρος κρεμᾷ μέσον [4].

[1] Apogr. *οὐ κἀκούσῃ*.

[2] In cod. Vat. fol. 274 v° cum hoc titulo: *Εἰς τὴν ὑπὸ μειρακίων κατ' ὀφθαλμῶν τοξείαν*.

[3] Edidit Fr. Creuzer in not. ad Plotin. *De pulcr.* p. 224. Vs. 1–3 in meo *Catal. Codd. Escur.* p. 46 cum hoc lemmate: Τοῦ Προδρόμου *εἰς τὴν ὁσίαν* Μαρίαν. Exstat et in cod. Par. 1630, fol. 133 r°.

[4] Fort. deest versus.

Τί τάχα [1] θάπλεις, Ζωσιμᾶ, τῆς Μαρίας;
Τὸν νοῦν; τὸ φῶς ὕψωσε τῆς θεωρίας,
Τὸν χοῦν; τὸ πῦρ ἔφλεξε τῆς ἀσιτίας·
Σκιὰν μόνην κάλυπλε τῆς Αἰγυπλίας.
Ἔχει πάχος τι καὶ τὸ χρῶμα, ζωγράφε,
Πρὸς τὸ σκιῶδες σῶμα τῆς Αἰγυπλίας·
Εἰ γοῦν πρὸς ἐμφέρειαν ταύτην ἐγγράφεις,
Ἀφεὶς τὸ χρῶμα γράφε πρὸς ἀϋλίαν·
Εἰ δ' οὐκ ἐφικτὸν τῇ τέχνῃ οὕτω γράφειν,
Τὴν ζῶσαν ὡς ἄϋλον ὕλῃ μὴ γράφε.
Σκιὰν σκιᾶς ἔγραψας, ὦ χεὶρ ζωγράφου·
Σκιὰ γὰρ ἦν τὸ σῶμα τῆς Αἰγυπλίας
Λεπλυνθὲν ὡς ἄϋλον [2] ἐξ ἀσιτίας·
Καὶ θαῦμα λοιπὸν πῶς σκιὰν σκιᾶς γράφεις.

CCXLIV. Εἰς τὸν προρρηθέντα Ῥαούλ [3].

Λεία Μυσῶν [4] εἴργασλο Ἄγαρ [5] ἐσλία
Τανῦν ἀληθῶς, κατὰ τὴν παροιμίαν.
Πλὴν οὐκ ἐν Μυσοῖς οὐδ' ἐκ Μυσῶν τὰ σκύλα,
Ἀλλ' ἐκ παλάμης ἀνδρικῆς τῶν Αὐσόνων.
* Καὶ γὰρ ὁ γλυκὺς καὶ λαμπρός μου Φωσφόρος
Ὁ δημαγωγὸς τῶν καθ' ἡμᾶς πραγμάτων,
Καὶ μηχανουργὸς τῶν μεγαλουργημάτων [6],
Καὶ συντελεσλὴς τῶν ἀρισλουργημάτων [7],

[1] Vs. 4-17 Creuzer loc. cit. sub nomine Προυσούχ et cum multa varietate.

[2] Cod. Esc. et Creuz. ἄσαρκον.

[3] Poema a barbaro interpolatore pessime habitum.

[4] Ad Eunapium, p. 483, hoc proverbium illustravit Boisson.

[5] Band. ἄγαν.

[6] *Græc. Orthod. Monum.* t. III, p. 38, ed. Bandini. Germ. Cpol. cod. Coislin. 278, fol. 145 v°: Δεύτερά μοι τὰ πρῶτα θεοῦ μεγαλουργήματα.

[7] Xanthopul. *Synaxar.* cod. Paris. 1585, fol. 15 r°: Καὶ εἶδεν ἄν τις πα-

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ συντομουργὸς [1] καὶ δρομεὺς καὶ γεννάδας
Καὶ χειραγωγὸς τῶν ἐν μέσοις κινδύνοις,
Τὴν ἀξίαν μέγιστος ἄρχων ἐφάς
Καινήν τινα τήμερον ἴσῃσι νίκην
Τῶν καθ' Ἰσμαὴλ συμμάχων καὶ προμάχων.
Καὶ γὰρ ὑπελθὼν τὰς σκηνὰς καὶ καλύβας,
Καὶ τὰς σιενωπουὺς ὑπερβὰς ἀκρωρείας,
Καὶ πᾶσαν ἁπλῶς τεγανώδη γῆς λόχμην
Στερῤῥῶς διελθὼν καὶ κείρας καὶ συμφθείρας
Ἐχθρῶν κεφαλὰς ἐκτεμὼν ἐν ἐκσιάσει,
Συχνὴν ἐπαγόμενος τὴν λείαν ἦκε,
Γίγαντα ὑπέροφρυν [2] καὶ γαυριῶντα
Συγκάμψας [3] τολμήματι τῆς εὐανδρίας,
Ἔχων πρὸς ταῦτα συμμερισιὰς τῶν πόνων
Τὸν αὐθόμαιμον τὸν Ῥαοὺλ τὸν ἀγχίνουν,
Τὸ θαῦμα καὶ θέλγητρον τῆς [4] εὐφυΐας,
Καὶ βλύσμα τερπνὸν τῆς καλῆς εὐτολμίας·
Καὶ δὴ τὸν υἱὸν τὴν ταχυδρόμον [5] φύσιν,

ράδοξον ἀρισιούργημα τῆς πανάγνου Θεομήτορος. Germ. Cpol. cod. Coislin. 278, fol. 163 v° : Καὶ τούτων τὰ πρόσωπα ἱλαρύνονται τῇ ἀρισιουργίᾳ.

[1] Vox addenda lexicis.

[2] Eustath. *Opusc.* p. 11, 61 : Ἀλλὰ κατὰ πᾶν τὸ περὶ αὐτὸν ὑπέροφρυ. German. Cpol. cod. Coisl. 278, fol. 149 r° : Καὶ ὁ μὲν ἀλαζὼν καὶ ὑπέροφρυς βαλλέτω κάτω τὴν ὀφρὺν καὶ συσιελλέτω τὸ φρόνημα.

[3] Cod. συγκάψας.

[4] Fort. ἐξ pro τῆς ut infra v. 51.

[5] Supra 1, 181. Anon. cod. Paris. 1277, fol. 231 v° : Ἐκ ποίας ταχυδρόμου ὁρμῆς. Meliten. v. 602 : Ἄγριος δὲ (χοιροπίθηκος) καὶ σύντομος καὶ σφόδρα ταχυδρόμος. Alia ejusmodi composita obiter lexicis addam : Ταχυγλωττία, Leo Sapiens, cod. Par. 396, p. 647 : Μὴ ἐπηρμένῃ φωνῇ καὶ κομπασιικῇ καὶ ταχυγλωττίᾳ χρῆσθαι. *Thesaurus* ταχύγλωσσος habet. — Ταχυήκοος, De S. Demetrio ap. Bolland. Oct. t. IV, p. 120 : Ἀλλὰ τὸ ταχυήκοον πρὸς τοὺς ἐπικαλουμένους ἐν πίσιει. — Ταχύπεπλος, cod. Par. 2239, fol. 128 r°. — Ταχύποτμος, Nonnus, *Dionys.* XLVIII, 11 : Ἰνδῴην ταχύποτμον ἀϊσιώσαντα γενέθλην. — Ταχύῤῥοπος, Theodor. Stud.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸν Ἰωάννην τὸν κλεινὸν ἐν τοῖς τρόποις,
* Εὔμουσον, εὐπρόσωπον [1], εὔχαριν, νέον,
Ὀξὺν μὲν ἰδεῖν καὶ νοῆσαι τὸ πρέπον,
Ταχὺν δ' ἐπὶ πράξει τε τῆς στρατηγίας,
Αὐτῶν μὲν ἐχθρῶν τὸν στερρὸν ἀναιρέτην,
Καὶ τῶν φαλάγγων τακτικὸν ἐπιστάτην,
Ὃν ὁ τρόπος δείκνυσιν ἐκ τῶν πρακτέων·
Εὐφράνθη καὶ γὰρ ἀληθῶς ἡ καρδία
Τῶν ἐλπισάντων ἐλπίδι τῇ κρείττονι
Αὐτὸν Ἰσμαὴλ ὡς Γολιὰθ πρὶν ἄλλον,
Τῇ σφενδόνῃ [2] Πνεύματος τοῖς τρισὶ τούτοις [3]
Κάραν ἀθλίαν συντριβέντα θανέντα.
Οὐκοῦν συνευφραίνομαι κἀγὼ τοῖς ἄλλοις,
Καί σοι νικητήρια ἐκ ψυχῆς ᾄδω,
Σκιρτῶν χορεύων καὶ κροτῶν μου τὰς χεῖρας·
Οἰωνὸν ἀπαίσιον οὔτοι σου κρίνω
Τέλμα [4] βαλβίδος ἐνταυθοῖ μου τοῦ δρόμου·
Ἀλλ' ὦ τελεστὰ τῶν καλῶν τῶν τοιούτων,
Καὶ συλλαβιστὰ τῆς καλῆς εὐβουλίας,
Καὶ κλεὶς ἀληθῶς τῶν σοφῶν βουλευμάτων,
Καὶ ῥοῦς ἀμιγὴς τῶν κακῶν ῥυπασμάτων,
Καὶ γλῶσσα μακρῶν εὔπορος σοφισμάτων,
Καὶ κρᾶμα [5] μουσῶν ἢ χαρίτων ἑστία,

cod. Par. 891, fol. 251 r°: *Διὰ τὴν εὐδιάβατον καὶ ταχύῤῥοπον ὀξύτητα τοῦ χρόνου.* — Ταχύφρασ*τος*, De S. Demetrio ap. Bolland. Oct. IV, p. 132: *Τῷ γὰρ εὐπεριγράπ*τ*ῳ καὶ ταχυφράσ*τ*ῳ τῶν μεγαλειῶν αὐτοῦ τὴν πνευματικὴν ὑμῶν ἀναφλέγων δίψαν οὐ παύσομαι.*

[1] Conf. cod. Par. IX, 3.

[2] Cod. *σφενδόνι*. Doxapater ap. Athanas. *Opp.* t. I, p. CLXIV: *Ἐσφενδονίσθης Πνεύματος τῇ σφενδόνῃ*. Nicephor. *Contra Euseb.* p. 373, ed. Pitra: *Τῇ σφενδόνῃ θωρηχθέντες τοῦ Πνεύματος.*

[3] Fort. *λίθοις*. Cf. I Reg. XVII, 40.

[4] Fort. *τέρμα*.

[5] Cod. *κράμμα*.

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ βλέμμα σεπτὸν γνωστικῆς θεωρίας,
Καὶ θαῦμα καὶ θέλγητρον ἐξ εὐφυΐας[1],
Καὶ ῥυθμικὸν χάρισμα καὶ φρενῶν βάθος,
Καὶ τακτικὸν φρόνημα τῷ χρόνῳ πρέπον,
Ὁ πάντα νικῶν τῇ κατ' αἴσθησιν κρίσει,
Καὶ πρὸς μάχας ἄτρεπτε καὶ περιστάσεις,
Καὶ πρὸς πόνους ἄκαμπτε τῶν ἐν ταῖς ζάλαις.
Ἡ ζῶσα λαμπὰς, ἡ λαλοῦσα γλυκύτης,
Ὁ μέγας ἄρχων τῆς ἑῴας ἁπάσης,
Ὁ καὶ στρατηγὸς καὶ πρωρεὺς καὶ τεχνίτης,
Καὶ λοχαγωγὸς καὶ στρατάρχης τῶν τῇδε,
Μικρόν τι προσχὼν ἀκροῶ μοι τῶν λόγων.

CCXLV. Ἐπιτάφιοι εἰς τὸν μέγαν οἰκονόμον τὸν Καππαδόκην[2] ἐκ στόματος τοῦ Κυζίκου τοῦ ἀδελφοῦ αὐτοῦ.

Ἀδελφὲ, σὺ μὲν καὶ τελευτήσας μένεις
Πρᾶξιν λόγων ἄριστα συζεύξας κράτει·
Τὸν θύλακον[3] γὰρ τῆς ῥοπῆς διεξέδυς,
Ὃν ἐκ βρέφους δύσοιστον ἠγοῦ Φορτίον·
Ἐγὼ δέ σου πλὴν, αἰ ῥάγηθι καρδία,
Τί πείσομαι ζῶν καὶ τὸ συμβὰν δακρύων;

CCXLVI. Ἀμοιβαῖοι[4].

Ἐκεῖνο τοῦτ' ἦν ὃ πρὸ πάντος ἐσκόπουν,
Καὶ τὸν πολυστέναχτον[5] ἐθρήνουν βίον.

[1] Supra v. 24 : Τὸ θαῦμα καὶ θέλγητρον τῆς εὐφυΐας.

[2] Cf. supra CCXXXVIII.

[3] Supra XCVII, 9 : Τὸν θύλακον ἐκδὺς ἐνθάδε Πρὸς οὐρανοὺς ἐκεῖνος ἀνέπτη. Conf. Boisson. *An. gr.* II, p. 433.

[4] Cod. ἀμειβαῖοι.

[5] Anon. ap. Boiss. *Anecd. gr.* I, 19 : Δεσμῶν πολυστενάκτων τοῦ βίου. Germ. Cpol. cod. Coisl. 278, fol. 165 v° : Ὅσοι ἐν τῷ πολυπαθεῖ τούτῳ καὶ πολυστενάκτῳ κόσμῳ διάγομεν. Id. fol. 168 v° :

Ακαδημία Αθηνών / Academy of Athens

Ποῦ γὰρ ὅ μοι δέδωκεν ὁ χρόνος κλέος,
Ἥλιε καὶ γῆ καὶ λογικαὶ Φροντίδες;
* Πλὴν, ὦ δικασταὶ, σῶζε τὸν σταίσαντά σε[1],
Τὰς εὐθύνας τρέμοντα καὶ σπρὸ τῆς δίκης.

— CCXLVII. Εἰς τὴν σφενδόνην τοῦ βασιλικοῦ δακτυλίου[2].

Ὁ μὲν πατήρ μοι τὴν κρίσιν τῆς ὀγδόης,
Ἐγὼ δέ σοι δίδωμι τὴν τῆς ἑβδόμης·
Δεῖ[3] γοῦν, βασιλεῦ, τοὺς κριτὰς τῆς ἑβδόμης,
Φησὶ Σολομών, προσκοπεῖν τὴν ὀγδόην.

— CCXLVIII. Πρὸς μικρόψυχον παραινετικοί[4].

Ψυχή, περιττὰ μὴ σοφίζεσθαι θέλε,
Μηδ' ἐκδίδασκε τὸν θεὸν τὸ συμφέρον·
Ὅπερ δέ σοι δίδωσιν αὐτὸς προσκύνει.
Οὐκ οἶδας ὡς σέργει σε καὶ πατρὸς πλέον;
Οὐκ οἶδας ὡς πέφυκε καὶ σοφὸς μόνος;
Εἰ γοῦν ἀπατᾷ, καὶ νοεῖ τὸ συμφέρον,
Πάντως δ' σοι δέδωκε τοῦτο συμφέρον.
Ζητεῖς ὁ παῖς μάχαιραν ἠκονημένην,
Ἡ γὰρ θέα θέλγησε[5] τῆς σιλβηδόνος·
Ὁ σὸς δὲ πατὴρ οὐ δίδωσι τὸ ξίφος,

Καὶ δεδούλωται ὁ βαρυσύμφορος καὶ πολυσθένακτος ἄνθρωπος. Isidor. Pelus. I, 196. Cosmas in Greg. Naz. p. 121, ed. Mai : Τὸ πολυσθένακτον ἀμβλύνας τῆς ἁμαρτίας βέλος. Anon. cod. Par. 250, fol. 94 v° : Παῦσον τὸν πόνον τῆς πολυσθενάκτου ψυχῆς μου. Anon. in S. Longinum, cod. Par. 1062, fol. 266 v° : Καὶ τοὺς πολυσθενάκτους τῆς σαρκὸς δεσμοὺς ἀποτίθεμαι.

[1] Leg. τὸν σταίσαντά με.

[2] Band. in *Catal.* : «In palam imperatorii annuli.» Et in notis : «Est annuli pars plana, et latior, in qua gemma includitur.» Edidit Piccolos, p. 202, cum hoc lemmate : Πρὸς κριτὴν ἡγούμενον δικαστήν.

[3] Hic versus deest ap. Piccol.

[4] Carmen interpolatum.

[5] Leg. θέλγει σε.

Ακαδημία Αθηνών / Academy of Athens

Τὴν γὰρ τομὴν δέδοικεν, ἣν σὺ οὐ βλέπεις·
Ὅθεν μίσος σοι τὸ δράμα δοκεῖ τόδε·
* Καὶ κλαυθμυρίζεις[1] καὶ σπαράττεις τὴν κόμην,
Ῥιπτεῖς δὲ σαυτὸν κατὰ γῆς καὶ ταράττεις.
Ὁ δὲ ϖροσηνῶς ϖροσγελᾷ σου τὸ ϖάθος,
Οὐδὲν μὲν ἐκ τούτου σε βλάπτεσθαι κρίνων,
Ἐκ τοῦ ξίφους δὲ καὶ σφαγὴν δοκῶν βλέπειν·
Τέλος δ' ἀνιστῶν ἀγκάλαις ϖροσλαμβάνει,
Φιλῶν, κολακεύων σε σύμπασι τρόποις·
Κἂν μὲν κατὰ ϖάντα σε εὔθυμον ἴδοι,
Ἔθρεψεν, ἠξίωσε καὶ γλυκασμάτων·
Τῆς μικρολυπίας[2] δὲ μὴ ϖεπαυμένου
Ἔτυψεν ἤδη μὴ Φέρων τὴν μωρίαν,
Ἢ καὶ μετεστήσατο μακρὰν ϖολλάκις,
Ἕως τὸ ϖένθος τὸν μαρασμὸν[3] ϖροσλάβοι,
Ἤτοι ϖρὸς ὕπνον ἐγκλισθέντος ἀθρόον
Ἢ ϖαισὶ συμπαίκτορσιν ἐσχολακότος,
Καὶ συμπερισπασθέντος[4] ἐν τοῖς ϖαιγνίοις.
Συνεὶς τὸ ῥηθὲν ἀνδρικῶς λοιπὸν Φρόνει,
Ἐπεὶ τὸ μικρόλυπόν ἐστι νηπίων.

CCXLIX. Ὡς ἀπὸ στόματος γυναικὸς εὐγενοῦς τινος καὶ ἐναρέτου[5].

Εἰμὶ μέν, ἀλλ' οὐκ οἶδα τίς τε καὶ ϖόθεν·

[1] Cod. Par. 1, 22.

[2] Vs. 22 et 30 fort. μικροψυχ.

[3] Codex Paris. XII, 6 : Ὡς ἂν ὁ κηρὸς..... Ποιῇ μαρασμὸν δυσχερῶν μοι καὶ σβέσιν.

[4] Hujus verbi compositi significatio addenda *Thesauro*, quem videre est s. v. Περισπάω.

[5] Ex cod. Flor. Plut. LVI, cod. 3, partim edidit Bandini in *Catal.* t. II, col. 296, sub nomine Theodori Protasecretis Neocæsaritæ, cum hoc lemmate : Ἐπιτάφιοι εἰς τὴν Παλαιολογίναν Θεοδώρου τοῦ ϖρωτασηκρῆτις τοῦ Νεοκαισαρείτου, ἔτι ζώσαν τούτους (leg. ζώσῃ) γραφῆναι ζητήσασαν.

Τῶν εὐγενῶν; καὶ τοῦτο πᾶς ἄν τις λέγοι.
Τῶν μᾶλλον ἀβρῶν; ἀλλὰ μὴν πάντες κόνις.
Ἀλλ' εὐκλεής; τὸ κέρδος οὐχ ὁρῶ πόθεν·
* Ἀλλ' εὐπρεπής; τὸ κάλλος ἡ γῆ δεικνύτω[1].
Εἰμὶ δὲ μηδέν, ἀλλὰ μὲν[2] πάλιν μένω·
Κἂν χοῦς ὁ πηλὸς[3], ἀλλὰ τὸ πνεῦμα σέβει·
Ῥεῖ πᾶς ὁ χιτών, ἀλλ' ὑφίσταμαι πλέον·
Εἰς γῆν τὸ ῥευστὸν, ἀλλ' ἐγὼ καὶ βελτίων·
Σκηνὴ τὸ πᾶρον, εἰ δὲ[4] καὶ μίμων γέλως,
Ὅρα, θεατά· μὴ γὰρ οὐκ ὄντως γέλως;
Ἦλθόν ποτ', εἶδον, εἶτ' ἀπελθοῦσα φθάνω[5]·
Ὀξύς με καὶ γὰρ ὑπεδέξατο χρόνος,
Οὗ δὴ τὸ μὲν παρῆλθεν, οὐ γὰρ ἵσταται,
Τὸ δ' ἔστιν· ἀλλ' ἀπῆλθε καὶ τόδε τρέχον.
Ποῦ δὴ[6] τὸ λοιπόν; εἰς τὸ μέλλον ἐκρύβη;
Περὶ δὲ τοῦ μέλλοντος εἰπὲ τίς λόγος.
Ὦ τίς ἐγώ; τίς; ἀγνοῶ γὰρ τὴν Φύσιν·
Νηδὺς μὲν ἐξ αἵματος ὠργάνωσέ με,
Καὶ βαθὺς ἦν δήπουθεν αὐτῆς ὁ γνόφος·
Ἐπεὶ δὲ καὶ προῆλθον εἰς φῶς αὐτίκα,
Πάλιν ἐπ' ἄλλον εὐτρεπίζομαι γνόφον,
Πλὴν εἴτε φῶς ἐκεῖνος, εἶθ' οὗτος γνόφος,
Εἶθ' ὃ βλέπω, φῶς, εἶθ' ὃ μὴ βλέπω, σκότος,
Οὐκ οἶδα σαφῶς, οὐ μὰ τὸν φθόρου τάφον,
Ὅς ἐστι γαστὴρ τοῖς θανοῦσι δευτέρα·
Δειχθήσεται γὰρ ἄλλος ἐντεῦθεν τόκος,
* Ὅταν ὁ πατὴρ καλέσῃ τῆς Φύσεως

[1] Band. *δείκνυται*.
[2] Leg. *μήν*.
[3] Band. *ὀπηδός*.
[4] Fort. *οἶδα* pro *εἰ δέ*.
[5] Band. *φθ*..... (sic).
[6] Cod. *ποῦ δὲ τό*.

Τὸν ὠδίνων γέμοντα τῆς δίκης χρόνον·
Μήτηρ με γεννᾷ καὶ προμήτωρ[1] λαμβάνει·
Μαιεύομαι[2] γὰρ εἰς τὸν ὕστερον τόκον·
Μᾶλλον δὲ τῆς μητρός με γεννώσης βίᾳ
Ποιεῖ τελευτᾶν ἡ προμήτωρ εὐθέως·
Ἐκεῖνο τῆς γῆς, τοῦτο τῆς Εὔας πάθος·
Ἢ τοῦτο δὴ κἀκεῖνο καρπὸς[3] τοῦ ξύλου,
Καὶ τῆς ἐφ' ἡμᾶς τοῦ Σατὰν κακουργίας.
Εἰ γοῦν θέλεις, ἄνθρωπε, μαθεῖν τὴν Φύσιν,
Πρόκυπτε καὶ ζῶν ἐξερεύνα τὸν τάφον,
Καὶ τὴν μὲν ἀντίμιμον[4] εἰκόνα σκόπει·
Τὰ δ' ἔνδον ὀστᾶ μὴ παρατρέχων σύνες[5],
Ὁρᾷς τὸ κάλλος τοῦτο; χοῦς τὸ πᾶν κάτω,
Καὶ σαπρὸς ἢ δύσοδμος ἡ πλάσις γράσος·
Ὥστε βλέπων σύναγε σαυτὸν ἐνθάδε,
Καὶ πρὶν παρελθεῖν σωφρονέστερος γίνου.
Ἐγὼ δὲ τὴν μέλλουσαν ἀθροῦσα κρίσιν
Ἐκ τῆς κατὰ τὴν πίστιν ἁπλῆς ἐγγύης,
Ἐκεῖνο τοῦτό φημι τὸ θρυλλούμενον,
Οὐκ ἔστιν οὐδὲν τῶν κακῶν τῶν ἐν βίῳ,
Οὐ μέμψις οὐδὲ πρᾶξις οὐδὲ κακία,
Ἢν, σῶτερ, αὐτὴ μὴ πεπλημμέληκά σοι
Κατά τε νοῦν καὶ φθέγμα καὶ προαίρεσιν,
* Γνώμης τε βουλήματι καὶ ψυχῆς θέσει,
Ὑπὲρ τὸ κοινὸν ἐξαμαρτήσασά σοι.
Σὸν οὖν τὸ σώζειν ὡς ἐμὸν τὸ νῦν λέγειν.

[1] Cod. Par. CCXVIII, 18 : Πείσασα τὴν γῆν τὴν προμήτορα βλέπειν.

[2] Cod. μαιδεύομαι. Vers. 30 et seq. desunt in codice quo usus est Bandini.

[3] Genes. III, 2.

[4] Supra XLIII, 59 : Ἀντίμιμον οὐρανοῦ Φύσιν.

[5] Cod. σύνος.

Ακαδημία Αθηνών / Academy of Athens

CCL. Πρὸς τὸν τοῦ αὐτοκράτορος ἀνεψιὸν κύριον Ἀνδρόνικον Ἀσὰν[1] τὸν Παλαιολόγον.

Ὁ ϖαντοδαπὸς ὁ χρυσοῦς ὁ γεννάδας,
Ἡ ϖοικίλων βρίθουσα χαρίτων Φύσις,
Τὸ καρδιακὸν τῶν ἐμῶν Φῶς ὀμμάτων,
Πρόβατον ἡμῖν ϖιμελῆς ϖλῆρες δίδου,
Ὡς ἂν ϖεπανθῇ καὶ ϖρὸς ἔκρυσιν Φθάσῃ,
Πᾶν εἴ τι ϖυκνὸν ἢ σεσηπὸς ἢ νόθον
Τὴν τῶν ϖόρων ἔμΦραξιν ἐσΦήνωσέ[2] μοι·
Τὸ γὰρ ϖερὶ τὰ σλέρνα τῶν ὑγρῶν βάρος
Ἔτι ϖεπηγὸς τὴν ϖνοὴν εἴργει τρέχειν.
Ναὶ κύνα μικρὸν Φιλοδέσποτον[3] τρέΦε,
Προθεὶς ἁπαλὰ καὶ νεότμητα[4] κρέα·
Τὸ γὰρ τέρας ἐκεῖνο τῆς ἀσαρκίας,
Τὸ ξυντετηκὸς καὶ ϖολύτριχον δέρας[5],
Τὸ κοῦΦον ὀσλοῦν, ἡ τεταρταία[6] Φρίκη,
Τὸ Φασματῶδες κτῆνος, ἡ Θνητὴ χάρις,
Ἡ σλυγνότης ἡ σῆψις ἡ δυσωδία,
Τὸ τραῦμα τῆς γῆς, ἡ ϖαλαμναία κρίσις,
Τὸ τῆς Φθορᾶς βόσκημα τὸ ϖρὶν ἀρνίον,
Ἔτι μαλακῆς ἐσθιώμενον[7] χλόης,
Ἔτι δοκοῦν ὕδατος ἀσμένως ϖίνειν,
* Ὡς νεκρὸν ἐκπέπνευκε τρυγὸς[8] τέως,
Καὶ νῦν ϖρόκειται ϖᾶσιν ἁπλῶς ὀρνέοις
Εἰς ἁπάτην δήπουθεν ὀσλώδης Θέα.

[1] Cf. supra CXIV, 30.
[2] Cod. ἐσΦίνωσε.
[3] Cf. cod. Par. LVIII, 80.
[4] Nonnus, *Dionys.* XXV, 46 : Ἡμιτελὲς σύριγμα νεοτμήτων ἀπὸ λαιμῶν.
[5] Cod. δέῤῥας.
[6] Cod. τεταρτέα.
[7] Leg. ἐσλιώμενον.
[8] Cod. τριγός. Syllaba deest. Leg. τετριγός.

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ γὰρ καταπλὰν καὶ προσεγγίσαν μόνον
Παρῆλθεν εὐθὺς τὴν ἀπόπλροφον τύχην,
Κεκλασμένον τὸ ῥῖχος[1] ἐντεῦθεν Φέρον.
Μᾶλλον δὲ μὴ πρόβατον ἀλλ' οἶνον δίδου,
Ὡς ἂν μεθυσθεὶς[2] ἀγνοήσω τὸ βρέτας
Τὴν Στύγα[3] τὸν τελχῖνα τὴν ἀποφράδα·
Καὶ γὰρ δι' αὐτὸ πᾶν ἀπειπάμην κρέας,
Ὡς καὶ κατ' αὐτῶν δυσφορεῖν τῶν περδίκων.
Καὶ τῶν λαγωῶν, ἀλλὰ καὶ τῶν δορκάδων.
Ἐγὼ δ' ἐπαινῶ τὸν διδάσκαλον χρόνον,
Ὃς καὶ τοσοῦτον ἄγος ἐγνώρισέ μοι·
Τὸν ἥλιον δὲ τόνδε Θαυμάσας ἔχω,
Ὅτι περ οὐκ ἔμυσεν[4] οὐδ' ἀπεκρύβη
Τοιῷδε κακῷ προσβαλεῖν τὴν λαμπάδα[5].

CCLI. Ἐπιτάφιοι εἰς τὸν μέγαν στρατοπεδάρχην.

Τὸ μὲν στάχυς τέμνειν σε λευκοὺς ἐν Θέρει,
Χρόνε σθεναρὲ, καὶ τρυγᾶν ὅταν δέῃ
Θαυμαστὸν οὐδὲν, τοῦτο γὰρ δὴ τὸ πρέπον·
Τὸ δ' εὐθὺς ἐκκύψασαν ἐκτέμνειν χλόην
Ἢ μετρίους ὄμφακας ἐξ ἀπληστίας,
Ἀλγεινὸν ἂν δήπουθεν ἡ Φύσις κρίνῃ[6]·
* Ἀλλὰ τὸ δεινὸν τοῦτό σου, φθόρε, Θράσος
Καὶ ῥιζόθεν[7] μέμηνεν[8] εἰς τὰς ἐκφύσεις·
Συνήγαγες δὴ τὸ χρυσοῦν ἅπαν γένος

[1] Fort. leg. ῥύγχος, quæ vox de avibus interdum dicitur.

[2] Cod. μεθυσθῆς.

[3] Cod. στίγα.

[4] Cod. ἔμμυσεν.

[5] Versus XXXVIII numerat Band.

[6] Malim κρίνοι.

[7] Mich. Psellus, *De Sept. Syn.* cod. Par. 1277, fol. 196 r°: Αὕτη τὸν Μακεδόνιον ἀνέσπασε ῥιζόθεν.

[8] Cod. μαίμηνεν. Phalaris, *Ep.* XIII, p. 66, 37: Εἰς ἑταιρείαν μεμήναμεν.

Εἰς τὴν κιβωτὸν δυσλυχῶς τῶν ὀσλέων,
Στρατοπεδάρχην τὸν μέγαν τὸν ἀγχίνουν
Καὶ τὴν Ἑλένην τὴν ὑπὲρ τὴν Ἑλένην
Κρύψας πρὸ καιροῦ Φεῦ σὺν αὐτοῖς τοῖς τέκνοις.

— CCLII. Ἀλεξίου τοῦ Μακρεμβολίτου περὶ τῆς τοῦ Θεοῦ βασιλείας, καὶ τῶν ἑπομένων αὐτῇ νεκρῶν.

Τὸ παρομαρτοῦν διώκοντες ἀφρόνως,
Ἄλητλον ἡμῖν Φεῦ τὸ πρόσθεν εὑρέθη·
Ὦ γὰρ δέμας πέφυκε ληφθὲν ἐκ πόνων,
Τούτῳ γε σκιὰ[1] ἕψεται ἄτερ πόνων.

— CCLIII. Τοῦ Προδρόμου εἰς λαίμαργον.

Ἐρᾷ τρυφῆς τὸ σῶμα, τοῦτο καὶ κύνες·
Ἀσιτίας τὸ πνεῦμα, τοῦτο καὶ νόες·
Ἑλοῦ τὸ κρεῖττον καὶ συναφθεὶς ἀγγέλοις,
Καὶ μὴ τὸ χεῖρον καὶ καταχθεὶς εἰς κύνας.

—(?) CCLIV. Εἰς κλίνην. Τοῦ αὐτοῦ.

Βλέπω σε, κλίνη, καὶ πρὸ τοῦ τάφου τάφον,
Ἐπεὶ φέρεις με ζῶντα νεκρὸν ἐνθάδε,
Ἐν σοὶ ταφῆς φέροντα πᾶσαν εἰκόνα·
Πρὸς ὕπνον ἦλθον, ποῦ τὸ φῶς τῶν ὀμμάτων;
Τὸν μακρὸν ὕπνον εἰκονίζεις τοῦ τάφου·
Πνοὴ μόνη με ζῶντα δεικνύει μόνον,
Ἀργοῦσι χεῖρες, οὐ βαδίζουσι πόδες·
Οὐ ταῦτα νεκρότητος, ὥσπερ εἰκόνες;
Τὸ δὲ σκέπον σε καὶ καλύπτον οὐκ ἔστι[2]
* Σφραγὶς τελευτῆς τοῦ τελευταίου λίθου;

[1] Ne corrigas hiatum in tali scriptore. — [2] Fort. ἔνι.

Ακαδημία Αθηνών / Academy of Athens

Ῥιπλῶν δὲ τοῦτο τὴν ἀνάσλασιν νόει,
Καὶ τὴν τελευτὴν Φαντάζου καθ' ἡμέραν,
Καὶ τοῦ τέλους Φρόντιζε καὶ τῆς ἐξόδου,
Ὥσπερ τάφον σου τὴν ἀνάκλισιν βλέπων,
Ἐπεὶ τάφος σε ϖρῶτον ὕσλερον[1] μένει.

CCLV. Τοῦ αὐτοῦ κατ' εὐνούχων.

Ἔσλι γένος τι τῶν ἀνακτόρων μέσον
Θῆλυ ϖρὸς ἄῤῥεν, ἄῤῥεν εἰ Θῆλυ βλέπει·
Ἄμφω δὲ κοὐδέν ἐσλιν, ὧν δ' ἔχει δύο
Τοῦ μὲν μετέσχεν οὐδαμῶς, τὸ δ' ἐῤῥύη·
Κρατεῖ δὲ ϖᾶσι καὶ κρατεῖται τοῖς ὅλοις,
Καὶ ϖάντα τολμᾷ, ϖάντα δὲ Φρίσσει τρέμον·
Στέργει γέλωτας, ἀλλ' ἐρᾷ τῶν δακρύων·
Ἄδοξόν ἐσλι κομπόδοξον[2] ὂν Φύσει,
Τυραννικὸν, λατρῶδες[3], ἄσλοργον Φύλον,
Σεμνὸν, ταπεινὸν, ἄΦρον, ἄγλωτλον, λάλον,
Δοῦλον, βίαιον, Θυμικὸν, δειλὸν, λάγνον·
Ἐκ τῶν ἄκρων κραθὲν δὲ τῶν ἐναντίων
Ἄκρον ϖέΦυκεν ἐκ κακῶν κακὸν μέγα.

[1] *Serius ocius* ap. Horat. *Od.* II, 3, 26.

[2] Meliten. 1108 : Μηδὲ καυχᾶται τῇ χαρᾷ τοῦ κομποδόξου βίου. Hac voce dilatari possunt lexica quibus addam : Θυμόδοξος et Θυμοδόξασλος, Theodor. Lascar. ap. Mai, *Bibl. Patr.* t. VI, p. 262. — Ὁλόδοξος, S. Ephræm. Syr. *Opp.* t. III, p. 545 : Κυρία μου ὁλόδοξε, ὑπερπανάγαθέ μου. Adde et alia ejusmodi composita : Ὀρθοδοξασλῶς, Nicet. Choniat. cod. Paris. 1234, fol. 389 v°. — Συνορθοδοξέω, Christophor. Patric. *Mel.* cod. Par. 1578, p. 187 : Συνορθοδοξεῖν καὶ τὸ ὑπήκοον ἔπεισε. — Κενοδοξικῶς, Theod. Stud. cod. Paris. 891, fol. 201 r°. — Παυδόξως, Cyrill. Al. *Opp.* t. I, p. 383. — Παραδοξοειδής, Theod. Stud. ap. Mai, *Bibl. Patr.* t. V, p. 59 : Χαίροις βάτε ϖαραδοξοειδέσλατε, ἐξ ἧς ἐπεΦάνη ἄγγελος κυρίου ἐν Φλογὶ ϖυρός. — Συνδοξολόγησις, Chrysippus Hieros. codex Paris. 513, fol. 111 r° : Ἡ τῶν ΣεραΦὶμ συνδ.

[3] Hac voce caret *Thesaurus*.

CCLVI.

. . . . . .

* Ἐὰν [1] ἐνθυμηθῇ φησὶ πρὸς κύριον σλραφῆναι [2].
Οὐ γὰρ τὸ πλάσμα τῶν αὐτοῦ χειρῶν ἀποποιεῖται
Κἂν ὑπὲρ ἄμμον θαλασσῶν πλαίσῃ ἀνομήσῃ [3].
Πυρὸς σπινθὴρ ὕλην πολλὴν πολλάκις εἰς ἐκκαίει,
Καὶ ἓν καλὸν εὑρίσκεται πολλῶν ἁμαρτημάτων
Ἐξάλειπτρον γενόμενον, καὶ τοῦτο θεοῦ δῶρον.
Καὶ σκόπει τὰ ἐντάλματα τοῦ ἀγαθοῦ δεσπότου·
Μὴ κρίνῃς [4] σου τὸν ἀδελφὸν, φησὶ, μηδ' ἐπιμέμψῃ,
Καὶ οὐδ' ἐγώ σε οὐδαμῶς, ἄνθρωπε, κατακρίνω·
Καὶ τῷ πλησίον ἂν ἀφῇς εἴ τι εἰς σὲ ἁμάρτῃ,
Κἀγώ σοι πάντα συγχωρῶ ὅσα ἂν ἁμαρτήσῃς·
Τῶν ἐνταλμάτων γὰρ ἐμοῦ λήθην οὐδὲν ποιοῦμαι·
Ὡς γὰρ ἀπείρους κλύδωνας εἰδήμων κυβερνήτης
Ἐξέφυγε πρὸς ἀγαθὸν ἀποσωθεὶς λιμένα,
Οὕτω καὶ νουνεχὴς ψυχὴ εἰς οὐρανοὺς ἀνῆλθε,
Κἂν πάμπολλα καθέσληκε κακὰ ἐργασαμένη.
Εἰ τοίνυν καὶ τὰ ἐν κρυπτῷ [5] κρίνει θεὸς ὡς ἔχει,
Εἰ δ' ἄνθρωποι καὶ τὸ γνωστὸν κρίνουσιν ἐσφαλμένως,
Ἔα τηνάλλως [6] τοὺς σκαιοὺς βαΰζειν [7] φιλοσκώπτας,
Σκότος κατέχοντας βαθὺ ἀντὶ λαμπροῦ ἡλίου·
Σὺ δ' ἐγκαινίζουσα σαυτὴν λοιπὸν μηδόλως παύσῃ,

[1] Band. in *Catal.* : Inter hanc et sequentem pag. desunt duo folia, nempe 295 et 296, ut ex numeratione in superiori margine antiquitus apposita videre est; quare sequentis carminis politici, quod titulo caret, atque initio, primus versus est : Ἐὰν ἐνθυμηθῇ κ. τ. λ.

[2] Cod. σλραφεῖναι.

[3] Syllaba brevior versus. Fort. leg. πταίσῃ καὶ ἀνομήσῃ.

[4] S. Luc. VI, 37 et 38.

[5] Cod. ἐνκρύπλω et supra γ.

[6] Cod. τηνάλως — φιλοσκόπλας.

[7] Cod. βαΐζειν.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

* Ἄχρις ἂν καὶ τὸ τῆς ψυχῆς ὁμοιωθῇ σου κάλλος
Τῷ κάλλει τῷ τοῦ σώματος, καὶ γένῃ πανωραία[1],
Καὶ σώσῃς μετὰ σεαυτῆς καὶ τὸν ἐμὸν δεσπότην,
Ἀληθινὸν δεικνύουσα τοῦ Θείου Παύλου[2] λόγον.

CCLVII. Τοῦ αὐτοῦ[3].

Ἄγχει με δεινῶς πνεῦμα παχὺ καὶ θλίβει
Εἰσρυὲν ἀπό τινος ψυχρᾶς ἰκμάδος,
Πταρμῶν τε συχνῶν ἐξερεύγεται ψόφους,
Καὶ τὴν κεφαλὴν συγκλονεῖ καὶ ταράσσει·
Ἡ ῥὶν δὲ πικρὰς σταγόνας καταστάζει
Μεμιγμένας αἵματι διεφθαρμένῳ,
Αἱ δριμύν μοι φεῦ προξενοῦσι τὸν πόνον,
Καὶ πάθος ἄλλο χαλεπωτέρως[4] ἄγχου·

[1] Theod. Prodr. ap. Mai, *Bibl. Patr.* t. VI, p. 412 : Καὶ πλύνου σου τοὺς πανωραίους πόδας.

[2] I Corinth. VII, 16.

[3] «Fortasse Prodromi versus anepigraphi.» Band. Minime.

[4] Hoc adverbium addendum lexicis, quibus alia ejusmodi obiter addam : Ἀγρυπνοτέρως, Theod. Stud. cod. Par. 891, fol. 252 v° : Ἀγρ. διάγειν. — Ἀγωνιστικωτέρως, Tzetz. in Hermog. ap. Cramer, *Anecd. gr. Oxon.* t. IV, p. 2 : Πρόγραφε κατ' Εὐστάθιον τὰ τῆς κατηγορίας, Ἀντιθεὶς (leg. Ἀντιτιθεὶς) κεφάλαιον, ὡς ἔφην, κεφαλαίῳ. Τινὲς δ' οὕτως οὐ (leg. δ' οὐχ οὕτω) γράφουσιν ἀγ. — Ἀθυμοτέρως, Schol. in Gregor. Naz. cod. Par. 996, fol. 97 r°. — Ἀκριβεστέρως, Tzetz. *Allegor. in Homer. Il.* Proleg. 109 : Μάθε καὶ ἄλλοθε καλῶς ἀκρ. τοῦτο. — Ἀλγεινοτέρως, Georg. Nicom. p. 1149 D : Ἀλγ. τὴν ψυχὴν ἐτιτρώσκετο. — Βιαιοτέρως, Galen. t. XVII, part. 1, p. 119, ed. Kühn; Jo. Lydus, *De Ost.* p. 64, ed. Hasio. Adverbium Βιαιοτάτως, quo æque carent lexica, usurpat Tzetz. *Allegor. in Il.* Σ, 436. — Γαληνοτέρως, Leo Sap. cod. Par. 2075, fol. 410 v° : Ἀλλὰ γαλ. ἄλα ταύτην ἀμφιπερῆσαι. — Γνησιεστέρως, Theod. Lascar. cod. Par. 3048, fol. 36 r° : Καὶ προσλαλῶ σοι γνησ. — Ἐκτενεστέρως, Th. Stud. *Bibl. Patr.* Mai, t. VI, p. 377 : Προσεύχου καὶ ὑπερεύχου καὶ μᾶλλον ἄρτι ἐκτ. — Ἐνεργεστέρως, Origen. *Opp.* t. I, p. 569 D : Καὶ τὴν ἀπολογίαν μετὰ τοῦτ' ἐνεργεστέρως (fort. ἐναργεστέρως) ἀποδεῖξαι. — Ἐνστατικωτέρως, Ephr. Syr. *Opp.* t. I, p. 261 C; Jos. Rhacendyt. cod. Par. 3031, fol. 11 v°. — Ἐντρε-

Ακαδημία Αθηνών / Academy of Athens

Τὸ ἔργον τουτὶ τῆς μοχθηρᾶς δουλείας·
Κραυγὰς γὰρ ὡς μάσλιγας ἐμπίπλησί μοι [1]
Κεφαλαλγιῶν καὶ νόσων ϖαραιτίους,
Καὶ ψυχικῶν δήπουθεν κηλίδων ϖλέον.
Σὺ δ' οὖν, φίλων ἄρισλε, μὴ τέρπου μόνος,
Ἀλλ' εἴπερ φιλεῖς τὸν ϖνέοντά σε ξένον,
Ἀληθεσλάτην δεῖξον τὴν ϖαροιμίαν [2].

CCLVIII. Τοῦ αὐτοῦ εἰς τὰς οὐρανίους δυνάμεις.

Οὐρανὸν [3] μικροῦ τόνδε τὸν δόμον βλέπων
Ἑαυτὸν ϖᾶς τις εἰσιὼν ἁγνιζέτω·
Τὰ γὰρ ϖαναγῆ σλρατεύματα τῶν νόων
* Ἐσληκότα κύκλωθεν τὸν κτίσλην μέλπει.
Χερουβὶμ ἀθρῶν καὶ Σεραφὶμ ἐνθάδε,

χεσλέρως, Anon. ap. Cramer, *Anecd. gr. Ox.* t. III, p. 188. — Ἐπισλημονικωτέρως, Theod. Lascar. cod. Par. 3048, fol. 28 r° : Ὡς ἂν ἐπ. ἐν τούτῳ διατεθῆτε πρὸς τὴν ψυχήν. — Ἱλαρωτέρως, S. Maxim. *Opp.* t. I, p. xxxvii. — Ἰσχυροτέρως, cod. Par. 2562, fol. 8 r°: Ὡς ἰσχ. ἐφαπλόμενον καὶ ὁλικῶς. Jos. Rhacend. cod. Par. 3031, fol. 11 v°. — Καθαρωτέρως, *Philosophum.* p. 301 ed. nostræ, et cod. Par. 3058, 41 v°. — Καταδεεσλέρως, Aristot. t. II, p. 1442. — Παραδοξοτέρως, cod. Paris. 1185 A, p. 5. — Πιθανωτέρως, Tzetz. *Allegor. Il.* Proleg. vs. 205. — Πλησιεσλέρως, Theodor. Lascar. cod. Par. 1193, fol. 15 r° : Ἄγγελοι δὲ ϖλησιεσλέρως τῷ κυρίῳ ὑπάρχοντες. — Προθυμοτέρως, S. Epiph. *Opp.* t. II, p. 69, et cod. Paris. 877, fol. 11 r° : Πρ. ϖροσιέναι τοῖς ὡσεὶ εὐσεβείας ἀγωνίσμασιν. Neophytus, cod. Par. 1189, fol. 227 r° : Ἥπλετο θερμοτέρως ἐλεημοσύνης καὶ ϖροθυμοτέρως. — Στερρότερως, Tzetz. *Allegor. Il.* Ξ, 11. — Τιμιωτέρως, *Catal. Codd. Nanian.* p. 111. — Ὑπλιωτέρως, Theoctist. titul. — Ὑψηλοτέρως, Actt. SS. Gregorii ap. Boll. Sept. t. VIII, p. 399 : Ἔπειτα δὲ ὑψηλοτέρως κατηχήσαντος τοῦ μακαρίου Γρηγορίου. German. Cpol. cod. Coisl. 278, fol. 146 r° : Τὰ δὲ τοῦ Χριστοῦ ἄλλως ἔχει ὑψ. δηλαδὴ καὶ θεοπρεπῶς. Theod. Lascar. cod. Par. 1193, f. 14 r° : Ὑψηλοτέρως βαδίσαι τῇ θεωρίᾳ.

[1] Nusquam quod sciam obvia syntaxis. Num ἀρχαϊκωτέρῳ verbo ἐμπίλνησί μοι, admovet mihi et infligit?

[2] Nimirum κοινὰ τὰ τῶν φίλων.

[3] Sunt versus politici δωδεκασύλλαβοι.

Ακαδημία Αθηνών / Academy of Athens

Θρόνους μετ' ἀρχῶν, δυνάμεις, ἐξουσίας,
Κυριότητας, ἀγγέλους, ἀρχαγγέλους,
Τῆς κρίσεως δὴ καὶ τὰς ἐμφάσεις σκόπει.
Σιγῇ θεωρῶν τὰ σχεδὸν ζῶντα σλέφη [1]
Στῆθι πᾶς πισλὸς ἐνθαδὶ μετὰ δέους,
Μηδὲ γρὺ [2] τολμῶν τῶν κάτω λέγειν πέρι,
Καὶ [3] παροξύνῃ κατ' αὐτοῦ τὸν δεσπότην.
Εἰ Δανιὴλ δέδορκεν ἀγγέλων ἕνα
Καὶ ἰσχύος δὴ καὶ ἀνοῆς πλὴν εὑρέθη [4],
Τί ἂν τοσούτους δεῦρό τις βλέπων πάθῃ
Καὶ ταῦτα μὴ σχὼν τοῦ Δανιὴλ τὴν χάριν;
Ἂν ἐμφάσεις θέλγουσι τὰς ὄψεις μόνον,
Αἱ ἐξ ὑλικῶν ὑπέσλησαν χρωμάτων,
Πόσῳ μᾶλλον τέρψουσι τὰ πρῶτα κάλλη,
Ἃ τοῦ παντὸς γέγραφεν ὁ πλάσλης Λόγος!
Λαβὼν ὁ κριτὴς τὰς ὑπ' αὐτὸν δυνάμεις
Κατῆλθε δεῦρο καθεσθεὶς μετὰ δόξης·
Οὐκοῦν πᾶς πλαισλὸς εἰς ἑαυτὸν ἐλθέτω,
Μὴ τὰ καθ' ἡμᾶς ἐξετάσων παρέσλη.
Τὸ πρὶν φίλον σοι νῦν δὲ φῶς ἡμῖν φίλον
* Ὁρῶν μεθ' ἡμῶν τῶν ψυχῶν ὁδοσλάτα,
Ἔκσληθι μακρὰν τοῦδε τοῦ θείου τόπου·
Οὐδὲν γάρ ἐσλι κοινὸν φωτὶ πρὸς σκότος [5].
Τοὺς πλὴν ὕλης [6], ἄνθρωπε, ὑλικοὺς βλέπων
Ἀντισλρόφως φάνηθι σὺ τούτων ἴσος,
Ἐπεὶ διὰ σὲ καὶ ὁ τεχνίτης Λόγος
Ὑλικὸν ἀνέλαβεν εἶδος, ὡς βλέπεις.

[1] Leg. σλίφη.
[2] Cod. μὴ δὲ γρί.
[3] Pro καὶ leg. μή.
[4] Dan. x, 8.
[5] II Corinth. vi, 14.
[6] Id est ἀΰλους. Cf. cod. Esc. cviii, 6.

Ακαδημία Αθηνών / Academy of Athens

Τῷ ϖαμβασιλεῖ καὶ Θεῷ καθημένῳ
Λειτουργίαν φέρουσιν ἀγγέλων τάξεις,
Ὅπως διδαχθῇ ἐντεῦθεν ϖᾶς τις Θύτης
Λειτουργίαν ἄμεμπτον αὐτῷ ϖροσφέρειν.

— CCLIX. Τοῦ Προδρόμου [1].

Ὦ [2] τοῦ ϖάθους δέσποινα, καὶ σὺ δακρύεις!
Καὶ τίς ἀρωγὸς τῶν ϖαρ' ἡμῖν δακρύων,
Εἰ καὶ σὺ ϖάσχεις ἄξια Θρηνῳδίας;
Τίς ἐλπὶς ἄλλη, τίς ϖαράκλησις Φράσον.
Καὶ μὴν ἐχρῆν σε μᾶλλον εὐθύμως ἔχειν,
Ὡς τὴν χαρὰν τέξασα τὴν ϖαγκοσμίαν.
« Ἄνθρωπε, καὶ ϖῶς, τοῦ γένους ὡρμημένου [3]
Εἰς κακίας βάραθρα ϖενθεῖν οὐκ ἔχω,
Καὶ τρίχας τίλλειν [4] καὶ τὰ σπέρνα μου τύπτειν,
Βλέπουσα ὑμᾶς εἰς ἀπώλειαν ϖάντας,
Καὶ εἰς ὄλεθρον τῆς ϖικρᾶς ἁμαρτίας;
* Ἂν γὰρ ἐκ ψυχῆς τῷ ἀγαθῷ δεσπότῃ
Προσελθόντες κλαύσητε νοῦν μεταθέντες,
Ὁρῶσα φωτὸς ἐργάτας οὐ τοῦ σκότους,
Οὐ δακρύσω δή, οὐδὲ ϖενθήσω ἔτι,
Ἀλλὰ μεθ' ὑμῶν [5] σκιρτήσω αἰωνίως. »

— CCLX. Τοῦ Μακρεμβολίτου [6].

Ἥσυχος γυνὴ, κἂν σοβὰς μὲν τυγχάνῃ,

[1] Versus priores 8 sane hujus esse videntur; sequentes male vexavit διασκευαστής barbarus.

[2] Leg. Ὦ τοῦ ϖάθους! δέσποινα, καὶ σύ. Conf. supra ccix, 9.

[3] Cod. ϖροκειμένου et supr. ὡρμημ.

[4] An. ap. Cramer, *Anecd. Par.* t. IV, p. 269 : Πῶς ἐτίλθης τὰς τρίχας.

[5] Cod. μεθ' ἡμῶν.

[6] Edidit Piccolos, p. 217 cum lemmate : Περὶ γυναικὸς λάλου καὶ σιωπηρᾶς. Cf. supra cxcix.

Ακαδημία Αθηνών / Academy of Athens

Παρὰ ϖολλοῖς ϖέφυκεν ἐξυμνουμένη[1]·
Φιλεῖ ϖᾶς αὐτῆς τούς γε μετρίους λόγους,
Ἢ τῆς λαγνείας ἐκκακίζει[2] τὸν τρόπον.
Τὸ γὰρ ἐπαφρόδιτον τὴν Φύσιν ἔχειν
Εἶδος ϖροεξένησε λαμπρὸν, οὐ τρόπος,
Ἢ καὶ μελιτόβρυτον ἴσως γε σῖόμα[3],
Ἢ ῥεῦμα Θοροῦ[4] Φυσικῆς τυραννίδος,
Ἢ μὴ τυχοῦσα καὶ καλοῦ συνευνέτου,
Ἃ τοὺς ἐρασῖὰς καὶ τρυφητὰς καὶ λάγνους
Ἕλκουσι καὶ σύρουσι μαγνήτου[5] δίκην.
Λάλος δὲ γυνὴ κἂν ϖάνυ σώφρων ϖέλῃ,
Ὑπ' οὐδενὸς ϖέφυκεν ἐξυμνουμένη[6].
Μισεῖ ϖᾶς αὐτῆς τούς γε κερτόμους λόγους,
Ἢ τῆς ἀγνείας ἐκθειάζει τὸν τρόπον.
Τὸ γὰρ ἀναφρόδιτον τὴν Φύσιν ἔχειν
Εἶδος ϖροεξένησεν αἰσχρὸν, οὐ τρόπος,
Ἢ Φύσεως δήϖουθεν ἀκινησία,
Ἢ καὶ νόσου σώματος ναρκώδους δρόμος[7],
Ἢ συγγόνων τήρησις, τάρβος εὐνέτου·
* Ταῦτά γε μὴν αἴτια μᾶλλον ἢ τρόπος.
Εἰ δ' αὖ λάλος τε[8] κἀὶ λάγνος ἄμφω ϖέλει,
Διπλοῦν τὸ κακόν ἐσῖι τῷ κεκτημένῳ·
Πλὴν ϖᾶσα κακὴ, ὥς ϖου τὶς σοφὸς λέγει,
Καὶ ϖείρας ἄνευ[9] οὐδεμία μεμπῖέα,
Ἐλθοῦσα δ' αὖτη χάριτος τινὸς μέτα.
Οὐκ οἶδε μίαν Σολομὼν[10] εἰς χιλίας.

[1] Picc. εὐλογουμένη.
[2] Hanc formam non afferunt lexica.
[3] V. 7 ex Piccol. recepi.
[4] Fort. Θορόν. Picc. γοργόν.
[5] Cod. μαγνίτου.
[6] Picc. εὐλογουμένη.
[7] V. 19 supplevi ex Picc.
[8] Picc. γε pro τε.
[9] Picc. καὶ ϖέρας ἢν ἄν.
[10] Eccles. VII, 29.

Ακαδημία Αθηνών / Academy of Athens

CCLXI. Εἰς εἰκόνα τῶν κορυφαίων [1].

Οἱ συμμαθηταὶ ζῶσι καὶ νῦν ἐν τύποις,
Καὶ συλλαλοῦσιν, ὥσπερ ἦν αὐτοῖς [2] ἔθος.
Εἰ δ' οὐκ ἀκουσλὰ τὰ διωμιλημένα,
Μυσληριώδης ἐσλὶν ἡ ξυντυχία.

CCLXII. Εἰς τοὺς ἁγίους μάρτυρας Θεοδώρους [3].

Οἱ μάρτυρες νικῶσι τὴν κοινὴν Φύσιν·
Καὶ γὰρ ἀκαμπλός ἐσλιν αὐτῶν ἡ σλάσις·
Τῷ δεσπότῃ, βέλτισλε, ϖοτνιωμένοις [4],
Ὥσλε βλέπων θαύμαζε τὴν εὐανδρίαν,
Ἣν εἶχον εὐθὺς ϖρὸς τὸ ϖῦρ καὶ τὰς ξέσεις,
Δι' ὧν ὁ Σατὰν ϖροσβαλὼν κατεσλράφη.

CCLXIII. Εἰς τὸν ϖροφήτην Ἠλιοῦ.

Ὁρῶν ϖετεινὸν καὶ θεοῦ λάτρην [5] τρέφων,
Ἄνθρωπε, μὴ κάθευδε μηδὲ ῥᾳθύμει·
Πονῶν δὲ σαυτὸν καὶ αἰτοῦντα τρέφε·
Τὴν δύναμιν γὰρ οὐκ ἔχεις τοῦ Θεσβίτου [7].

* CCLXIV. Τοῦ Μακρεμβολίτου.

Πῶς [7] τὸ ψεῦδος κατεσθίεις ἀδεῶς, ἀργυροκόπε [8],

[1] «Fort. ejusdem Macrembolitæ.» Bandini. In cod. Par. 1630, fol. 43 v°, sed sine lemmate.

[2] Cod. Par. ζῶσιν pro αὐτοῖς.

[3] Conf. cod. Esc. CLXXI.

[4] Pro ϖοτνιωμένοις fort. leg. ϖοτνιωμένων et comma delend. post σλάσις.

[5] Malim λάτριν.

[6] Deest syllaba. Leg. καὶ τὸν αἰτ.

[7] German. Cpol. codex Coislin. 278, f. 111 r°: Καὶ οὐδὲ τὸν Θεσβίτην ἄν τις εἰς ἀκαθαρσίαν αἰωνίσαιτο. De Theod. Stud. Testim. p. v, 15: Κἂν τούτῳ ἔρωτι ϖυρπολούμενος, ζήλῳ θεσμιτικῷ συναμιλλώμενος. Leg. Θεσβιτικῷ.

[8] Iambi vulgares ἑκκαιδεκασύλλαβοι numero, non rhythmo.

[9] Male Bandini ἀργυροκόπες. In hac

Ακαδημία Αθηνών / Academy of Athens

Καὶ οὐ Φρίτλεις τὴν ἐκ τούτου κοσμολέτειραν[1] κατάραν;
Ἂν γὰρ ὡς Φαρμάκῳ τούτῳ κέχρησαι ὀνησιφόρῳ,
Ἅπαξ ἔδει τοῦτο δράσαι τοῦ ἐνιαυτοῦ καὶ μόνου,
Ἵνα μὴ τὴν σώζουσάν σε δύναμιν κατακενώσῃς.
Πῶς τὸ σὺ[2] ϖαρὰ Λατίνοις νῶ ϖοιεῖς, ἀργυροκόπε,
Καὶ οὐκ εὐλαβῇ καὶ Φρίτλεις τὴν καινοτομίαν ὅλως;
Τὸ γὰρ Φάτε[3] μυριάκις ἐὰν εἴπῃς τῆς ἡμέρας
Ἄφατον ἐναποΦαίνεις ὡς μὴ λαληθὲν μηδ' ἅπαξ.

CCLXV[4]. Εἰς τὸν αὐτοκράτορα[5].

Οὐρανοδρόμε βασιλεῦ ϖάσης τῆς γῆς ΦωσΦόρε,
Θάλψις ἐν ὥρᾳ ϖαγετοῦ καὶ ζωτικὴ Θερμότης,
Καὶ γνωσλικὴ ϖεριβολὴ τῆς αὐτοκρατορίας,
Ἦν ὁ τεχνίτης ἄνωθεν ἱσλούργησε δεσπότης,
Ἐν μὲν τοῖς ἄλλοις ἀλγεινοῖς ἐχεμυθῶ καὶ σλέγω·
Ποῦ γὰρ ἀνθρώπῳ Θεμιτὸν ἀντέχειν ϖρὸς τὴν τύχην,
Ὅταν ἡ κρόκη τῆς Κλωθοῦς ἀποῤῥαγῇ τῶν μίτων;
Καὶ τὸ βοᾶν δὲ καὶ ϖενθεῖν ἐπὶ τοῖς ἀβουλήτοις
Τῶν δυσγενῶν καὶ τραγικῶν καὶ Θηλυπαθεσλέρων,
Εἴγε Φασὶ τοὺς εὐγενεῖς μὴ Φανεροῦν τοὺς ϖόνους.
Ἐν τῷ καιρῷ δὲ τοῦ κρυμοῦ καὶ ταῖς ἀκμαῖς τοῦ ψύχους,
Ὅτε συμΦεύγει τῶν ΦλεΒῶν εἰς βάθος ἡ Θερμότης,

ipsa pagina a tergo legitur nomen, Ἀλέξιος ὁ Ἀτζιχαντήλης. Epiphan. *Opp.* t. II, p. 105. Anon. cod. Paris. 1320, fol. 247 r°: Οἰκοδόμοι μὲν λίθον ξέσαντες, ἀργυροκόποι δὲ καὶ χρυσοχόοι ἀπὸ τῆς ἰδίας ὕλης τεκτηνάμενοι.

[1] Vox addenda lexicis. German. Cp. cod. Coisl. 278, fol. 222 r°: Καὶ ἡ κοσμολέτειρα τοῦ Ἅδου γαστὴρ ἤδη μοι ὑπηνοίγετο.

[2] Fort. leg. *σί*. Intellige Italorum *si* et *no*.

[3] Iterum italicum *fatto*, *e fatto*, non græcum.

[4] Carmina CCLXV, CCLXVI et CCLVII ex apographo viri humanissimi Petr. Del Furia. Serius habui quam ut locum obtinerent suum, primum post CX, pag. nostra 299.

[5] In cod. fol. 166 r°.

Καὶ ταῖς ἀκρίσι τῶν μελῶν ἡ ψύξις ἐπιτρέχει,
Πῶς ἂν δυναίμην ἡσυχῇ Φιλοσοφεῖν τὸ Θλίβον,
Μέχρις αὐτῶν μοι τῶν ὀσλῶν χωροῦντος τοῦ κινδύνου;
Τῇ προσβολῇ γὰρ τοῦ ψυχροῦ τῶν πόρων σφηνουμένων,
Καὶ τὰς ἀτμίδας τῶν χυμῶν τῇ πήξει καθειργνύντων,
Ὥσλε συμβαίνειν γίνεσθαι γομφώδεις μοι φλυκτίδας,
Καὶ συνεχεῖς ὀδαξησμοὺς καὶ βαμβασμοὺς καὶ κλόνους,
Δέδοικα, Θεῖε βασιλεῦ, μὴ συμπνιγῇ τὸ ζέον
Ἐν τῷ χρονίζειν τοὺς ἀτμοὺς καὶ μηδαμῶς ἐκτρέχειν·
Ὅτι καὶ πῦρ ὑπὸ καπνοῦ περισχεθὲν ἐσβέσθη,
Καὶ ῥεῦμα συνωθούμενον καθεῖλε τὸ Θριγγίον.
Ἀλλὰ ῥιγοῦντί μοι προσδεῖ χιτῶνος καὶ διφθέρας,
Ἵνα μὴ σβέσῃ τὸ Θερμὸν ἡ τοῦ κρύμοῦ σφοδρότης,
Καὶ τόνος γλώτλης ἀμβλυνθῇ πρὸς τοὺς ἀκμαίους κρότους,
Ὑπὸ τῆς σῆς χρησλότητος ἀσμένως τρανωθείσης.
Καὶ τέτλιξ γὰρ οὐ φιλῳδὸς, ἂν ὄρθρος περιψύχῃ
Καὶ καταδεύῃ τὴν ἰξὺν ἡ τῆς νυκτὸς ὑγρότης,
Οὐδ' ἀηδὼν, οὐ χελιδὼν, οὐδ' ἴυγξ, οὐδὲ κύκνος,
Οὐδ' ἕτερόν τι μουσικὸν τῶν ἐπὶ γῆς ὀρνέων,
Ἂν μὴ τραφῇ καὶ φαιδρυνθῇ τῇ τοῦ φωσφόρου ζέσει.
Καὶ μὴν αὐταρκεῖς ἔχουσιν ἐκεῖνα τὰς ἐσθῆτας,
Καὶ φυσικῶς ἀντέχουσι πρὸς καύσωνα καὶ ψύχος·
Ἐγὼ δὲ ῥίγει συσχεθεὶς καθάπαξ ὀδυνῶμαι,
Καὶ καρτερῶ τὴν συμφορὰν ἐπὶ κρυμῷ καὶ φρίκῃ.
Ὁ γὰρ Ἀδὰμ ἐπιμανεὶς τῇ τῆς γονῆς προσχύσει,
Καὶ τοῖς φιλτάτοις δυσμενὴς ὑπάρξας παραβόλως,
Ἐνέδυσε τὴν γύμνωσιν καὶ συνεκάλυψέ με,
Καὶ γέγονα ταλαίπωρος ἐκ τῆς ἐκείνου λύμης,
Ἐσπειραμένος ὀδυρμοῖς καὶ καλινδήθραις πόνων.
Ἀλλ' ὦ κοσμῆτορ βασιλεῦ τῆς ὅλης οἰκουμένης,

Ακαδημία Αθηνών / Academy of Athens

Σοὶ μὲν Θεὸς περιβολὴν ἐξ ὕψους ἐπενδύσαι,
Τὴν ἄφθαρτον καὶ μόνιμον καὶ χρόνων ὑπερτέραν,
Ὡς ἂν καὶ μετὰ σώματος ὑπὲρ τὴν Φύσιν ζώοις
Καὶ τῶν πολύ τι μεθ' ἡμᾶς καὶ μετ' ἐκείνους πάλιν
Ἄρχοις εὐθύμως καὶ Φαιδρῶς ἐπὶ μακροῖς ἡλίοις[1].
Ἐμοὶ δὲ δοίης εὐμενῶς χιτῶνα καὶ διφθέραν,
Καὶ συγγινώσκοις τοῖς ἐμοῦ[2] χρισοφιμήτως[3] λόγοις,
Ἵνα τρανώσω τὴν φωνὴν πρὸς τὴν εὐχαριστίαν.

CCLXVI. Εἰς εἰκόνα τοῦ ἀρχιστρατήγου Μιχαήλ[4].

Τὴν ἀγγέλου κίνησιν ἐμφαίνειν θέλεις,
Τί τὸν πτερωτὸν ὁ γραφεὺς ἄνδρα γράφεις,
Ἀλλ' οὐχὶ νοῦν καὶ πνεῦμα καὶ φῶς καὶ φλόγα;
Πλὴν ἐξ ὕλης ἄϋλον οὐκ ἄν τις γράφοι.

CCLXVII. Ἐπιτάφιοι εἰς αὐταδέλφους δύο[5].

Οὐδέν τι καλὸν οὐδὲ τερπνὸν ἐνθάδε·
Τύμβος γὰρ εἷς ἔκρυψε συγγόνους δύο.
Ὅταν δὲ συνέλθωσιν εἰς φῶς ἐκ σκότους,
Ἰδοὺ τὸ καλὸν καὶ τὸ τερπνὸν ἐνθάδε.

[1] Apogr. ἡελίοις.

[2] Apogr. ἐμέ.

[3] Theod. Prodr. v, 44, ed. Mai : Καὶ τὴν τοσαύτην ἀκοὴν καὶ βασιλικωτάτην Στίχοις μικροῖς καὶ πενιχροῖς χριστομιμήτως κρίνεις. Theod. Stud. p. 84 B : Ἀλλὰ χρισοφιμήτως πεζοπορήσεις. Id. p. 82 E : Διὰ χρισοφιμήτου ταπείνωσιν τελῶν ἐν ἡσυχίᾳ. Mirac. S. Demetrii n. 74 : Ἡ πολύσπλαγχνος καὶ χρισοφιμήτος τοῦ μάρτυρος Φιλανθρωπία. German. Cpol. cod. Coisl. 278, fol. 201 v°.

[4] In cod. fol. 265 v°.

[5] In cod. fol. 291.

FINIS VOLUMINIS PRIORIS.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
0070001 61968

Digitized by Academy of Athens

Archive of Tamil Monographs

Ακαδημία Αθηνών / Academy of Athens